ENKUKLOPAIDEIA PHILOLOGIKĒ EIS TESSARAS TOMOUS DIĒIREMENĒ, ...

Ioannes Patousas



Biblioth: monij
SS. Severini et Sossij Cong.is Casin.
Neap: =

Encicopledia
Philologica
seu
Collectio multorum
Authorum Grecorum
tom. 6.

ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ

ΦΙΛΟΛΟΓΙΚΗ

ΕΓΚΥΚΛΟΠΑΙΔΕΙΑ
ΦΙΛΟΛΟΓΙΚΗ

Εἰς Τέσσαρας Τόμους διῃρημένη, πρὸς χρῆσιν τῶν φιλολόγων καὶ φιλομαθῶν τῆς Ἑλληνικῆς Γλώττης συναρμοσθεῖσα,

Προσφωνηθεῖσα δὲ τῷ Ἐκλαμπροτάτῳ, καὶ Ἐνδοξοτάτῳ Κόμητι, Φιλοσοφίας τε καὶ Ἰατρικῆς Διδασκάλῳ Ἐξοχωτάτῳ,

ΚΥΡΙΩ ΚΥΡΙΩ

ΣΠΥΡΙΔΩΝΙ


ΤΩ ΠΕΡΟΥΛΙΩ

Εὐπατρίδι Ἀθηνῶν, παρὰ τοῦ ἐν Ἱερεῦσιν Αἰδεσιμωτάτου, καὶ Λογιωτάτου

ΙΩΑΝΝΟΥ ΠΑΤΟΥΣΑ

Τοῦ ἐξ Ἀθηνῶν, Φιλοσοφίας καὶ ἱερᾶς Θεολογίας Διδασκάλου, καὶ τοῦ ἐν ταῖς Κλειναῖς Ἐνετίαις Φλαγγινιανοῦ Ἑλληνομουσείου Γυμνασιάρχου· ὑφ᾽ οὗ καὶ συνελέχθη.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.







ἘΝΕΤΙΗΣΙΝ, ͵αψι.
Παρὰ Νικολάῳ τῷ Σάρῳ.
Con Licenza de' Superiori, & Privilegio.



Τῷ Ἐκλαμπροτάτῳ, καὶ Ἐνδοξοτάτῳ Κόμητι, Φιλοσοφίας τε καὶ Ἰατρικῆς Διδασκάλῳ, Ἐξοχοτάτῳ ;

ΚΥΡΙΩ ΚΥΡΙΩ
ΣΠΥΡΙΔΩΝΙ
ΤΩ ΠΕΡΟΥΛΙΩ

Εὐπατρίδι Ἀθηνῶν εὖ πράττειν.



Μὴ γένοιτο τῆς ἐμῆς μνήμης ἐκπεσεῖν ποτε τὸ σὸν πανευκλεὲς ὄνομα, Σπυρίδων κράτιστε καὶ σοφώτατε. Μέ-

χεις ἐ τῷ βίῳ τέτῳ ἐπιδημήσω, καὶ τῶν ἡλιακῶν ἀπολαύσω ἀκτίνων, ἀεὶ διὰ μνήμης ἕξω τὰ παρὰ σῦ ὑπηργμένα μοι, καὶ πανταχῦ τῆς οἰκεμένης ἀνακηρύξω. Σὺ γὰρ τὲς ἐμὲς ἀνέπεισας πρῶτος εἰς τὰ Ε᾿σπέρια ἀποςεῖλαι με· σὺ, καὶ ὁ σὸς μακαρείτης πρὸς πατρὸς Θεῖος αἴτιοι γεγόνατε τῦ τὴν ἐμὴν νεότητα ταῖς ἐπιςήμαις ἐνασχολῆσαι. Α᾿φ᾿ ἧς τῆς διατριβῆς πολλῷ ἂν μείζω τὴν ἀπὸ τῆς παιδείας ἐκαρπωσάμην ὠφέλειαν, εἰ καθάπερ εὐμενὴς ἐφάνη μοι ἡ περὶ ὑμᾶς καλοκαγαθία, ὅτω καὶ τὴν ἐμὴν ὑγείαν ἔσχον ἂν συλλαμβάνεσαν. Οὐ μὴν λίαν γε μεταμέλομαι καὶ ἐπὶ τῇ περιγενομένῃ μοι ἐπιδόσει· μᾶλλον δὲ ὅτω καὶ ταύτῃ ἐνασμενίζω, ὥςε ὐκ ἂν αὐτὴν ἀνταλλάξαιμι τῶν λοιπῶν ἁπάντων τῶν ἐν τῷ βίῳ λαμπρῶν καὶ τιμίων. Θεῖόν τι γὰρ ἡ παιδεία, καὶ τῦτο μόνον αὔταρκες κτῆμα καὶ ἀναφαίρετον. Ε᾿πανελθὼν δὲ ἐκ Ρ῾ώμης Ε᾿νετίαζε, ποίας ὐκ ἔτυχον παρ᾿ ὑμῖν εὐνοίας καὶ δεξιώσεως, ποίας καὶ νῦν ἀποδοχῆς ὐκ ἀξιῦμαι, καὶ πατρικῆς τῷ ὄντι φιλοςοργίας; Πρὸς ταύτας ὑμῶν τὰς εὐεργεσίας συνεχῶς ἐγὼ ἀφορῶν, καὶ τὰ περὶ ἐμὲ λιτὰ ὄντα καὶ εὐτελῆ μετ᾿ αἰδῦς ἀναλογιζόμενος,

ὐκ

οὐκ ἐνέλειπον ὅμως τὸ κατὰ δύναμιν. Χεῖρας ἀμέλει ἱκέτιδας ἦρον πρὸς τὸ θεῖον ὑπὲρ ὑμῶν, καὶ πᾶσαν ὑμῖν ἐπηυχόμην εὐδαιμονίαν. Ἀλλ' οὐ μέντοιγε ἔστην ἐνταῦθα· ἕνα δὲ ὅρον ἐθέμην, ὧν ἀφ' ὑμῶν εὖ πέπονθα, δῆλα παρὰ πᾶσι τὰ χαριστήρια καταστῆσαι· καὶ τοῦ σκοποῦ τὸ παράπαν οὐχ ἥμαρτον. Ταύτην γὰρ τὴν Φιλολογικὴν Ἐγκυκλοπαιδείαν οὔπω ἀναλέξασθαι παυσαμένῳ, δίκαιον ἔδοξέ μοι καὶ εὐπρεπὲς, Σοὶ τῷ ἐπὶ σοφίᾳ διαβεβοημένῳ, καὶ λογίῳ ὄντως Ἑρμῇ προσφέρειν καὶ ἀναθεῖναι· ἵνα τεκμήριόν τι δώσω καταφανὲς τῆς πρός σε εὐχαρίστου γνώμης, οὐχ ἵνα δέ τι τῶν σῶν ἐπαινέσω, ὡς ἔθος τοῖς προσφωνοῦσι. Μέμνημαι γὰρ ὅσον χαλεπῶς ἐπέτρεψάς μοι, ἐγκειμένῳ πολλάκις, ταύτην σοι τὴν πραγματείαν ἐπιφημίσαι· καὶ ὅσον ἀποτόμως ἀπεῖπας μοι μηδὲν τῶν σῶν πλεονεκτημάτων, ἄγειν δι' εὐφημίας. Τοσοῦτον ἐπανθεῖ ταῖς σαῖς λοιπαῖς ἀρεταῖς ἡ περὶ σοῦ μετριοφροσύνη. Ἄλλοι μὲν οὖν λόγοις κοσμείτωσαν ὅσα ὑπερφυῶς καὶ τὴν σὴν διάνοιαν, καὶ τὰ σὰ ἤθη διακοσμοῦσιν. Οἱ μὲν τὴν ὀξύτητα τῆς εὐφυΐας, τῆς μνήμης τὸ ταμιευτικὸν, τὸ εὔβουλόν τε καὶ ταχύβουλον τῆς φρονήσεως, τῆς παι-

δεύσεως τὸ ποικίλον, καὶ τὸ ἐπὶ τούτοις προέχον το περὶ τὴν ἰατρικὴν ἐπιστημονικόντε καὶ ἔμπειρον. Οἱ δὲ (ὧνγε λαμπρόντι καὶ διαπρύσιον ἠχοῦσιν οἱ λόγοι) εὐφημείτωσαν τὸ πρὸς τὰ θεῖα πανευσεβὲς, τοῦ τρόπου τὸ δίκαιον, τοῦ βίου τὸ σταθερὸν, τοῦ ἤθους τὸ κόσμιον, καὶ τὸ πρὸς πάντας προσηνὲς καὶ φιλάνθρωπον. Ἕτεροι δὲ (ὅσοι καὶ ταῦτα ἀφιλοσόφως τεθήπασι) θαυμαζέτωσαν τὴν τοῦ σώματος εὐπρέπειαν καὶ εὐαρμοστίαν, τοῦ γένους καὶ τῆς πατρίδος τὴν περιφάνειαν, τῶν χρημάτων καὶ φίλων τὴν περιουσίαν, τὴν πολλὴν παρὰ τῇ Γαληνοτάτῃ τῶν Ἑνετῶν Πολιτείᾳ χάριν, καὶ πᾶσαν ἁπλῶς τήντε τῆς φύσεως, τήντε τῆς ἀρετῆς καὶ τῆς τύχης περὶ σὲ ἐναγώνιον φιλοτιμίαν· ἧς καὶ τὸ πολλοστὸν μέρος πολλοῖς ἂν ἤρκεσεν ἐγκωμίοις καὶ πανηγύρεσιν. Ἐγὼ δὲ ταῦτα πάντα σιωπῇ ὑπερβήσομαι· τὸ μὲν, ἵνα μὴ παρήκοος γένωμαι τοῦ σοῦ δεινοῦ ἐπιτάγματος· τὸ δὲ, ἵνα μὴ ὑπὲρ τὰ ἐσκαμμένα φασὶ πηδήσω, τοῦ μέτρου ἐκπίπτων τῆς ἐπιστολῆς· προσθήσω δὲ, ὅτι καὶ πᾶσι πρόδηλα καὶ περιβόητα. Ἓν δέτι σιωπῆσαι οὐδαμῶς δύναμαι, τὴν θεοειδῆ ἐκείνην δηλονότι ψυχὴν. τὴν συμπαθεστάτην τοῖς δεομένοις, τὴν δαψιλεστάτην

ςάτην τοῖς κάμνουσι, τὸ τὰ ἐν τῇ Ἑλλάδι ἱερὰ τεμένη πολυτελέσι πλουτίσασαν ἀναθήμασι· τὸν σόν φημι πατράδελφον Μιχαήλ, τὸν μακαρίας μὲν τυχόντα λήξεως, πένθος δὲ ἡμῖν καταλιπόντα ἀπαραμύθητον· ἐννοοῦσιν, οἵου μὲν ὑμεῖς Θείου ἐςέρησθε, οἵου δὲ εὐεργέτου ἐγώ, οἵου δὲ κηδεμόνος οἱ δυσπραγοῦντες. Εἵλκειμε πρὸς ἑαυτὸν, καὶ ὁ σὸς γενναῖος καὶ μεγαλόφρων υἱὸς, ὁ σὸς μὲν κατὰ φύσιν, ἐμὸς δὲ κατὰ χάριν Δημήτριος. Ἐν ᾧ, ὥσπερ ἐν τελεωτάτῃ εἰκόνι, τὰ σὰ πάντα θαυμαςῶς ἀποςίλβουσιν· οἷον ἡ σύνεσις, ἡ εὐκοσμία, τὸ σῶφρον, τὸ ἄτυφον, τὸ νηφάλιον, τὸ πρὸς πᾶν ἀγαθὸν ἐπιῤῥεπὲς, καὶ τὰ λοιπά σου ὑψηλὰ προτερήματα. Μακάριοι οὖν Ὑμεῖς, οἷς πάρεςιν ἔφορος μὲν ἡ θεία χάρις, ἔνοικος δὲ ἡ ἀρετὴ, ὀπαδὸς δὲ καὶ ἡ τύχη· μακάριος δὲ κἀγὼ ὁ τῆς συνηθείας ὑμῶν καὶ φιλανθρωπίας δαψιλῶς εὐτυχήσας. Ταύτῃ καὶ νῦν τεθαῤῥηκὼς, σὲ ἀνακαλοῦμαι καὶ ἐκλιπαρῶ, φιλοφρόνως καὶ ἱλαρῶς ἀποδέξασθαι τουτὶ τὸ ἐμὸν ἀνάθημα, ὡς ἀμυδρόν τι ὑπόδειγμα τῆς πρὸς ὑμᾶς εὐγνώμονος εὐλαβείας μου· καὶ μουσηγέτην φανῆναι καὶ πρύτανιν τοῦ φιλοπονήματος,

οὗπερ ἀγαθὸς σύμβουλος γέγονας, καὶ ἐπίμονος παραινέτης. Ἔῤῥωσο τρισευδαίμων εἰς βαθὺ γῆρας καὶ λιπαρόν, ἀνδρῶν μοι κράτιστε καὶ σοφώτατε.

Ἐνετίησιν, ἔτει κοσμοσωτηρίῳ αψθʹ.

Τῆς Σῆς Ἐκλαμπρότητος.

Δοῦλος καὶ πρὸς Θεὸν εὐχέτης διάπυρος
ὁ ἐν ἱεροδιδασκάλοις ἐλάχιστος
Ἰωάννης Πατοῦσας Ἀθηναῖος.

ΤΟΙΣ



ΤΟΙΣ

ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.



ΟΥ' πολλῶν δεῖ μοι πρὸς τὴν ὑμετέραν συνέσιν, Ἀναγνῶσται ἐπιεικεῖς καὶ φιλόμουσοι· δῆλος γάρ, οἶμαι, καὶ ἐξ αὐτῆς τῆς ἐπιγραφῆς ὁ σκοπὸς τοῦ φιλοπονήματος· καὶ θᾶττον ἂν ὁ ἥλιος δεηθείη λαμπρότητος, ἢ οὗτος σαφηνείας καὶ ἀναπτύξεως. Οὐ χρησμὸς Πυθίου, οὐκ αἴνιγμα Σφιγγὸς τὰ ἡμέτερα. οὔτε φιλοδοξίας ἔργον τουτί, ἀλλ' εὐεργετικῆς προαιρέσεως, μόνου στοχαζομένης τοῦ κοινωφελοῦς. Ἐγὼ γὰρ πολλάκις πυθόμενος πρόσω χωρεῖν ὁσημέραι κατὰ τὴν Ἑλλάδα τὸ περὶ τὴν παιδείαν φιλότιμον, καὶ ἐπιφανῆ πανταχοῦ ἐγείρεσθαι φροντιστήρια, χάριν μὲν τῷ θείῳ ἀπέδωκα, τῷ εὐμενέσι ποτὲ ὄμμασιν ἰδόντι τὰ καθ' ἡμᾶς· ἠνιάθην δὲ οὐ μετρίως, μαθὼν τοὺς περὶ τὰ Ἑλληνικὰ φιλομαθοῦντας ἐστερῆσθαι πάντων ὀλίγου δεῖν τῶν ἀναγκαίων βιβλίων

πρὸς

πρὸς τὴν ἐπίτευξιν τοῦ σπουδαζομένου. Οὐμὴν ἐνέδωκά γε τῇ ἀθυμίᾳ· οὐ παντελῶς ἀπεῖπον, τὸν ἀλλεπάλληλον περὶ ἐμὲ φροντίδων λογιζόμενος ὄχλον· οὐδὲ μέχρι ἐλέους καὶ οἴκτου ἔστην, ἀλλὰ καὶ εἰς βοήθειαν τινα τὴν ἐμὴν διάθεσιν παρωρμησάμην. Ἐπιθυμῶν οὖν μᾶλλον ἀκονᾷν τὸ περὶ τοὺς λόγους αὐτῶν πρόθυμον, καὶ τὰ γενναῖα αὐτῶν φρονήματα πᾶσι τοῖς πρὸς τὴν Γραμματικὴν καὶ Ῥητορικὴν ἀνήκουσιν εὐτρεπίσας ἐπὶ τὰ μείζονα παραθαῤῥῦναι, ταύτην τὴν Φιλολογικὴν Ἐγκυκλοπαιδείαν ἐρανισάμην, καὶ χορηγὸν εὑράμενος δαψιλῆ τὸν Ἐντιμότατόν μοι συμπολίτην Δημήτριον Κολέτην, εἰς φῶς ἐκδοῦναι οὐκ ὤκνησα. Ἧς τὸ χρήσιμον γνώσονται οἱ ἔμπειροι τῶν πραγμάτων, ἅτε σαφῶς εἰδότες, ὅσων μὲν δεῖ ῥητόρων, ὅσων δὲ ποιητῶν καὶ παντοδαπῶν συγγραφέων τοῖς περὶ τὰ τοιαῦτα σπουδάζουσι, καί τινος ἐπιδόσεως ἐφιεμένοις· καὶ ὅσον δαπανηρὰ καὶ δυσεύρετα τὰ τῶν παλαιῶν Ἑλλήνων συγγράμματα τόγε νῦν ἔχον ἐν τῇ Ἑλλάδι. Ταύτην δὲ μετ' ὀλίγης κεκτημένοι δαπάνης, ἕξουσι, συνελόντι εἰπεῖν, αὐτὸ δὴ τὸ ἔαρ καὶ τὴν ὀπώραν τῆς Ἀττικῆς εὐγλωττίας, καὶ τὰ ἀκροθίνια τῆς ἔσω καὶ τῆς ἔξω παιδείας· Λειμὼν γάρ ἐστι τῷ ὄντι εὐανθὴς καὶ ἰδεῖν προσηνέστατος, ἐν ᾧ ἄδεια τοῖς φιλοπονοῦσι, διὰ παντὸς ἀναλέξασθαι εὐώδη καὶ τερπνὰ ἄνθη, καὶ χάριν ἀμύθητον ἀπονέμοντα. Κῆπος περικαλλής,

ἐν

ἐν ᾧ καὶ τέρπεσθαι ἔξεστι θεωμένοις φυτὰ ποικίλα καὶ ἀειθαλῆ, καὶ καρποὺς δρέψασθαι ἡδυτάτους· Κειμήλιον ὅλως ἄσυλον, ἐν ᾧ πρόκεινται πολύτιμοι καὶ ἀνεξάντλητοι θησαυροί, τοῖς βουλομένοις ἑλεῖν ἀεὶ πρόχειροι. Διὸ οὐκ ἀλόγως θαῤῥοῦσα καὶ ἀσμένη πρὸς ὑμᾶς ἔρχεται τοὺς φιλολόγους καὶ σφοδροὺς ἐραστὰς τῆς Ἑλληνικῆς εὐφραδείας· θαῤῥοῦσα μὲν, ὅτι πλουτεῖ τὰ ὑμῖν φίλα καὶ καταθύμια· ἀσμένη δέ, ὅτι δι' αὐτὸ τοῦτο εὔελπίς ἐστι, τιμίας παρ' ὑμῖν τεύξεσθαι ἀποδοχῆς, καὶ φιλοφροσύνης οὐ τῆς τυχούσης. Πρόσεισι δὲ εἰς τέσσαρας τόμους διῃρημένη, ἵνα τό, τε διάφορον τῶν συγγραφέων φυλάξῃ, καὶ ἅμα τάξιν τινὰ τοῦ μαθεῖν ὑποδείξῃ, ἅτε δὴ ἀπὸ μὲν τῶν εὐμαθεστέρων ἀρχομένη, ἐπὶ δὲ τὰ δεινότερα λήγουσα. Εἰδέπου τὴν ἀταξίαν ταύτην παρέβην, οὐ διὰ τοῦτο ἐγὼ κατηγορίᾳ ὑπεύθυνος· τουτὶ γὰρ συμβέβηκε, πῇ μὲν διὰ τὸ μὴ εὐκαίρως παραγενέσθαι μοι τὰ βιβλία, ἐξ ὧν τὰ δοκοῦντα συνέλεγον, πῇ δὲ καὶ μάλιστα ἐκ προνοίας. Τετυφωμένου γὰρ ἂν ἤνεγκα εἰκότως διαβολήν, εἰ ἀκριβῆ τινα τάξεως ὅρον, καὶ γνώμονα ἀπαραίτητον τοῖς ὑπὲρ ἐμὲ καθηγηταῖς ἀξιώσαιμι ἐπιθεῖναι· καὶ μὴ ἕκαστον ἄφετον ἐᾷν καὶ οἱονεὶ αὐτόνομον, τὴν προσφιλῆ αὐτῷ καὶ λυσιτελεστέραν ἴσως τοῦ διδάσκειν μέθοδον προελέσθαι. Ἀλλὰ ταῦτα μὲν ἅλις περὶ τῆς κοινῆς ἡμῶν ἤδη Ἐγκυκλοπαιδείας. Ὑμεῖς δέ, ὧν τὴν ὄντως Ἑλληνικὴν φιλομάθειαν ἄγαμαι διαφερόντως,

μὴ

μὴ ἀποκνήσητε διὰ τὸ μέλλον ἐπίπονον· μὴ προδῶτε τὴν λαμπρὰν ὑμῶν τύχην καὶ ἀκμάζουσαν ἡλικίαν· μηδὲ ὑπὸ ῥαθυμίας ἀψικόρου ὑπομείνητε, τὰ τῆς ψυχῆς ὑμῶν προτερήματα μαρανθῆναι καὶ καταφθίνειν (οὐδὲν γὰρ ἄλλο τι ἀντάξιον τοῦ παθουμένου). ἀλλ' ἡδέως καὶ ἀσπασίως αὐτὴν δέξασθε, καὶ διηνεκῶς αὐτῇ ἐγκύπτετε, καὶ προσηλοῦσθε. γέμει γὰρ πάντως καὶ πλημμυρεῖ, οἷς καὶ τὴν διάνοιαν κοσμήσετε, καὶ τὸν ὑμῶν βίον ῥυθμιεῖτε. Ἐμοὶ δὲ ἀντιδοίητε τὸ εὐγνωμόνως φέρειν τὰ περὶ ἐμέ, καὶ ὅπερ ὑμῖν μάλιστα εὔχομαι, τὸ ἐξ ὧν ἐρανισάμην συμφέρον. ἐῤῥωμένοι, ὄλβιοι, καὶ προκόπτοντες διαβιοῖτε εἰς πολλῶν ἐτῶν περιόδους.



Εἰς τὸν Εὐγενέςατον, ϛ Ἐκλαμπρότατον Κόμητα

CHYPIANUS HA

ΤΟ'Ν ΠΕΡΟΥ'ΛΙΟΝ,

Φιλοσοφίας ϗ Ἰατρικῆς Διδάσκαλον Ἐξοχώτατον.

Ε'ΠΙ'ΓΡΑΜΜΑ.

Ε"Νδικα Κεκροπίη μεγάθυμε Περέλιε ἄρτι
Ἐν σοὶ αὐχεῖται, ϗ μάλα σεμνύνεται.
Σοὶ γὰρ ἑῶν παίδων ἐνοπλέει ἄμμιγα πάντων
Εὐγενίην, ἴδριν, κύδεα, φραδμοσύνην.
Μᾶλλον ἀθρεῖ πλέον, εὐσεβίην δήπε θεοτερπῆ,
Τὴν δ᾽ αὖ μεσοτραφῆ Αὐσονίων σοφίην.
Ὥςε δοκεῖ ἐνέπειν, ὢ αὖθις ἐγὼ ἐπίδοξος,
Εἰ τοιέςδε γόνες πλείονας ἐκτρεφόμην.

Εἰς Εἰλικρινῆς Εὐλαβείας τεκμήριον
ὁ ἐν Ἱερεῦσι Γεώργιος Πατῦσας.

Εἰς

Εἰς τὸν Εὐγενέστατον, καὶ Ἐκλαμπρότατον
Υἱὸν αὐτοῦ

ΔΗΜΗΤΡΙΟΝ

Νεανίαν παντὸς ἐπαίνε ὑπέρτερον.

ἘΠΙΓΡΑΜΜΑ.

ΧΑῖρε Ἀθηνάων ἀγλαὸν Δημήτριε αὖθος,
  Πατρὸς ἀριζήλε ἔκγονε τηλέκλυτε,
Εἰκὼν δὴ ἀρετῆς, χαρίτων ἕδος εὐσεβίηστε,
  Κόσμημ' Εἰνετιῶν, ἵμερος εὐγενέων.
Ἡ μὲν σεῖο φύσις τερψίμβροτος, ἠδ' ὑπνοόστε,
  Ἔστιν Ὑμηττείε καὶ μέλιτος γλυκίων.
Ἦθος δὲ χρηστὸν, καὶ κόσμιον, ἠδ' ἄτυφόντε·
  Ἦτορ σόντε πέλει ἔμπλεον εὐφροσύνης.
Σωφροσύνης ζαθέης ἐκφράγισμ' ἔπλεο αὖθις,
  Κρενός τ' εὐποιΐης πᾶσιν ἀπειρέσιος.
Τῶκεν Ἀθηναίοις τεῦ εὖχος ἔασσιν Ἀθῆναι,
  Αὐτὸς Ἀθηνάων ἔνδικα εὖχος ἔεις.

Εἰς ἔνδειξιν τῆς θερμῆς μου πρὸς σὲ φιλοσοργίας, ὁ ἐν Ἱερεῦσι Γεώργιος Πατῦσας.

Εἰς

Εἰς τὴν Φιλολογικὴν Ἐγκυκλοπαιδείαν.

ΕΠΙΓΡΑΜΜΑ.

Τίπτε μάτην φιλόμουσε πονεῖς, τὸ δ' αὖ Ἑλικῶνος
    Ἀμβαίνεις ἀτραπὸν Πιερίδας ποθέων;
Βούλει ῥᾶστα κ' ἄμοχθος πασῶν τὴν δ' ἐπιτεῦξαι;
    Σπουδῇ ἐνδελεχεῖ εἴλυε τάσδε βίβλους·
Ὧδ' ἐν θειοφρόνων λάτρεων Χριστοῖο λόγοισι
    Ἥτε Πολυμνίη, Οὐρανίητε πέλει.
Πὰρ ῥητῆρσι Θάλεια, τραγῳδοῖς Τερψιχόρητε
    Θάλλει· πὰρ λυρικοῖς Μελπομένη ἀΐδει.
Εὐτέρπης, Κλειοῦς τ' ἐράεις, ἐρατῆς Ἐρατοῦστε;
    Διαλόγους, γνώμας, ἠδ' ἐπιγράμματ' ἔχε.
Ἠ παρ' ἑκάστῳ στίλβει ἑκάστη θάμβει πάντων,
    Πᾶσι δὲ τὴν ἄλλων ἔξοχα Καλλιόπη.
Θαῦμα δὲ οὐδὲν ναιετάειν Μουσῶν χορὸν ὧδε·
    Καὶ γὰρ κ' ἂν δέλτοις ᾤκεον Ἡροδότου.

Ὁ ἐν Ἱερεῦσιν ἐλάχιστος Γεώργιος
Πατοῦσας Ἀθηναῖος.

Εἰς

Εἰς τὴν αὐτὴν ἕτερον τετράστιχον.

ΤΕ'σσαρσι στοιχείοις τάκται κόσμος τετράζυξ,
Τέσσαρες αὖ ποταμοὶ τοῦ Ἐδὲμ εὐτρόχαλοι.
Τέσσαρας οὖν δεῖ ἔμμεν τάσδε βίβλους νεοτευχεῖς,
Ὧν ἀναβλαστήσει Ἑλλάδος ἡ σοφίη.

Ὁ ἐν Ἱερεῦσιν ἐλάχιστος
Λιβέριος Κολέτης Ἀθηναῖος.

ΠΙΝΑΞ

Τῶν ἐν τῷ α΄. Τόμῳ περιεχομένων.

ΔΙΑ΄ΛΟΓΟΙ ΔΙΑΦΟ΄ΡΩΝ

ΛΟΥΚΙΑΝΟΥ͂.

ΠΛΑ΄-

ΤΕΛΟΣ.



ΛΟΥΚΙΑΝΟΥ

ΣΑΜΟΣΑΤΕΏΣ

ΠΕΡῚ ΤΟΥ͂ ἘΝΥΠΝΊΟΥ.

ἤτοι βίος Λουκιανοῦ.



ΑΡΤΙ μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν· ὁ δὲ πατὴρ ἐσκοπεῖτο μετὰ τῶν φίλων ὅ, τι καὶ διδάξαιτό με. τοῖς πλείστοις οὖν ἔδοξε, παιδεία μὲν, καὶ πόνου πολλοῦ, καὶ χρόνου μακροῦ, καὶ δαπάνης οὐ σμικρᾶς, καὶ τύχης δεῖσθαι λαμπρᾶς· τὰ δὲ ἡμέτερα, μικρά τε εἶναι, καὶ ταχεῖάν τινα τὴν ἐπικουρίαν ἀπαιτεῖν· εἰ δέ τινα τέχνην τῶν βαναύσων τούτων ἐκμάθοιμι, τὸ μὲν πρῶτον εὐθὺς ἂν αὐτὸς ἔχειν τὰ ἀρκοῦντα παρὰ τῆς τέχνης, καὶ μηκέτι οἰκόσιτος εἶναι, τηλικοῦτος ὤν· οὐκ εἰς μακρὰν δὲ καὶ τὸν πατέρα εὐφρανεῖν, ἀποφέρων ἀεὶ τὸ γιγνόμενον. Δευτέρας οὖν σκέψεως ἀρχὴ προὐτέθη, τίς ἀρίστη τῶν τεχνῶν, καὶ ῥᾴστη ἐκμαθεῖν, καὶ ἀνδρὶ ἐλευθέρῳ πρέπουσα, καὶ πρόχειρον ἔχουσα τὴν χορηγίαν, καὶ διαρκῆ τὸν πόρον. ἄλλου τοίνυν ἄλλην ἐπαινοῦντος, ὡς ἕκαστος γνώμης ἢ ἐμπειρίας εἶχεν, ὁ πατὴρ εἰς τὸν θεῖον ἀπιδὼν (παρῆν γὰρ ὁ πρὸς μητρὸς θεῖος, ἄριστος ἑρμογλύφος εἶναι δοκῶν, καὶ λι-

θοξόος ἐν τοῖς μάλιστα εὐδοκίμοις) οὐ θέμις εἶπεν ἄλλην τέχνην ἐπικρατεῖν, σοῦ παρόντος. ἀλλὰ τοῦτον ἄγε, δείξας ἐμὲ, καὶ δίδασκε παραλαβὼν λίθων ἐργάτην ἀγαθὸν εἶναι, καὶ συναρμοστὴν, καὶ ἑρμογλυφέα. δύναται γὰρ καὶ τοῦτο, φύσεώς γε ὡς οἶσθα ἔχων δεξιῶς. ἐτεκμαίρετο δὲ ταῖς ἐκ τοῦ κηροῦ παιδιαῖς. ὁπότε γὰρ ἀφεθείην ὑπὸ τῶν διδασκάλων, ἀποξέων ἂν τὸν κηρὸν, ἢ βόας, ἢ ἵππους, ἢ καὶ νὴ Δί' ἀνθρώπους ἀνέπλαττον, εἰκότως, ὡς ἐδόκουν τῷ πατρί. ἐφ' οἷς, παρὰ μὲν τῶν διδασκάλων, πληγὰς ἐλάμβανον. τότε δὲ ἔπαινος εἰς τὴν εὐφυΐαν καὶ ταῦτα ἦν. καὶ χρηστὰς εἶχον ἐπ' ἐμοὶ τὰς ἐλπίδας, ὡς ἐν βραχεῖ μαθήσομαι τὴν τέχνην, ἀπ' ἐκείνης γε τῆς πλαστικῆς. ἅμα τε οὖν ἐπιτήδειος ἐδόκει ἡμέρα τέχνης ἐνάρχεσθαι. κἀγὼ παρεδεδόμην τῷ θείῳ, μὰ τὸν Δί' οὐ σφόδρα τῷ πράγματι ἀχθόμενος. ἀλλά μοι καὶ παιδιάν τινα οὐκ ἀτερπῆ ἐδόκει ἔχειν, καὶ πρὸς τοὺς ἡλικιώτας ἐπίδειξιν, εἰ φαινοίμην θεούς τε γλύφων, καὶ ἀγαλμάτιά τινα μικρὰ κατασκευάζων ἐμαυτῷ τε, κἀκείνοις, οἷς προῃρούμην, καὶ τό γε πρῶτον ἐκεῖνο καὶ σύνηθες τοῖς ἀρχομένοις ἐγίγνετο. ἐγκοπέα γάρ τινά μοι δοὺς ὁ θεῖος, ἐκέλευσέ μοι ἠρέμα καθικέσθαι πλακὸς, ἐν μέσῳ κειμένης, ἐπειπὼν τὸ κοινὸν, Ἀρχὴ δέ τοι ἥμισυ παντός. σκληρότερον δὲ κατενεγκόντος ὑπ' ἀπειρίας, κατεάγη μὲν ἡ πλάξ. ὁ δὲ ἀγανακτήσας, σκυτάλην τινὰ κειμένην πλησίον λαβὼν, οὐ πρᾴως, οὐδὲ προτρεπτικῶς μου κατήρξατο. ὥστε δάκρυά μοι τὰ προοίμια τῆς τέχνης. ἀποδρὰς οὖν ἐκεῖθεν, ἐπὶ τὴν οἰκίαν ἀφικνοῦμαι, συνεχὲς ἀνολολύζων, καὶ δακρύων τοὺς ὀφθαλμοὺς ὑπόπλεως. καὶ διηγοῦμαι τὴν σκυτάλην. καὶ τοὺς μώλωπας ἐδείκνυον. καὶ κατηγόρουν πολλήν τινα ὠμότητα, προσθεὶς ὅτι ὑπὸ φθόνου ταῦτα ἔδρασε. μὴ αὐτὸν ὑπερβάλωμαι κατὰ τὴν τέχνην. ἀγανακτησαμένης δὲ τῆς μητρὸς, καὶ πολλὰ τῷ ἀδελφῷ λοιδορησαμένης, ἐπεὶ νὺξ ἐπῆλθε, κατέδαρθον ἔτι ἔνδακρυς, καὶ τὴν νύχθ' ὅ-

λην

λὴν ἐννοῶν. Μέχρι μὲν δὴ τούτων γελάσιμα, καὶ μειρακιώδη τὰ εἰρημένα. τὰ μετὰ ταῦτα δὲ, οὐκέτι εὐκαταφρόνητα ὦ ἄνδρες ἀκούσεσθε, ἀλλὰ καὶ πάνυ φιληκόων ἀκροατῶν δεόμενα· ἵνα γὰρ καθ᾽ Ὅμηρον εἴπω, Θεῖός μοι ἐνύπνιον ἦλθεν ὄνειρος ἀμβροσίην διὰ νύκτα, ἐναργὴς οὕτως, ὥστε μηδὲν ἀπολείπεσθαι τῆς ἀληθείας. ἔτι γοῦν καὶ μετὰ τοσοῦτον χρόνον, τά τε σχήματά μοι τῶν φανέντων ἐν τοῖς ὀφθαλμοῖς παραμένει, καὶ ἡ φωνὴ τῶν ἀκουσθέντων ἔναυλος, οὕτω σαφῆ πάντα ἦν. Δύο γυναῖκες λαβόμεναι ταῖν χεροῖν, εἷλκόν με πρὸς ἑαυτὴν ἑκατέρα μάλα βιαίως, καὶ καρτερῶς. μικροῦ γοῦν με διεσπάσαντο πρὸς ἀλλήλας φιλοτιμούμεναι. καὶ γὰρ ἄρτι μὲν ἂν, ἡ ἑτέρα ἐπεκράτει, καὶ παραμικρὸν ὅλον εἶχέ με. ἄρτι δὲ ἂν, αὖθις ὑπὸ τῆς ἑτέρας εἰχόμην. ἐβόων δὲ πρὸς ἀλλήλας ἑκατέρα ἡ μὲν, ὡς αὐτῆς ὄντα με κεκτῆσθαι βούλοιτο. ἡ δὲ, ὡς μάτην τῶν ἀλλοτρίων ἀντιποιοῖτο. ἦν δὲ ἡ μὲν ἐργατικὴ, καὶ ἀνδρικὴ, καὶ αὐχμηρὰ τὴν κόμην, τὼ χεῖρε τύλων ἀνάπλεως, διεζωσμένη τὴν ἐσθῆτα, τιτάνου καταγέμουσα, οἷος ἦν ὁ θεῖος ὁπότε ξέοι τοὺς λίθους. ἡ ἑτέρα δὲ, μάλα εὐπρόσωπος, καὶ τὸ σχῆμα εὐπρεπὴς, καὶ κόσμιος τὴν ἀναβολήν. τέλος δ᾽ οὖν, ἐφιᾶσι μοι δικάζειν ὁποτέρᾳ βουλοίμην συνεῖναι αὐτῶν. προτέρα δὲ ἡ σκληρὰ ἐκείνη, καὶ ἀνδρώδης ἔλεξεν. Ἐγὼ φίλε παῖ, ἑρμογλυφικὴ τέχνη εἰμὶ, ἣν χθὲς ἤρξω μανθάνειν, οἰκεία τέ σοι καὶ συγγενὴς οἴκοθεν. ὅ, τε γὰρ πάππος σου, εἰποῦσα τοὔνομα τοῦ μητροπάτορος, λιθοξόος ἦν, καὶ τὼ θείω ἀμφοτέρω. καὶ μάλα εὐδοκιμεῖτον δι᾽ ἡμᾶς. εἰ δὲ θέλοις λήρων μὲν καὶ φληνάφων τῶν παρὰ ταύτης ἀπέχεσθαι, δείξασα τὴν ἑτέραν, ἕπεσθαι δὲ καὶ συνοικεῖν ἐμοὶ, πρῶτα μὲν θρέψῃ γεννικῶς, καὶ τοὺς ὤμους ἕξεις καρτερούς, φθόνου δὲ παντὸς ἀλλότριος ἔσῃ, καὶ οὔποτε ἄπει ἐπὶ τὴν ἀλλοδαπὴν, τὴν πατρίδα, καὶ τοὺς οἰκείους καταλιπών. οὐδὲ ἐπὶ λόγοις ἐπαινέσονταί σε πάντες. μὴ μυσαχθῇς δὲ τοῦ σώματος τὸ εὐτελὲς, μὴ δὲ

τῆς ἐσθῆτος τὸ πιναρόν. ἀπὸ γὰρ τῶν τοιούτων ὁρμώμενος καὶ Φειδίας ἐκεῖνος ἔδειξε τὸν Δία. καὶ Πολύκλειτος τὴν Ἥραν εἰργάσατο, καὶ Μύρων ἐπῃνέθη, καὶ Πραξιτέλης ἐθαυμάσθη, προσκυνοῦνται γοῦν οὗτοι μετὰ τῶν θεῶν. εἰ δὴ τούτων εἷς γένοιο, πῶς μὲν οὐ κλεινὸς αὐτὸς παρὰ πᾶσιν ἀνθρώποις γένοιο; ζηλωτὸν δὲ καὶ τὸν πατέρα ἀποδείξεις. περίβλεπτον δὲ ἀποφανεῖς καὶ τὴν πατρίδα. ταῦτα καὶ ἔτι τούτων πλείονα, διαπταίουσα, καὶ βαρβαρίζουσα, πάμπολλα εἶπεν ἡ τέχνη, μάλα δὴ σπουδῇ συνείρουσα, καὶ πείθειν με πειρωμένη. ἀλλ' οὐκέτι μέμνημαι. τὰ πλεῖστα γὰρ ἤδη μου τὴν μνήμην διέφυγεν. ἐπεὶ δ' οὖν ἐπαύσατο, ἄρχεται ἡ ἑτέρα ὧδέ πως Ἐγὼ δὲ ὦ τέκνον, παιδεία εἰμὶ ἤδη συνήθης σοι, καὶ γνωρίμη, εἰ καὶ μηδέπω εἰς τέλος μου πεπείρασαι. ἡλίκα μὲν οὖν τὰ ἀγαθὰ ποριῇ λιθοξόος γινόμενος, αὐτὴ προείρηκεν. οὐδὲν γὰρ ὅτι μὴ ἐργάτης ἔσῃ, τῷ σώματι πονῶν, κἀν τούτῳ τὴν ἅπασαν ἐλπίδα τοῦ βίου τεθειμένος. ἀφανὴς μὲν αὐτὸς ὢν, ὀλίγα καὶ ἀγεννῆ λαμβάνων, ταπεινὸς τὴν γνώμην, εὐτελὴς δὲ τὴν πρόσοδον, οὔτε φίλοις ἐπιδικάσιμος, οὔτε ἐχθροῖς φοβερὸς, οὔτε τοῖς πολίταις ζηλωτὸς, ἀλλ' αὐτὸ μόνον ἐργάτης, καὶ τῶν ἐκ τοῦ πολλοῦ δήμου εἷς, ἀεὶ τὸν προύχοντα ὑποπτήσσων, καὶ τὸν λέγειν δυνάμενον θεραπεύων, λαγὼ βίον ζῶν, καὶ τοῦ κρείττονος ἕρμαιον ὤν. εἰ δὲ καὶ Φειδίας, ἢ Πολύκλειτος γένοιο καὶ θαυμαστὰ πολλὰ ἐξεργάσαιο, τὴν μὲν τέχνην ἅπαντες ἐπαινέσονται, οὐκ ἔστι δὲ ὅστις τῶν ἰδόντων, εἰ νοῦν ἔχοι, εὔξαιτ' ἂν σοι ὅμοιος γενέσθαι. οἷος γὰρ ἂν ᾖς, βάναυσος, καὶ χειρῶναξ, καὶ ἀποχειροβίωτος νομισθήσῃ. ἢν δέ μοι πείθῃ, πρῶτον μέν σοι πολλὰ ἐπιδείξω παλαιῶν ἀνδρῶν ἔργα, καὶ πράξεις θαυμαστὰς, καὶ λόγους αὐτῶν ἀπαγγέλλουσα, καὶ πάντων ὡς εἰπεῖν, ἔμπειρον ἀποφαίνουσα· καὶ τὴν ψυχὴν, ὅπερ σοι κυριώτατόν ἐστι, κατακοσμήσω πολλοῖς, καὶ ἀγαθοῖς κοσμήμασι, σωφροσύνῃ, δικαιοσύνῃ, εὐσεβείᾳ, πραότη-


τι,

τι, ἐπιεικείᾳ, συνέσει, καρτερίᾳ, τῷ τῶν καλῶν ἔρωτι, τῇ πρὸς τὰ σεμνότατα ὁρμῇ· ταῦτα γάρ ἐστιν ὁ τῆς ψυχῆς ἀκήρατος ὡς ἀληθῶς κόσμος. λήσει δέ σε οὔτε παλαιὸν οὐδὲν, οὔτε νῦν γενέσθαι δέον, ἀλλὰ καὶ τὰ δέοντα προόψει μετ' ἐμοῦ· καὶ ὅλως, ἅπαντα ὁπόσα ἐστὶ τά τε θεῖα, τά τε ἀνθρώπινα, οὐκ εἰς μακρὰν σε διδάξομαι. καὶ ὁ νῦν πένης, ὁ τοῦ δεῖνος, ὁ βουλευσάμενός τι περὶ ἀγεννοῦς οὕτω τέχνης, μετ' ὀλίγον ἅπασι ζηλωτὸς, καὶ ἐπίφθονος ἔσῃ, τιμώμενος, καὶ ἐπαινούμενος, καὶ ἐπὶ τοῖς ἀρίστοις εὐδοκιμῶν, καὶ ὑπὸ τῶν γένει καὶ πλούτῳ προὐχόντων ἀποβλεπόμενος· ἐσθῆτα μὲν τοιαύτην ἀμπεχόμενος, δείξασα τὴν ἑαυτῆς, πάνυ δὲ λαμπρὰν ἐφόρει, ἀρχῆς δὲ καὶ προεδρείας ἀξιούμενος· κἂν που ἀποδημῇς, οὐδ' ἐπὶ τῆς ἀλλοδαπῆς ἀγνὼς, οὐδ' ἀφανὴς ἔσῃ. τοιαῦτά σοι περιθήσω τὰ γνωρίσματα. ὥστε τῶν ὁρώντων ἕκαστος, τὸν πλησίον κινήσας, δείξει σε τῷ δακτύλῳ, οὗτος ἐκεῖνος λέγων. ἂν δέ τι σπουδῆς ἄξιον ᾖ, καὶ τοὺς φίλους, ἢ καὶ τὴν πόλιν ὅλην καταλαμβάνῃ, εἰς σὲ πάντες ἀποβλέψονται· κἂν που τι λέγων τύχῃς, κεχηνότες οἱ πολλοὶ ἀκούσονται, θαυμάζοντες καὶ εὐδαιμονίζοντές σε τῶν λόγων τῆς δυνάμεως, καὶ τὸν πατέρα τῆς εὐποτμίας. ὃ δὲ λέγουσιν ὡς ἄρα ἀθάνατοι γίγνονταί τινες ἐξ ἀνθρώπων, τοῦτό σοι περιποιήσω· καὶ γὰρ ἢν αὐτὸς ἐκ τοῦ βίου ἀπέλθῃς, οὔποτε παύσῃ συνὼν τοῖς πεπαιδευμένοις, καὶ προσομιλῶν τοῖς ἀρίστοις. ὁρᾷς τὸν Δημοσθένην ἐκεῖνον, τίνος υἱὸν ὄντα, ἐγὼ ἡλίκον ἐποίησα; ὁρᾷς τὸν Αἰσχίνην, ὃς τυμπανιστρίας υἱὸς ἦν, ἀλλ' ὅμως αὐτὸν δι' ἐμὲ Φίλιππος ἐθεράπευσεν; ὁ δὲ Σωκράτης, καὶ αὐτὸς ὑπὸ τῇ ἑρμογλυφικῇ ταύτῃ τραφεὶς, ἐπειδὴ τάχιστα συνῆκε τοῦ κρείττονος, καὶ δραπετεύσας παρ' αὐτῆς, ηὐτομόλησεν ὡς ἐμὲ, ἀκούεις ὡς παρὰ πάντων ᾄδεται; ἀφεὶς δὲ αὐτοὺς τηλικούτους, καὶ τοιούτους ἄνδρας, καὶ πράξεις λαμπρὰς, καὶ λόγους σεμνοὺς, καὶ σχῆμα εὐπρεπὲς, καὶ τιμὴν, καὶ δόξαν, καὶ ἔπαινον, καὶ προε-

δρείας, καὶ δύναμιν, καὶ ἀρχὰς, καὶ τὸ ἐπὶ λόγοις εὐδοκι-
μεῖν, καὶ τὸ ἐπὶ συνέσει εὐδαιμονίζεσθαι, χιτώνιόν τε πινα-
ρὸν ἐνδύσῃ, καὶ σχῆμα δουλοπρεπὲς ἀναλήψῃ, καὶ μοχλία, καὶ
γλυφεῖα, καὶ κοπέας, καὶ κολαπτῆρας ἐν ταῖν χεροῖν ἕξεις, κά-
τω νενευκὼς εἰς τὸ ἔργον, χαμαιπετὴς, καὶ χαμαίζηλος, καὶ
πάντα τρόπον ταπεινός. ἀνακύπτων δὲ οὐδέποτε, οὐδὲ ἀνδρῶδες,
οὐδὲ ἐλευθέριον οὐδὲν ἐπινοῶν, ἀλλὰ τὰ μὲν ἔργα ὅπως εὔρυθμα,
καὶ εὐσχήμονα ἔσται σοι προνοῶν, ὅπως δὲ αὐτὸς εὔρυθμός τε, καὶ
κόσμιος ἔσῃ, ἥκιστα πεφροντικὼς, ἀλλ' ἀτιμότερον ποιῶν σε-
αυτὸν λίθων. Ταῦτα ἔτι λεγούσης αὐτῆς, οὐ περιμείνας ἐγὼ τὸ
τέλος τῶν λόγων, ἀναστὰς ἀπεφηνάμην. καὶ τὴν ἄμορφον ἐκεί-
νην, καὶ ἐργατικὴν ἀπολιπὼν, μετέβαινον πρὸς τὴν παιδείαν
μάλα γεγηθὼς, καὶ μάλιστα ἐπεί μοι καὶ εἰς νοῦν ἦλθεν ἡ σκυ-
τάλη, καὶ ὅτι πληγὰς εὐθὺς οὐκ ὀλίγας ἀρχομένῳ μοι χθὲς ἐνε-
τρίψατο. ἡ δὲ, ἀπολειφθεῖσα, τὸ μὲν πρῶτον ἠγανάκτει, καὶ
τὼ χεῖρε συνεκρότει, καὶ τοὺς ὀδόντας ἐνέπριε. τέλος δὲ, ὥσπερ
τὴν Νιόβην ἀκούομεν, ἐπεπήγει, καὶ εἰς λίθον μετεβέβλητο. εἰ
δὲ παράδοξα ἔπαθε, μὴ ἀπιστήσητε. θαυματοποιοὶ γὰρ οἱ ὄ-
νειροι. ἡ ἑτέρα δὲ πρός με ἀπιδοῦσα, τοιγαροῦν ἀμείψομαί σε ἔφη
τῆσδε τῆς δικαιοσύνης, ὅτι καλῶς τὴν δίκην ἐδίκασας. καὶ ἐλθὲ ἤ-
δη, ἐπίβηθι τούτου τοῦ ὀχήματος, δείξασά τι ὄχημα ὑποπτέρων
ἵππων τινῶν, τῷ Πηγάσῳ ἐοικότων, ὅπως ἴδῃς οἷα καὶ ἡλίκα μὴ
ἀκολουθήσας ἐμοὶ, ἀγνοήσειν ἔμελλες. ἐπεὶ δὲ ἀνῆλθον, ἡ μὲν ,
ἤλαυνε, καὶ ὑφηνιόχει. ἀρθεὶς δὲ εἰς ὕψος ἐγὼ, ἐπεσκόπουν
ἀπὸ τῆς ἕω ἀρξάμενος ἄχρι πρὸς ἑσπέραν, πόλεις, καὶ ἔθνη, καὶ δή-
μους, καθάπερ ὁ Τριπτόλεμος ἀποσπείρων τι ἐς τὴν γῆν. οὐκέτι
μέντοι μέμνημαι ὅ, τι τὸ σπειρόμενον ἐκεῖνο ἦν, πλὴν τοῦτο μό-
νον, ὅτι κάτωθεν ἀφορῶντες οἱ ἄνθρωποι, ἐπῄνουν, καὶ μετ' εὐφη-
μίας καθ' οὓς γενοίμην τῇ πτήσει, παρέπεμπον. δείξασα δέ
μοι τὰ τοσαῦτα, κἀμὲ τοῖς ἐπαινοῦσιν ἐκείνοις, ἐπανήγαγεν αὖ-
θις, οὐκέτι τὴν αὐτὴν ἐσθῆτα ἐκείνην ἐνδεδυκότα, ἣν εἶχον ἀφιπτά-

μενος

μενος. ἀλλ' ἐμοὶ ἐδόκει ὑπάρυφός τις ἐπανήκειν. καταλαβοῦσα οὖν καὶ τὸν πατέρα ἑστῶτα, καὶ περιμένοντα, ἐδείκνυεν αὐτῷ ἐκείνην τὴν ἐσθῆτα, κἀμὲ, οἷος ἥκοιμι. καί τι καὶ ὑπέμνησεν οἷα μικροῦ δεῖν περὶ ἐμοῦ ἐβουλεύσαντο. ταῦτα μέμνημαι ἰδὼν, ἀντίπαις ἔτι ὢν, ἐμοὶ δοκεῖ ἐκταραχθεὶς πρὸς τὸν τῶν πληγῶν φόβον. Μεταξὺ δὲ λέγοντος, Ἡράκλεις ἔφη τις, ὡς μακρὸν τὸ ἐνύπνιον, καὶ δικανικόν. εἶτ' ἄλλος ὑπέκρουσε, χειμερινὸς ὄνειρος, ὅτι μήκισταί εἰσιν αἱ νύκτες· ἢ τάχα που τριέσπερος ὥσπερ ὁ Ἡρακλῆς καὶ αὐτός ἐστι. τί δ' οὖν ἐπῆλθεν αὐτῷ ληρῆσαι ταῦτα πρὸς ἡμᾶς, καὶ μνησθῆναι παιδικῆς νυκτὸς, καὶ ὀνείρων παλαιῶν, καὶ ἤδη γεγηρακότων; ἕωλος γὰρ ἡ ψυχρολογία. μὴ ὀνείρων τινῶν ἡμᾶς ὑποκριτάς τινας ὑπείληφεν; οὐκ ὠγαθέ· οὐδὲ γὰρ ὁ Ξενοφῶν ποτε διηγούμενος τὸ ἐνύπνιον, ὡς ἐδόκει αὐτῷ καὶ ἐν τῇ πατρῴᾳ οἰκίᾳ, καὶ τὰ ἄλλα. ἴστε γὰρ οὐχ ὑπόκρισιν τὴν ὄψιν, οὐδ' ὡς φλυαρεῖν ἐγνωκὼς αὐτὰ διεξῄει· καὶ ταῦτα ἐν τῷ πολέμῳ, καὶ ἀπογνώσει πραγμάτων, περιεστώτων πολεμίων. ἀλλά τι καὶ χρήσιμον εἶχεν ἡ διήγησις· καὶ τοίνυν κἀγὼ τοῦτον ὄνειρον ὑμῖν διηγησάμην ἐκείνου ἕνεκα, ὅπως οἱ νέοι πρὸς τὰ βελτίω τρέπωνται, καὶ παιδείας ἔχωνται. καὶ μάλιστα εἴ τις αὐτῶν ὑπὸ πενίας ἐθελοκακεῖ, καὶ πρὸς τὰ ἥττω ἀποκλίνει, φύσιν οὐκ ἀγεννῆ διαφθείρων. ἐπιρρωσθήσεται εὖ οἶδ' ὅτι κἀκεῖνος ἀκούσας τοῦ μύθου, ἱκανὸν ἑαυτοῦ παράδειγμα ἐμὲ προστησάμενος, ἐννοῶν οἷος μὲν ὢν, πρὸς τὰ κάλλιστα ὥρμησα, καὶ παιδείας ἐπεθύμησα, μηδὲν ἀποδειλιάσας πρὸς τὴν πενίαν τὴν τότε, οἷος δὲ πρὸς ὑμᾶς ἐπανελήλυθα, εἰ καὶ μηδὲν ἄλλο, οὐδενὸς γοῦν τῶν λιθογλύφων ἀδοξότερος.



ΝΕΚΡΙΚΟΙ ΔΙΑΛΟΓΟΙ.

Διογένους, καὶ Πολυδεύκους.

ΔΙΟΓΕΝΗΣ.

Ὦ Πολύδευκες, ἐντέλλομαί σοι ἐπειδὰν τάχιστα ἀνέλθῃς, σὸν γάρ ἐστιν, οἶμαι, τὸ ἀναβιῶναι αὔριον, ἤν πε ἴδῃς Μένιππον τὸν κύνα (εὕροις δ' ἂν αὐτὸν ἐν Κορίνθῳ κατὰ τὸ Κράνειον, ἢ ἐν Λυκείῳ, τῶν ἐριζόντων πρὸς ἀλλήλους φιλοσόφων καταγελῶντα) εἰπεῖν πρὸς αὐτὸν, ὅτι σοι, ὦ Μένιππε, κελεύει ὁ Διογένης, εἴ σοι ἱκανῶς τὰ ὑπὲρ γῆς καταγεγέλασται, ἥκειν ἐνθάδε πολλῷ πλείω ἐπιγελασόμενον. ἐκεῖ μὲν γὰρ ἐν ἀμφιβόλῳ σοι ἔτι ὁ γέλως ἦν, καὶ πολὺ τὸ, τίς γὰρ ὅλως οἶδε τὰ μετὰ τὸν βίον; ἐνταῦθα δὲ οὐ παύσῃ βεβαίως γελῶν, καθάπερ ἐγὼ νῦν, μάλιστα ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους καὶ σατράπας καὶ τυράννους, οὕτω ταπεινοὺς καὶ ἀσήμους, ἐκ μόνης οἰμωγῆς διαγινωσκομένους, καὶ ὅτι μαλθακοὶ καὶ ἀγεννεῖς εἰσι, μεμνημένοι τῶν ἄνω. ταῦτα λέγε αὐτῷ, καὶ προσέτι ἐμπλησάμενον τὴν πήραν, ἥκειν θέρμων τε πολλῶν, καὶ εἴπου εὕροι ἐν τῇ τριόδῳ Ἑκάτης δεῖπνον κείμενον, ἢ ᾠὸν ἐκ καθαρσίου, ἤ τι τοιοῦτο. Πο. Ἀλλ' ἀπαγγελῶ ταῦτα, ὦ Διόγενες. ὅπως δὲ εἰδῶ μάλιστα, ὁποῖός τίς ἐστι τὴν ὄψιν; Διο. Γέρων, φαλακρὸς, τριβώνιον ἔχων πολύθυρον, ἅπαντι ἀνέμῳ ἀναπεπταμένον, καὶ ταῖς ἐπιπτυχαῖς τῶν ῥακίων ποικίλον· γελᾷ δ' ἀεὶ, καὶ τὰ πολλὰ τοὺς ἀλαζόνας τούτους φιλοσόφους ἐπισκώπτει. Πολ. Ῥᾴδιον εὑρεῖν ἀπό γε τούτων. Διο. Βούλει, καὶ πρὸς αὐτοὺς ἐκείνους ἐντείλωμαί τι τοὺς

φιλο-

φιλοσόφους; Πολ. Λέγε, οὐ βαρὺ γὰρ οὐδὲ τοῦτο. Διο. Τὸ μὲν ὅλον, παύσασθαι αὐτοῖς παρεγγύα ληροῦσι, καὶ περὶ τῶν ὅλων ἐρίζουσι, καὶ κέρατα φύουσιν ἀλλήλοις, καὶ κροκοδείλους ποιοῦσι, καὶ τοιαῦτα ἄπορα ἐρωτᾶν διδάσκουσι τὸν νοῦν. Πολ. Ἀλλ' ἐμὲ ἀμαθῆ καὶ ἀπαίδευτον εἶναί φήσουσι, κατηγοροῦντα τῆς σοφίας αὐτῶν. Διο. Σὺ δὲ οἰμώζειν αὐτοῖς παρ' ἐμοῦ λέγε. Πολ. Καὶ ταῦτα ὦ Διόγενες ἀπαγγελῶ. Διο. Τοῖς πλουσίοις δὲ, ὦ φίλτατον Πολυδεύκιον, ἀπάγγελε ταῦτα παρ' ἡμῶν. τί ὦ μάταιοι τὸν χρυσὸν φυλάττετε; τί δὲ τιμωρεῖσθε ἑαυτοὺς, λογιζόμενοι τοὺς τόκους, καὶ τάλαντα ἐπὶ ταλάντοις συντιθέντες, οὓς χρὴ ἕνα ὀβολὸν ἔχοντας, ἥκειν μετ' ὀλίγον; Πολυ. Εἰρήσεται καὶ ταῦτα πρὸς ἐκείνους. Διο. Ἀλλὰ καὶ τοῖς καλοῖς γε καὶ ἰσχυροῖς λέγε, Μεγίλλῳ τε τῷ Κορινθίῳ, καὶ Δαμοξένῳ τῷ παλαιστῇ, ὅτι παρ' ἡμῖν οὔτε ἡ ξανθὴ κόμη, οὔτε τὰ χαροπὰ ἢ μέλανα ὄμματα, ἢ ἐρύθημα ἐπὶ τοῦ προσώπου ἔτι ἐστὶν, ἢ νεῦρα εὔτονα, ἢ ὦμοι καρτεροὶ, ἀλλὰ πάντα, μία ἡμῖν κόνις, φασὶ, κρανία γυμνὰ τοῦ κάλλους. Πο. Οὐ χαλεπὸν οὐδὲ ταῦτα εἰπεῖν πρὸς τοὺς καλοὺς καὶ ἰσχυρούς. Διο. Καὶ τοῖς πένησιν, ὦ Λάκων, πολλοὶ δ' εἰσὶ, καὶ ἀχθόμενοι τῷ πράγματι, καὶ οἰκτείροντες τὴν ἀπορίαν, λέγε μήτε δακρύειν, μήτ' οἰμώζειν, διηγησάμενος τὴν ἐνταῦθα ἰσοτιμίαν, καὶ ὅτι ὄψονται τοὺς ἐκεῖ πλουσίους οὐδὲν ἀμείνους αὐτῶν. καὶ Λακεδαιμονίοις δὲ τοῖς σοῖς, ταῦτα, εἰ δοκεῖ, παρ' ἐμοῦ ἐπιτίμησον, λέγων ἐκλελύσθαι αὐτούς. Πο. Μηδὲν, ὦ Διόγενες, περὶ Λακεδαιμονίων λέγε, οὐ γὰρ ἀνέξομαί γε. ἃ δὲ πρὸς ἄλλους ἔφησθα, ἀπαγγελῶ. Διο. Ἐάσωμεν τούτους, ἐπεί σοι δοκεῖ, σὺ δὲ, οἷς προεῖπον, ἀπένεγκαι παρ' ἐμοῦ τοὺς λόγους.

Πλού-

Πλούτων, ἢ κατὰ Μενίππου.

ΚΡΟΙ͂ΣΟΣ.

ΟΥ̓ φέρομεν, ὦ Πλούτων, Μένιππον τουτονὶ τὸν κύνα παροικοῦντα, ὥστε ἢ ἐκεῖνόν ποι κατάστησον, ἢ ἡμεῖς μετοικήσωμεν εἰς ἕτερον τόπον. Πλού. Τί δ' ὑμᾶς δεινὸν ἐργάζεται ὁμόνεκρος ὤν; Κροῖ. ἐπειδὰν ἡμεῖς οἰμώζομεν, καὶ στένομεν, ἐκείνων μεμνημένοι τῶν ἄνω, Μίδας μὲν οὑτοσὶ τοῦ χρυσίου, Σαρδανάπαλος δὲ τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ τῶν θησαυρῶν, ἐπιγελᾷ, καὶ ἐξονειδίζει, ἀνδράποδα καὶ καθάρματα ἡμᾶς ἀποκαλῶν. ἐνίοτε δὲ καὶ ᾄδων, ἐπιταράττει ἡμῶν τὰς οἰμωγὰς, καὶ ὅλως, λυπηρός ἐστι. Πλού. Τί ταῦτα φασὶν, ὦ Μένιππε; Μέ. Ἀληθῆ ὦ Πλούτων. μισῶ γὰρ αὐτοὺς ἀγεννεῖς, καὶ ὀλεθρίους ὄντας, οἷς οὐκ ἀπέχρησε βιῶναι κακῶς, ἀλλὰ καὶ ἀποθανόντες ἔτι μέμνηνται, καὶ περιέχονται τῶν ἄνω, χαίρω τοιγαροῦν ἀνιῶν αὐτούς. Πλού. Ἀλλ' οὐ χρὴ, λυποῦνται γὰρ οὐ μικρῶν στερούμενοι. Μέ. Καὶ σὺ μωραίνεις, ὦ Πλούτων, ὁμόψηφος ὢν τοῖς τούτων στεναγμοῖς; Πλού. Οὐδαμῶς, ἀλλ' οὐκ ἂν ἐθελήσαιμι στασιάζειν ὑμᾶς. Μέ. Καὶ μὴν ὦ κάκιστοι Λυδῶν καὶ Φρυγῶν καὶ Ἀσυρίων, οὕτω γινώσκετε, ὡς οὐδὲ παυσομένου μου, ἔνθα γὰρ ἂν ἴητε, ἀκολουθήσω ἀνιῶν καὶ κατᾴδων καὶ καταγελῶν. Κροῖ. ταῦτα οὐχ ὕβρις; Μέ. Οὔκ, ἀλλ' ἐκεῖνα ὕβρις ἦν, ἃ ὑμεῖς ἐποιεῖτε, προσκυνεῖσθαι ἀξιοῦντες, καὶ ἐλευθέροις ἀνδράσιν ἐντρυφῶντες, καὶ τοῦ θανάτου τοπαράπαν οὐ μνημονεύοντες; τοιγαροῦν οἰμώζετε, πάντων ἐκείνων ἀφῃρημένοι. Κροῖ. πολλῶν γε, ὦ θεοὶ, καὶ μεγάλων κτημάτων. Μίν. Ὅσου μὲν ἐγὼ χρυσοῦ. Σαρ. Ὅσης δ' ἐγὼ τρυφῆς. Μέ. Εὖγε οὕτω ποιεῖτε ὀδύρεσθε μὲν ὑμεῖς, ἐγὼ δὲ, τὸ γνῶθι σαυτὸν πολλάκις συνείρων, ἐπᾴσομαι ὑμῖν. πρέποι γὰρ ἂν ταῖς τοιαύταις οἰμωγαῖς ἐπᾳδόμενον.

Ἐρ-

Ἑρμοῦ, καὶ Χάρωνος.

ἙΡΜΗ͂Σ.

Λογισώμεθα ὦ πορθμεῦ, εἰ δοκεῖ, ὁπόσα μοι ὀφείλεις ἤδη, ὅπως μὴ αὖθις ἐρίζωμέν τι περὶ αὐτῶν. Χα. Λογισώμεθα ὦ Ἑρμῆ, ἄμεινον γὰρ ὡρίσθαι περὶ αὐτῶν, καὶ ἀπραγμονέστερον. Ἑρ. Ἄγκυραν ἐντειλαμένῳ ἐκόμισα πέντε δραχμῶν. Χά. Πολλοῦ λέγεις. Ἑρ. Νὴ τὸν Ἀϊδωνέα, τῶν πέντε ὠνησάμην, καὶ τροπωτῆρα δύο ὀβολῶν. Χά. Τίθει πέντε δραχμὰς, καὶ ὀβολοὺς δύο. Ἑρ. Καὶ ἀκέστραν ὑπὲρ τοῦ ἱστίου πέντε ὀβολοὺς ἐγὼ κατέβαλον. Χά. Καὶ τούτους προστίθει. Ἑρ. Καὶ κηρὸν, ὡς ἐπιπλάσαι τοῦ σκαφιδίου τὰ ἀνεῳγότα, καὶ ἥλους δὲ, καὶ καλώδιον, ἀφ' οὗ τὴν ὑπέραν ἐποίησας, δύο δραχμῶν ἅπαντα. Χά. Εὖγε ἄξια ταῦτα ὠνήσω. Ἑρ. Ταῦτά ἐστιν, εἰ μή τι ἄλλο ἡμᾶς διέλαθεν ἐν τῷ λογισμῷ. πότε δ' οὖν ταῦτ' ἀποδώσειν φῄς; Χά. Νῦν μὲν ὦ Ἑρμῆ ἀδύνατον, ἢν δὲ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινὰς, ἐνέσται τότε ἀποκερδᾶναι ἐν τῷ πλήθει παραλογιζόμενον τὰ πορθμεῖα. Ἑρ. Νῦν οὖν ἐγὼ καθεδοῦμαι, τὰ κάκιστα εὐχόμενος γενέσθαι, ὡς ἂν ἀπὸ τούτων ἀπολαύοιμι; Χά. Οὐκ ἔστιν ἄλλως ὦ Ἑρμῆ, νῦν δ' ὀλίγοι, ὡς ὁρᾷς, ἀφικνοῦνται ἡμῖν, εἰρήνη γάρ. Ἑρ. Ἄμεινον οὕτως, εἰ καὶ ἡμῖν παρατείνοιτο ὑπὸ σοῦ τὸ ὄφλημα. πλὴν ἀλλ' οἱ μὲν παλαιοὶ, ὦ Χάρων οἶσθα, οἷοι παρεγίνοντο, ἀνδρεῖοι ἅπαντες, αἵματος ἀνάπλεῳ, καὶ τραυματίαι οἱ πολλοὶ, νῦν δὲ ἢ φαρμάκῳ τις ὑπὸ τοῦ παιδὸς ἀποθανὼν ἢ ὑπὸ τῆς γυναικὸς, ἢ ὑπὸ τρυφῆς ἐξῳδηκὼς τὴν γαστέρα καὶ τὰ σκέλη, ὠχροὶ γὰρ ἅπαντες, καὶ ἀγεννεῖς, οὐδὲ ὅμοιοι ἐκείνοις. οἱ δὲ πλεῖστοι αὐτῶν, διὰ χρήματα ἥκουσιν, ἐπιβουλεύοντες ἀλλήλοις, ὡς ἐοίκασι. Χά. Πάνυ γὰρ περιπόθητά ἐστι

ταῦ-

ταῦτα. Ἑρ. Οὐκοῦν οὐδ' ἐγὼ δόξαιμι ἂν ἁμαρτάνειν, πικρῶς ἀπαιτῶν τὰ ὀφειλόμενα παρὰ σοῦ.

Πλούτωνος, καὶ Ἑρμοῦ.

ΠΛΟΥΤΩΝ.

ΤΟν γέροντα οἶσθα, τὸν πάνυ γεγηρακότα λέγω, τὸν πλούσιον Εὐκράτην, ᾧ παῖδες μὲν οὐκ εἰσὶν, οἱ τὸν κλῆρον δὲ θηρῶντες, πεντακισμύριοι; Ἑρ. Ναὶ, τὸν Σικυώνιον φής; τί οὖν; Πλου. Ἐκεῖνον μὲν, ὦ Ἑρμῆ, ζῆν ἔασον ἐπὶ τοῖς ἐνενήκοντα ἔτεσιν, ἃ βεβίωκεν, ἐπιμετρήσας ἄλλα τοσαῦτα, εἴγε οἷόν τε ἦν, καὶ ἔτι πλείω. τοὺς δέ γε κόλακας αὐτοῦ, Χαρῖνον τὸν νέον, καὶ Δάμωνα, καὶ τοὺς ἄλλους, κατάσπασον ἐφεξῆς ἅπαντας. Ἑρ. Ἄτοπον ἂν δόξειε τὸ τοιοῦτον. Πλου. Οὐ μὲν οὖν, ἀλλὰ δικαιότατον. τί γὰρ ἐκεῖνοι παθόντες, εὔχονται ἀποθανεῖν ἐκεῖνον; ἢ τῶν χρημάτων ἀντιποιοῦνται, οὐδὲν προσήκοντες; ὃ δὲ πάντων ἐστὶ μιαρώτατον, ὅτι καὶ τοιαῦτα εὐχόμενοι, ὅμως θεραπεύουσιν ἔν γε τῷ φανερῷ· καὶ νοσοῦντος, ἃ μὲν βουλεύονται, πᾶσι πρόδηλα. θύσειν δὲ ὅμως ὑπισχνοῦνται, ἢν ῥαΐσῃ· καὶ ὅλως, ποικίλη τις ἡ κολακεία τῶν ἀνδρῶν. διὰ ταῦτα, ὁ μὲν, ἔστω ἀθάνατος· οἱ δὲ, προαπίτωσαν αὐτοῦ μάτην ἐπιχανόντες. Ἑρ. Γελοῖα πείσονται, πανοῦργοι ὄντες. πολλὰ κἀκεῖνος εὖ μάλα διαβουκολεῖ αὐτοὺς, καὶ ἐπελπίζει. καὶ ὅλως, ἀεὶ θανόντι ἐοικὼς, ἔρρωται πολὺ μᾶλλον τῶν νέων. οἱ δὲ, ἤδη τὸν κλῆρον ἐν σφίσι διῃρημένοι, βόσκονται, ζωὴν μακαρίαν πρὸς ἑαυτοὺς τιθέντες. Πλου. Οὐκοῦν ὁ μὲν ἀποδυσάμενος τὸ γῆρας, ὥσπερ Ἰόλεως ἀνηβησάτω· οἱ δ' ἀπὸ μέσων τῶν ἐλπίδων τὸν ὀνειροπποληθέντα πλοῦτον ἀπολιπόντες, ἡκέτωσαν ἤδη κακοὶ κακῶς ἀποθανόντες. Ἑρ. Ἀμέλησον ὦ Πλούτων. μετελεύσομαι γάρ σοι ἤδη αὐτοὺς καθ' ἕνα ἑξῆς. ἑπτὰ

δὲ

δὲ οἶμαί εἰσι. Πλου. Κατάσπα. ὁ δὲ παραπέμψει ἕκαστον, ἀντὶ γέροντος αὖθις πρωθήβης γενόμενος.

Τερψίωνος, καὶ Πλούτωνος.

ΤΕΡΨΙ'ΩΝ.

Τοῦτο ὦ Πλούτων δίκαιον, ἐμὲ μὲν τεθνάναι, τριάκοντα ἔτη γεγονότα, τὸν δὲ ὑπὲρ τὰ ἐνενήκοντα γέροντα, Θούκριτον ζῆν ἔτι; Πλού. δικαιότατον μὲν οὖν, ὦ Τερψίων, εἴγε ὁ μὲν ζῇ, μηδένα δεχόμενος ἀποθανεῖν τῶν φίλων, σὺ δὲ παρὰ πάντα τὸν χρόνον ἐπεβούλευες αὐτῷ, περιμένων τὸν κλῆρον. Τερ. Οὐ γὰρ ἐχρῆν γέροντα ὄντα, καὶ μηκέτι χρήσασθαι τῷ πλούτῳ αὐτὸν δυνάμενον, ἀπελθεῖν τοῦ βίου, παραχωρήσαντα τοῖς νέοις; Πλου. Καινὰ ὦ Τερψίων νομοθετεῖς, τὸν μηκέτι τῷ Πλούτῳ χρήσασθαι δυνάμενον, πρὸς ἡδονὴν ἀποθνήσκειν, τὸ δὲ ἄλλως ἡ Μοῖρα καὶ ἡ φύσις διέταξε. Τερ. Οὐκοῦν ταύτην αἰτιῶμαι τῆς διατάξεως, ἐχρῆν γὰρ τὸ πρᾶγμα ἑξῆς πως γίνεσθαι, τὸν πρεσβύτερον, πρότερον, καὶ μετὰ τοῦτον, ὅστις καὶ τῇ ἡλικίᾳ μετ' αὐτὸν, ἀναστρέφεσθαι δὲ μηδαμῶς, μηδὲ ζῆν μὲν τὸν ὑπέργηρων, ὀδόντας τρεῖς ἔτι λοιποὺς ἔχοντα, μόγις ὁρῶντα, οἰκέταις τέτρασιν ἐπικεκοφότα, κορύζης μὲν τὴν ῥῖνα, λήμης δὲ τοὺς ὀφθαλμοὺς μεστὸν ὄντα, οὐδὲν ἔτι ἡδὺ εἰδότα, ἔμψυχόν τινα τάφον ὑπὸ τῶν νέων καταγελώμενον, ἀποθνήσκειν δὲ καλλίστους, καὶ ἐρρωμενεστάτους νεανίσκους, ἄνω γὰρ ποταμῶν τοῦτόγε. ἢ τὸ τελευταῖον εἰδέναι ἐχρῆν, πότε καὶ τεθνήξεται τῶν γερόντων ἕκαστος, ἵνα μὴ μάτην ἂν ἐνίους ἐθεράπευον. νῦν δὲ τὸ τῆς παροιμίας, Ἡ ἅμαξα τὸν βοῦν πολλάκις ἐκφέρει. Πλού. Ταῦτα μὲν ὦ Τερψίων, πολὺ συνετώτερα γίνεται, ἤπερ σοὶ δοκεῖ. καὶ ὑμεῖς δὲ τί παθόντες, ἀλλοτρίοις ἐπι-

χαί·

χαίνετε, καὶ τοῖς ἀτέκνοις τῶν γερόντων εἰσποιεῖτε, φέροντες αὐτούς; τοιγαροῦν γέλωτα ὀφλισκάνετε, πρὸ ἐκείνων κατορυττόμενοι, καὶ τὸ πρᾶγμα τοῖς πολλοῖς ἥδιστον γίνεται. ὅσῳ γὰρ ὑμεῖς ἐκείνους ἀποθανεῖν εὔχεσθε, τοσούτῳ ἅπασιν ἡδὺ, προαποθανεῖν ὑμᾶς αὐτῶν. καινὴν γάρ τινα ταύτην τέχνην ἐπινενοήκατε, γραῶν καὶ γερόντων ἐρῶντες, καὶ μάλιστα εἰ ἄτεκνοι εἶεν, οἱ δὲ ἔντεκνοι, ὑμῖν ἀνέραστοι. καίτοι πολλοὶ ἤδη τῶν ἐρωμένων, συνέντες ὑμῶν τὴν πανουργίαν τοῦ ἔρωτος, ἢν καὶ τύχωσι παῖδας ἔχοντες, μισεῖν αὐτοὺς πλάττονται, ὡς καὶ αὐτοὶ ἐραστὰς ἔχωσιν. εἶτα ἐν ταῖς διαθήκαις, ἀπεκλείσθησαν μὲν οἱ πάλαι δορυφορήσαντες, ὁ δὲ παῖς, καὶ ἡ φύσις, ὥσπερ ἐστὶ δίκαιον, κρατοῦσι πάντων, οἱ δὲ ὑποπρίουσι τοὺς ὀδόντας, ἀποσμυγέντες. Τερ. Ἀληθῆ ταῦτα φῂς, ἐμοῦ γοῦν Θούκριτος πόσα κατέφαγεν, ἀεὶ τεθνήξεσθαι δοκῶν; καὶ ὁπότε ἐσίοιμι ὑποστένων, καὶ μύχιόν τι, καθάπερ ἐξ ᾠοῦ νεοττὸς ἀτελὴς ὑποκρώζων, ὥστ' ἔγωγε ὅσον αὐτίκα οἰόμενος ἐπιβήσειν αὐτὸν τῆς σοροῦ, ἔπεμπόν τε πολλὰ, ὡς μὴ ὑπερβάλλοιντό με οἱ ἀντερασταὶ τῇ μεγαλοδωρίᾳ καὶ τὰ πολλὰ ὑπὸ φροντίδων ἄγρυπνος ἐκείμην, ἀριθμῶν ἕκαστα, καὶ διατάττων. ταῦτα γοῦν μοι καὶ τοῦ ἀποθανεῖν αἴτια γεγένηται, ἀγρυπνία, καὶ φροντίδες, ὁ δὲ τοσοῦτόν μοι δέλεαρ καταπιὼν, ἐφειστήκει θαπτομένῳ πρώην ἐπιγελῶν. Πλου. Εὖγε ὦ Θούκριτε ζώης ἐπιμήκιστον, πλουτῶν ἅμα, καὶ τῶν τοιούτων καταγελῶν, μηδὲ πρότερόν γε σὺ ἀποθάνοις, ἢ προπέμψεις πάντας τοὺς κόλακας. Τερ. Τοῦτο μὲν, ὦ Πλούτων, καὶ ἐμοὶ ἥδιστον ἤδη, εἰ καὶ Χαριάδης προτεθνήξεται Θουκρίτου. Πλου. Θάῤῥει ὦ Τερψίων, καὶ Φείδων γὰρ καὶ Μέλαντος, καὶ ὅλως ἅπαντες προελεύσονται αὐτοῦ, ὑπὸ τῶν αὐτῶν φροντίδων. Τερ. Ἐπαινῶ ταῦτα. ζώης ἐπιμήκιστον, ὦ Θούκριτε.

Ζηνοφάντου καὶ Καλλιδημίδου.

ΖΗΝΟΦΑ'ΝΤΗΣ.

Σὺ δὲ, ὦ Καλλιδημίδη, πῶς ἀπέθανες; ἐγὼ μὲν γὰρ, ὅτι παράσιτος ὢν Δεινίου, πλέον τοῦ ἱκανοῦ ἐμφαγὼν ἀπεπνίγην, οἶσθα, παρῆς γὰρ ἀποθνήσκοντί μοι. Καλ. Παρῆν ὦ Ζηνόφαντες, τὸ δὲ ἐμὸν, παράδοξόν τι ἐγένετο· οἶσθα γὰρ καὶ σύ που Πτοιόδωρον τὸν γέροντα. Ζη. Τὸν ἄτεκνον, τὸν πλούσιον, ᾧ σε τὰ πολλὰ ᾔδειν συνόντα; Καλ. Ἐκεῖνον αὐτὸν ἀεὶ ἐθεράπευον, ὑπισχνούμενος ἐπ' ἐμοὶ τεθνήξεσθαι. ἐπεὶ δὲ τὸ πρᾶγμα ἐς μήκιστον ἐπεγίνετο, καὶ ὑπὲρ τὸν Τιθωνὸν ὁ γέρων ἔζη, ἐπίτομόν τινα ὁδὸν ἐπὶ τὸν κλῆρον ἐξεῦρον. πριάμενος γὰρ φάρμακον, ἀνέπεισα τὸν οἰνοχόον, ἐπειδὰν τάχιστα ὁ Πτοιόδωρος αἰτήσῃ πιεῖν, πίνει δ' ἐπιεικῶς, ζωρότερον ἐμβαλόντα ἐς κύλικα, ἕτοιμον ἔχειν αὐτὸ, καὶ ἐπιδοῦναι αὐτῷ, εἰ δὲ τοῦτο ποιήσει, ἐλεύθερον ἐπωμοσάμην ἀφήσειν αὐτόν. Ζη. Τί οὖν ἐγένετο; πάνυ γάρ τι παράδοξον ἐρεῖν ἔοικας. Καλ. Ἐπεὶ τοίνυν λουσάμενοι ἥκοιμεν, δύο ἤδη ὁ μειρακίσκος κύλικας ἑτοίμους ἔχων, τὴν μὲν τῷ Πτοιοδώρῳ, τὴν ἔχουσαν τὸ φάρμακον, τὴν δ' ἑτέραν ἐμοὶ, σφαλεὶς οὐκ οἶδ' ὅπως, ἐμοὶ μὲν τὸ φάρμακον, Πτοιοδώρῳ δὲ τὸ ἀφάρμακτον ἐπέδωκεν· εἶτα ὁ μὲν ἔπινεν, ἐγὼ δὲ αὐτίκα μάλα ἐκτάδην ἐκείμην, ὑποβολιμαῖος ἀντ' ἐκείνου νεκρός. τί τοῦτο γελᾷς, ὦ Ζηνόφαντες; καὶ μὴν οὐκ ἔδει γε ἑταίρῳ ἀνδρὶ ἐπιγελᾶν. Ζη. Ἀστεῖα γὰρ ὦ Καλλιδημίδη πέπονθας. ὁ γέρων δὲ τί πρὸς ταῦτα; Καλ. Πρῶτον μὲν ὑπεταράχθη πρὸς τὸ αἰφνίδιον, εἶτα συνεὶς οἶμαι τὸ γεγενημένον, ἐγέλα καὶ αὐτὸς, οἷά γε ὁ οἰνοχόος εἴργασται. Ζη. Πλὴν ἀλλ' οὐδὲ σὲ τὴν ἐπί-

ἐπίτομον ἐχρῆν ἐξαπέσθαι, ἥκε γὰρ αὖ σοι ἐξῆς τῆς λεωφόρου ἀσφαλέστερον, εἰ καὶ ὀλίγῳ βραδύτερος ἦν.

Κνήμωνος, καὶ Δαμνίππου.

ΚΝΗ'ΜΩΝ.

ΤΟῦτο ἐκεῖνο τὸ τῆς παροιμίας, Ὁ νεβρὸς τὸν λέοντα. Δα. Τί ἀγανακτεῖς ὦ Κνήμων; Κνη. Πυνθάνῃ ὅ, τι ἀγανακτῶ; κληρονόμον ἀκούσιος καταλέλοιπα, κατασοφισθεὶς ὁ ἄθλιος, οὓς ἐβουλόμην ἂν μάλιστα σχεῖν τἀμὰ, παραλιπών. Δα. Πῶς τοῦτ' ἐγένετο; Κνη. Ἑρμόλαον τὸν πάνυ πλούσιον ἄτεκνον ὄντα, ἐθεράπευον ἐπὶ θανάτῳ. κἀκεῖνος οὐκ ἀηδῶς τὴν θεραπείαν προσίετο. ἔδοξε δή μοι καὶ σοφὸν τοῦτ' εἶναι, θέσθαι διαθήκας ἐς τὸ φανερὸν, ἐν αἷς ἐκείνῳ καταλέλοιπα τἀμὰ πάντα, ὡς κἀκεῖνος ζηλώσειε, καὶ τὰ αὐτὰ πράξειε. Δα. Τί οὖν δὴ ἐκεῖνος; Κνη. Ὅ, τι μὲν οὖν αὐτὸς ἐνέγραψε ταῖς ἑαυτοῦ διαθήκαις, οὐκ οἶδα. ἐγὼ γοῦν ἄφνω ἀπέθανον, τοῦ τέγους μοι ἐπιπεσόντος. καὶ νῦν Ἑρμόλαος ἔχει τἀμὰ, ὥσπέρ τις λάβραξ καὶ τὸ ἄγκιστρον τῷ δελέατι συγκατασπάσας. Δα. Οὐ μόνον, ἀλλὰ καὶ αὐτόν σε τὸν ἁλιέα. ὥστε σόφισμα κατὰ σαυτοῦ συντέθεικας. Κνη. Ἔοικα. οἰμώζω τοιγαροῦν.

ΧΑ-

Χάρωνος, καὶ Ἑρμοῦ.

ΧΑΡΩΝ.

ἈΚούσατε ὡς ἔχει ὑμῖν τὰ πράγματα. μικρὸν μὲν ὑμῖν ὡς ὁρᾶτε, τὸ σκαφίδιον, καὶ ὑποσαθρόν ἐστι, καὶ διαῤῥεῖ τὰ πολλά. καὶ ἢν τραπῇ ἐπὶ θάτερα, οἰχήσεται περιτραπέν. ὑμεῖς δὲ, τοσοῦτοι ἅμα ἥκετε, πολλὰ ἐπιφερόμενοι ἕκαστος. ἢν οὖν μετὰ τούτων ἐμβῆτε, δέδια μὴ ὕστερον μετανοήσετε. καὶ μάλιστα ὁπόσοι νεῖν οὐκ ἐπίσταθε. Νεκροί. πῶς οὖν ποιήσαντες, εὐπλοήσομεν; Χα. Ἐγὼ ὑμῖν φράσω. γυμνοὺς ἐπιβαίνειν χρὴ, τὰ περιττὰ ταῦτα πάντα ἐπὶ τῆς ἠϊόνος καταλιπόντας. μόλις γὰρ ἂν καὶ οὕτω δέξαιτο ὑμᾶς τὸ πορθμεῖον. Σοὶ δὲ ὦ Ἑρμῆ, μελήσει τὸ ἀπὸ τούτου μηδένα παραδέχεσθαι αὐτῶν, ὃς ἂν μὴ ψιλὸς ᾖ, καὶ τὰ ἔπιπλα, ὥσπερ ἔφην, ἀποβαλών. παρὰ δὲ τὴν ἀποβάθραν ἑστὼς, διαγίνωσκε αὐτοὺς, καὶ ἀναλάμβανε, γυμνοὺς ἐπιβαίνειν ἀναγκάζων. Ἑρ. Εὖ λέγεις, καὶ οὕτω ποιήσωμεν. οὑτοσὶ τίς ὁ πρῶτός ἐστι; Με. Μένιππος ἔγωγε. ἀλλ' ἰδοὺ ἡ πήρα μοι ὦ Ἑρμῆ, καὶ τὸ βάκτρον, ἐς τὴν λίμνην ἀποῤῥιφθων. τὸν τρίβωνα δὲ οὐδ' ἐκόμισα, εὖ ποιῶν. Ἑρ. Ἔμβαινε ὦ Μένιππε ἀνδρῶν ἄριστε, καὶ τὴν προεδρίαν ἔχε παρὰ τὸν κυβερνήτην ἐφ' ὑψηλοῦ, ὡς ἐπισκοπῇς ἅπαντας. Ὁ καλὸς δ' οὗτος, τίς ἐστι; Χαρ. Χαρμόλεως ὁ μεγαρικὸς, ἐπέραστος. οὗ τὸ φίλημα διτάλαντον ἦν. Ἑρ. Ἀπόδυθι τοιγαροῦν τὸ κάλλος, καὶ τὰ χείλη αὐτοῖς φιλήμασι, καὶ τὴν κόμην τὴν βαθεῖαν, καὶ τὸ ἐπὶ τῶν παρειῶν ἐρύθημα, καὶ τὸ δέρμα ὅλον. ἔχει καλῶς. εὔζωνος εἶ. ἐπίβαινε ἤδη. Ὁ δὲ τὴν πορφυρίδα οὑτοσὶ, καὶ τὸ διάδημα; ὁ βλοσυρὸς, τίς ὢν τυγχάνεις; Λα. Λάμπιχος, Γελώων τύραννος. Ἑρ. Τί οὖν ὦ Λάμπιχε τοσαῦτα ἔχων πάρει; Λα. Τί οὖν; ἐχρῆν ὦ Ἑρμῆ, γυμνὸν ἥκειν τύραννον ἄν-

ὅρα; Ἑρ. Τύραννον μὲν ὐδαμῶς, νεκρὸν δὲ μάλα. ὥστε ἀπόθου ταῦτα. Λα Ἰδού σοι ὁ πλοῦτος ἀπέρριπται. Ἑρ. Καὶ τὸν τῦφον ἀπόρριψον ὦ Λάμπιχε, καὶ τὴν ὑπεροψίαν. βαρήσει γὰρ τὸ πορθμεῖον, συνεμπεσόντα. Λα. Οὐκοῦν ἀλλὰ τὸ διάδημα ἔασόν με ἔχειν, καὶ τὴν ἐφεστρίδα. Ἑρ. Οὐδαμῶς. ἀλλὰ καὶ ταῦτα ἄφες. Λα. Εἶεν. τί ἔτι; πάντα γὰρ ἀφῆκα ὡς ὁρᾷς. Ἑρ. Καὶ τὴν ὠμότητα, καὶ τὴν ἄνοιαν, καὶ τὴν ὕβριν, καὶ τὴν ὀργὴν, καὶ ταῦτα ἄφες. Λα Ἰδού σοι ψιλός εἰμι. Ἑρ Ἔμβαινε ἤδη. Σὺ δὲ ὁ παχὺς, ὁ πολύσαρκος, τίς εἶ; Δα Δαμασίας ὁ ἀθλητής. Ἑρ Ναὶ ἔοικας. οἶδα γάρ σε πολλάκις ἐν ταῖς παλαίστραις ἰδών. Δα. Ναὶ ὦ Ἑρμῆ ἀλλὰ παράδεξαί με γυμνὸν ὄντα. Ἑρ. Οὐ γυμνὸν ὦ βέλτιστε, τοσαύτας σάρκας περιβεβλημένον. ὥστε ἀπόδυθι αὐτὰς, ἐπεὶ καταδύσεις τὸ σκάφος, τὸν ἕτερον πόδα ὑπερθεὶς μόνον. ἀλλὰ καὶ τοὺς στεφάνους τούτους ἀπόρριψον, καὶ τὰ κηρύγματα. Δα Ἰδού σοι γυμνὸς ὡς ὁρᾷς ἀληθῶς εἰμι, καὶ ἰσοστάσιος τοῖς ἄλλοις νεκροῖς. Ἑρ Οὕτως ἄμεινον ἀβαρῆ εἶναι. ὥστε ἔμβαινε. καὶ σὺ δὲ τὸν πλοῦτον ἀποθέμενος ὦ Κράτων, καὶ τὴν μαλακίαν δὲ προσέτι, καὶ τὴν τρυφὴν, μηδὲ τὰ ἐντάφια κόμιζε, μηδὲ τὰ τῶν προγόνων ἀξιώματα κατάλιπε δὲ καὶ γένος, καὶ δόξαν· καὶ εἴ ποτέ σε ἡ πόλις ἀνεκήρυξεν εὐεργέτην δηλονότι, καὶ τὰς τῶν ἀνδριάντων ἐπιγραφάς· μηδὲ ὅτι μέγαν τάφον ἐπὶ σοὶ ἔχωσαν λέγε. βαρύνει γὰρ καὶ ταῦτα μνημονευόμενα. Κρα Οὐχ ἑκὼν μὲν, ἀπορρίψω δέ. τί γὰρ ἂν καὶ πάθοιμι; Ἑρ. Βαβαί σὺ δὲ ὁ ἔνοπλος, τί βούλει; ἢ τί τὸ τρόπαιον τοῦτο φέρεις; Κρα Ὅτι ἐνίκησα ὦ Ἑρμῆ, καὶ ἠρίστευσα, καὶ ἡ πόλις ἐτίμησέ με. Ἑρ Ἄφες ἐν γῇ τὸ τρόπαιον. ἐν ᾅδου γὰρ, εἰρήνη, καὶ οὐδὲν ὅπλων δεήσει. Ὁ σεμνὸς δὲ οὗτος ἀπό γε τοῦ σχήματος, καὶ βρενθυόμενος, ὁ τὰς ὀφρῦς ἐπηρκὼς, ὁ ἐπὶ τῶν φροντίδων, τίς ἐστιν, ὁ τὸν βαθὺν πώγωνα καθειμένος; Με. Φιλόσοφός τις ὦ Ἑρμῆ, μᾶλλον δὲ γόης, καὶ τερατείας μεστός. ὥστε ἀπόδυσον καὶ τοῦτον. ὄψει γὰρ πολλὰ καὶ γελοῖα ὑπὸ τῷ ἱματίῳ

τίῳ κρυπτόμενα. Ἑρ. Κατάθου σὺ τὸ σχῆμα πρῶτον, εἶτα καὶ ταυτὶ
πάντα. ὦ Ζεῦ, ὅσην μὲν τὴν ἀλαζονείαν κομίζει, ὅσην δὲ ἀμαθίαν,
καὶ ἔριν, καὶ κενοδοξίαν, καὶ ἐρωτήσεις ἀπόρους, καὶ λόγους ἀκανθώ-
δεις, καὶ ἐννοίας πολυπλόκους. ἀλλὰ καὶ ματαιοπονίαν μάλα
πολλὴν, καὶ λῆρον οὐκ ὀλίγον, καὶ ὕθλους, καὶ μικρολογίαν. νὴ
Δία, καὶ χρυσίον γε τουτὶ, καὶ ἡδυπάθειαν δὲ, καὶ ἀναισχυντίαν,
καὶ ὀργὴν, καὶ τρυφὴν, καὶ μαλακίαν. οὐ λέληθε γάρ με, εἰ καὶ μά-
λα περικρύπτεις αὐτά. καὶ τὸ ψεῦδος δὲ ἀπόθου, καὶ τὸν τύφον,
καὶ τὸ οἴεσθαι ἀμείνω εἶναι τῶν ἄλλων. ὡς εἴγε πάντα ταῦτα ἔχων
ἐμβαίνοις, ποία πεντηκόντορος δέξαιτο ἄν σε; Φιλο. Ἀποτί-
θεμαι τοίνυν αὐτὰ, ἐπείπερ οὕτω κελεύεις. Με. Ἀλλὰ καὶ τὸν
πώγωνα τοῦτον ἀποθέσθω ὦ Ἑρμῆ, βαρύν τε ὄντα, καὶ λάσιον
ὡς ὁρᾷς. πέντε μνῶν τρίχες εἰσὶ τοὐλάχιστον. Ἑρ. Εὖ λέγεις.
ἀπόθου καὶ τοῦτον. Φιλο. Καὶ τίς ὁ ἀποκείρων ἔσται; Ἑρ. Μένιπ-
πος οὑτοσὶ, λαβὼν πέλεκυν τῶν ναυπηγικῶν, ἀποκόψει αὐ-
τὸν, ἐπικόπῳ τῇ ἀναβάθρᾳ χρησάμενος. Με. Οὐκ ὦ Ἑρμῆ.
ἀλλὰ πρίονά μοι ἀνάδος. γελοιότερον γὰρ τοῦτο. Ἑρ. Ὁ πέλε-
κυς ἱκανός. Με. Εὖγε. Ἀνθρωπινώτερον γὰρ νῦν ἀναπέφη-
νας, ἀποθέμενος αὐτοῦ τὴν κινάβραν. βούλει μικρὸν ἀφέλωμαι
καὶ τῶν ὀφρύων; Ἑρ. Μάλιστα. ὑπὲρ τὸ μέτωπον γὰρ καὶ ταύτας
ἐπῆρκεν, οὐκ οἶδ᾽ ἐφ᾽ ὅτῳ ἀνατείνων ἑαυτόν. τί τοῦτο; καὶ δακρύεις
ὦ κάθαρμα, καὶ πρὸς θάνατον ἀποδειλιᾷς; ἔμβηθι δ᾽ οὖν.
Με. Ἓν ἔτι τὸ βαρύτατον ὑπὸ μάλης ἔχει. Ἑρ. Τί ὦ Μένιπ-
πε; Με. Κολακίαν ὦ Ἑρμῆ, πολλὰ ἐν τῷ βίῳ χρησιμεύσασαν
αὐτῷ. Φιλο. Οὐκοῦν καὶ σὺ ὦ Μένιππε, ἀπόθου τὴν ἐλευθερίαν,
καὶ παῤῥησίαν, καὶ τὸ ἄλυπον, καὶ τὸ γενναῖον, καὶ τὸν γέλωτα. μό-
νος γοῦν τῶν ἄλλων γελᾷς; Ἑρ. Μηδαμῶς. ἀλλὰ καὶ ἔχε ταῦ-
τα, κοῦφα γὰρ καὶ πάνυ εὔφορα ὄντα, καὶ πρὸς τὸν κατάπλουν χρή-
σιμα. καὶ ὁ ῥήτωρ δὲ σὺ, ἀπόθου τῶν ῥημάτων τὴν τοσαύτην ἀ-
περαντολογίαν, καὶ ἀντιθέσεις, καὶ παρισώσεις, καὶ περιόδους,
καὶ βαρβαρισμοὺς, καὶ τἄλλα βάρη τῶν λόγων. Ῥη. Ἢν ἰδοὺ ἀπο-

τίθεμαι. Ἑρ. Εὖ ἔχει· ὥστε λῦε τὰ ἀπόγεια· τὴν ἀποβάθραν ἀνελώμεθα· τὸ ἀγκύριον ἀνεσπάσθω· πέτασον τὸ ἱστίον, εὔθυνε ὦ πορθμεῦ τὸ πηδάλιον. εὖ πάθωμεν. τί οἰμώζετε ὦ μάταιοι, καὶ μάλιστα ὁ φιλόσοφος σὺ, ὁ ἀρτίως τὸν πώγωνα δεδῃωμένος; Φιλ. Ὅτι ὦ Ἑρμῆ οὐκ ἀθάνατον ᾤμην τὴν ψυχὴν ὑπάρχειν. Με. Ψεύδεται. ἀλλὰ γὰρ ἔοικε λυπεῖν αὐτόν. Ἑρ. Τὰ ποῖα; Με. Ὅτι μηκέτι δειπνήσει πολυτελῆ δεῖπνα, μηδὲ νύκτωρ ἐξιὼν, ἅπαντας λανθάνων, τῷ ἱματίῳ τὴν κεφαλὴν κατειλήσας, περίεισιν ἐν κύκλῳ τὰ χαμαιτυπεῖα· καὶ ἕωθεν ἐξαπατῶν τοὺς νέους ἐπὶ τῇ σοφίᾳ, ἀργύριον λήψεται. ταῦτα λυπεῖ αὐτόν. Φιλ. Σὺ δὲ ὦ Μένιππε, οὐκ ἄχθῃ ἀποθανών; Με. Πῶς, ὃς ἔσπευσα ἐπὶ θάνατον, καλέσαντος μηδενός; ἀλλὰ μεταξὺ λόγων, οὐ κραυγή τις ἀκούεται, ὥσπερ τινῶν ἀπὸ γῆς βοώντων; Ἑρ. Ναὶ ὦ Μένιππε. οὐκ ἀφ' ἑνός γε χώρου. ἀλλ' οἱ μὲν, ἐς τὴν ἐκκλησίαν συνελθόντες, ἄσμενοι γελῶσι πάντες ἐπὶ τῷ Λαμπίχου θανάτῳ, καὶ ἡ γυνὴ αὐτοῦ συνέχεται πρὸς τῶν γυναικῶν, καὶ τὰ παιδία νεογνὰ ὄντα, ὁμοίως κἀκεῖνα ὑπὸ τῶν παίδων βάλλεται ἀφθόνοις τοῖς λίθοις. ἄλλοι δὲ Διόφαντον τὸν ῥήτορα ἐπαινοῦσιν ἐν Σικυῶνι, ἐπιταφίους λόγους διεξιόντα ἐπὶ Κράτωνι τούτῳ. καὶ νὴ Δία γε, ἡ Δαμασίου μήτηρ κωκύουσα, ἐξάρχει τοῦ θρήνου σὺν γυναιξὶν ἐπὶ τῷ Δαμασίᾳ. σὲ δὲ οὐδεὶς ὦ Μένιππε δακρύει; καθ' ἡσυχίαν δὲ κεῖσαι μόνος; Με. Οὐδαμῶς, ἀλλ' ἀκούσῃ τῶν κυνῶν μετ' ὀλίγον ὠρυομένων οἴκτιστον ἐπ' ἐμοὶ, καὶ τῶν κοράκων τυπτομένων τοῖς πτεροῖς, ὁπότ' ἂν συνελθόντες, θάπτωσί με. Ἑρ. Γεννάδας εἶ ὦ Μένιππε. ἀλλ' ἐπεὶ καταπεπλεύκαμεν ἡμεῖς, ὑμεῖς μὲν ἄπιτε πρὸς τὸ δικαστήριον, εὐθεῖαν ἐκείνην προϊόντες. ἐγὼ δὲ, καὶ ὁ πορθμεὺς, ἄλλους μετελευσόμεθα. Με. Εὐπλοεῖτε ὦ Ἑρμῆ. προΐωμεν δὲ καὶ ἡμεῖς. τί οὖν ἔτι καὶ μέλλετε; δικασθῆναι δεήσει. καὶ τὰς καταδίκας φασὶν εἶναι βαρείας, τροχοὺς, καὶ γῦπας, καὶ λίθους. δειχθήσεται δὲ ὁ ἑκάστου βίος.

Ἀλε-

Ἀλεξάνδρου, Ἀννίβου, Μίνωος, καὶ Σκηπίωνος.

ΑΛΕΞΑΝΔΡΟΣ.

Ἐμὲ δεῖ προκεκρίσθαί σου, ὦ Λίβυ, ἀμείνων γάρ εἰμι. Ἀν. Οὐ μὲν οὖν, ἀλλ' ἐμέ. Αλ. Οὐκοῦν ὁ Μίνως δικασάτω. Μί. Τίνες δ' ἐστέ; Αλ. Οὗτος μὲν Ἀννίβας ὁ Καρχηδόνιος, ἐγὼ δὲ Ἀλέξανδρος ὁ Φιλίππου. Μί. Νὴ Δία ἔνδοξοί γε ἀμφότεροι. ἀλλὰ περὶ τίνος ὑμῖν ἡ ἔρις; Ἀλ. Περὶ προεδρείας, φησὶ γὰρ οὗτος ἀμείνων γεγενῆσθαι στρατηγὸς ἐμοῦ. ἐγὼ δὲ, ὥσπερ ἅπαντες ἴσασιν, οὐχὶ τούτου μόνον, ἀλλὰ πάντων σχεδὸν τῶν πρὸ ἐμοῦ φημὶ διενεγκεῖν τὰ πολέμια. Μί. Οὐκοῦν ἐν μέρει ἑκάτερος εἰπάτω, σὺ δὲ πρῶτος ὁ Λίβυς λέγε. Ἀν. Ἐν μὲν τοῦτο ὦ Μίνως ὠνάμην, ὅτι ἐνταῦθα καὶ τὴν Ἑλλάδα φωνὴν ἐξέμαθον, ὥστε οὐδὲ ταύτῃ πλέον οὗτος ἐνέγκαιτό μου. φημὶ δὲ τούτους μάλιστα ἐπαίνου ἀξίους εἶναι, ὅσοι τὸ μηδὲν ἐξ ἀρχῆς ὄντες, ὅμως ἐπὶ μέγα προεχώρησαν, δι' αὐτῶν δύναμίν τε περιβαλλόμενοι, καὶ ἄξιοι δόξαντες ἀρχῆς. ἐγὼ γοῦν μετ' ὀλίγον ἐξορμήσας ἐς τὴν Ἰβηρίαν, τὸ πρῶτον ὕπαρχος ὢν τῷ ἀδελφῷ, μεγίστων ἠξιώθην, ἄριστος κριθείς. καὶ τούς γε Κελτίβηρας εἷλον, καὶ Γαλατῶν ἐκράτησα τῶν Ἑσπερίων. καὶ τὰ μεγάλα ὄρη ὑπερβὰς, τὰ περὶ τὸν Ἠριδανὸν, ἅπαντας κατέδραμον, καὶ ἀναστάτους ἐποίησα τοσαύτας πόλεις. καὶ τὴν πεδινὴν Ἰταλίαν ἐχειρωσάμην, καὶ μέχρι τῶν προαστείων τῆς προὐχούσης πόλεως ἦλθον, καὶ τοσούτους ἀπέκτεινα μιᾶς ἡμέρας, ὥστε τοὺς δακτυλίους αὐτῶν μεδίμνοις ἀπομετρῆσαι, καὶ τοὺς ποταμοὺς γεφυρῶσαι νεκροῖς. καὶ ταῦτα πάντα ἔπραξα, οὔτε Ἄμμωνος υἱὸς ὀνομαζόμενος, οὔτε θεὸς εἶναι προσποιούμενος, ἢ ἐνύπνια τῆς μητρὸς διεξιὼν,

ἀλλ' ἄνθρωπος εἶναι ὁμολογῶν, στρατηγοῖς τε τοῖς συνετωτάτοις ἀντεξεταζόμενος, καὶ στρατιώταις τοῖς μαχιμωτάτοις συμπλεκόμενος, οὐ Μήδους καὶ Ἀρμενίους καταγωνιζόμενος ὑποφεύγοντας, πρὶν διώκειν τινὰ, καὶ τῷ τολμήσαντι παραδιδόντας εὐθὺ τὴν νίκην. Ἀλέξανδρος δὲ, πατρῴαν ἀρχὴν παραλαβὼν, ηὔξησε, καὶ παραπολὺ ἐξέτεινε, χρησάμενος τῇ τῆς τύχης ὁρμῇ. ἐπειδ' οὖν ἐνίκησέ τε, καὶ τὸν ὄλεθρον ἐκεῖνον, Δαρεῖον ἐν Ἰσσῷ τε καὶ Ἀρβήλοις ἐκράτησεν, ἀποστὰς τῶν πατρῴων, προσκυνεῖσθαι ἠξίου. καὶ εἰς δίαιταν τὴν Μηδικὴν μετεδιῄτησεν ἑαυτὸν, καὶ ἐμιαιφόνει ἐν τοῖς συμποσίοις τοὺς φίλους, καὶ συνελάμβανεν ἐπὶ θανάτῳ. ἐγὼ δὲ ἦρξα ἐπίσης τῆς πατρίδος, καὶ ἐπειδὴ μετεπέμπετο, τῶν πολεμίων μεγάλῳ στόλῳ ἐπιπλευσάντων τῆς Λιβύης, ταχέως ὑπήκουσα, καὶ ἰδιώτην ἐμαυτὸν παρέσχον. καὶ καταδικασθεὶς, ἤνεγκα εὐγνωμόνως τὸ πρᾶγμα. καὶ ταῦτ' ἔπραξα, βάρβαρος ὢν, καὶ ἀπαίδευτος παιδείας τῆς Ἑλληνικῆς καὶ οὔτε Ὅμηρον ὥσπερ οὗτος, ἐρραψῳδοῦν, οὔτε ὑπ' Ἀριστοτέλει τῷ σοφιστῇ παιδευθεὶς, μόνῃ δὲ τῇ φύσει ἀγαθῇ χρησάμενος. ταῦτά ἐστιν, ἃ ἐγὼ Ἀλεξάνδρου ἀμείνων φημὶ εἶναι. εἰδ' ἔστι καλλίων οὑτοσὶ, διότι διαδήματι τὴν κεφαλὴν διεδέδετο, Μακεδόσι μὲν ἴσως καὶ ταῦτα σεμνά. οὐ μὴν διὰ τοῦτ' ἀμείνων δόξειεν ἂν γενναίου καὶ στρατηγικοῦ ἀνδρὸς, τῇ γνώμῃ πλέον, ἤπερ τῇ τύχῃ κεχρημένου. ΜΙ. Ὁ μὲν εἴρηκεν οὐκ ἀγεννῆ τὸν λόγον, οὐδ' ὡς Λίβυν εἰκὸς ἦν, ὑπὲρ αὑτοῦ. σὺ δὲ ὦ Ἀλέξανδρε, τί πρὸς ταῦτα φής; ΑΛ. Ἐχρῆν μὲν ὦ Μίνως, μηδὲν πρὸς ἄνδρα οὕτω θρασὺν. ἱκανὴ γὰρ ἡ φήμη διδάξαι σε, οἷος μὲν ἐγὼ βασιλεὺς, οἷος δὲ οὗτος λῃστὴς ἐγένετο· ὅμως δὲ ὅρα, εἰ κατ' ὀλίγον αὐτοῦ διήνεγκα· ὃς νέος ὢν ἔτι, παρελθὼν ἐπὶ τὰ πράγματα, καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον, καὶ τοὺς φονέας τοῦ πατρὸς μετῆλθον, καταφοβήσας τὴν Ἑλλάδα, τῇ Θηβαίων ἀπωλείᾳ, στρατηγὸς ὑπ' αὐτῶν χειροτονηθεὶς, οὐκ ἠξίωσα

σα

στα τῶν Μακεδόνων ἀρχὴν περιέπων, ἀγαπῶν ἄρχειν, ὁπόσων ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν, καὶ δεινὸν ἡγησάμενος, εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων, εἰσέβαλον ἐς τὴν Ἀσίαν. καὶ ἐπί τε Γρανικῷ ἐκράτησα μεγάλῃ μάχῃ. καὶ τὴν Λυδίαν λαβὼν καὶ Ἰωνίαν καὶ Φρυγίαν, καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος, ἦλθον ἐπὶ Ἰσσὸν, ἔνθα Δαρεῖος ὑπέμεινε, μυριάδας πολλὰς στρατοῦ ἄγων, καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ὑμεῖς ἴστε, ὅσους ὑμῖν νεκροὺς ἐπὶ μιᾶς ἡμέρας κατέπεμψα. φησὶ γοῦν ὁ πορθμεὺς, μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας διαπηξαμένους, τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι. καὶ ταῦτα δὲ ἔπραττον, αὐτὸς προκινδυνεύων, καὶ τιτρώσκεσθαι ἀξιῶν. καὶ ἵνα σοι μὴ τὰ ἐν Τύρῳ, μηδὲ τὰ ἐν Ἀρβήλοις διηγήσωμαι, ἀλλὰ καὶ μέχρις Ἰνδῶν ἦλθον, καὶ τὸν Ὠκεανὸν, ὅρον ἐποιησάμην τῆς ἀρχῆς. καὶ τοὺς ἐλέφαντας αὐτῶν εἷλον, καὶ Πῶρον ἐχειρωσάμην. καὶ Σκύθας δὲ, οὐκ εὐκαταφρονήτους ἄνδρας, ὑπερβὰς τὸν Τάναϊν, ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ. καὶ τοὺς φίλους εὖ ἐποίησα, καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. εἰ δὲ καὶ θεὸς ἐδόκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι, παρὰ τὰ μέγεθος τῶν πραγμάτων, καὶ τοιοῦτόν τι πιστεύσαντες περὶ ἐμοῦ. τὸ δ' οὖν τελευταῖον ἐγὼ μὲν βασιλεύων ἀπέθανον, οὗτος δὲ ἐν φυγῇ, παρὰ Πρυσίᾳ τῷ Βιθυνῷ, καθάπερ ἄξιον ἦν, πανουργότατον καὶ ὠμότατον ὄντα. ὡς γὰρ δὴ ἐκράτησε τῶν Ἰταλῶν, ἐῶ λέγειν, ὅτι οὐκ ἰσχύϊ, ἀλλὰ πονηρείᾳ καὶ ἀπιστίᾳ καὶ δόλοις. νόμιμον δὲ ἢ προφανὲς, οὐδέν. ἐπεὶ δέ μοι ὠνείδισε τὴν τρυφὴν, ἐκλελῆσθαί μοι δοκεῖ, οἷα ἐποίει ἐν Καπύῃ, ἑταίραις συνὼν, καὶ τοὺς τοῦ πολέμου καιροὺς ὁ θαυμάσιος καθηδυπαθῶν. ἐγὼ δὲ, εἰ μὴ μικρὰ τὰ Ἑσπέρια δόξας, ἐπὶ τὴν ἕω μᾶλλον ὥρμησα. τί ἂν μέγα ἔπραξα, Ἰταλίαν ἀναιμωτὶ λαβὼν, καὶ Λιβύην, καὶ τὰ μέχρι Γαδείρων ὑπαγόμενος; ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα, ὑποπτήσσοντα ἤδη, καὶ δεσπότην ὁμολογοῦν-

τα. εἴρηκα. σὺ δὲ ὦ Μίνως δίκαζε, ἱκανὰ γὰρ ἀπὸ πολλῶν καὶ ταῦτα. Σκη. Μὴ πρότερον, ἢν μὴ καὶ ἐμοῦ ἀκούσῃς. Μί. Τίς γὰρ εἶ, ὦ βέλτιστε; ἢ πόθεν ὢν ἐρεῖς; Σκη. Ἰταλιώτης Σκηπίων, στρατηγὸς, ὁ καθελὼν Καρχηδόνα, καὶ κρατήσας Λιβύων μεγάλαις μάχαις. Μί. Τί οὖν καὶ σὺ ἐρεῖς; Σκη. Ἀλεξάνδρου μὲν ἥττων εἶναι, τοῦ δ᾽ Ἀννίβου ἀμείνων, ὃς ἐδίωξα νικήσας αὐτὸν, καὶ φυγεῖν καταναγκάσας ἀτίμως. πῶς οὖν οὐκ ἀναίσχυντος οὗτος, ὃς πρὸς Ἀλέξανδρον ἁμιλλᾶται, ᾧ οὐδὲ Σκηπίων ἐγὼ, ὁ νενικηκὼς αὐτὸν, παραβάλλεσθαι ἀξιῶ; Μί. Νὴ Δί᾽ εὐγνώμονα φὴς, ὦ Σκηπίων, ὥστε πρῶτος μὲν κεκρίσθω Ἀλέξανδρος, μετ᾽ αὐτὸν δὲ σὺ, εἶτα εἰ δοκεῖ, τρίτος Ἀννίβας, οὐδὲ οὗτος εὐκαταφρόνητος ὤν.

Διογένους, καὶ Ἀλεξάνδρου.

ΔΙΟΓΕ'ΝΗΣ.

ΤΙ' τοῦτο, ὦ Ἀλέξανδρε; καὶ σὺ τέθνηκας, ὥσπερ ἡμεῖς ἅπαντες; Αλ. Ὁρᾷς ὦ Διόγενες, οὐ παράδοξον δὲ, εἰ ἄνθρωπος ὢν, ἀπέθανον. Δι. Οὐκοῦν ὁ Ἄμμων ἐψεύδετο, λέγων ἑαυτοῦ σε εἶναι υἱὸν, σὺ δὲ Φιλίππου ἄρα ἦσθα; Αλ. Φιλίππου δηλαδὴ, οὐ γὰρ ἂν ἐτεθνήκειν Ἄμμωνος ὤν. Δι. καὶ μὴν καὶ περὶ τῆς Ὀλυμπιάδος ὅμοια ἐλέγοντο, δράκοντα ὁμιλεῖν αὐτῇ, καὶ βλέπεσθαι ἐν τῇ εὐνῇ, εἶτα οὕτω σε τεχθῆναι, τὸν δὲ Φίλιππον ἐξαπατᾶσθαι, οἰόμενον πατέρα σου εἶναι. Αλ. Κἀγὼ ταῦτα ἤκουον, ὥσπερ σύ. νῦν δὲ ὁρῶ, ὅτι οὐδὲν ὑγιὲς οὔτε ἡ μήτηρ, οὔτε οἱ τῶν Ἀμμωνίων προφῆται ἔλεγον. Δι. Ἀλλὰ τὸ ψεῦδος αὐτῶν, οὐκ ἄχρηστόν σοι, ὦ Ἀλέξανδρε, πρὸς τὰ πράγματα ἐγένετο. πολλοὶ γὰρ ὑπέπτησσον, θεὸν εἶναί σε νομίζοντες. ἀτὰρ εἰπέ μοι, τίνι τὴν τοσαύτην ἀρχὴν καταλέλοιπας; Αλ. Οὐκ οἶδα, ὦ Διόγενες,

οὐ γὰρ ἔφθασα ἐπισκῆψαί τι περὶ αὐτῆς, ἢ τοῦτο μόνον, ὅτι ἀποθνήσκων, Περδίκκᾳ τὸν δακτύλιον ἐπέδωκα. πλὴν ἀλλὰ τί γελᾷς, ὦ Διόγενες; Δι. Τί γὰρ ἄλλο, ἢ ἀνεμνήσθην, οἷα ἐποίει ἡ Ἑλλὰς, ἄρτι σε παρειληφότα τὴν ἀρχὴν, κολακεύοντες, καὶ προστάτην αἱρούμενοι, καὶ στρατηγὸν ἐπὶ τοὺς Βαρβάρους, ἔνιοι δὲ καὶ τοῖς δώδεκα θεοῖς προστιθέντες, καὶ νεὼς οἰκοδομούμενοι, καὶ θύοντες, ὡς δράκοντος υἱῷ. ἀλλ᾽ εἰπέ μοι ποῦ σε οἱ Μακεδόνες ἔθαψαν; Ἀλ. Ἔτι ἐν Βαβυλῶνι κεῖμαι, τρίτην ταύτην ἡμέραν. ὑπισχνεῖται δὲ Πτολεμαῖος ὁ ὑπασπιστὴς, ἤν ποτε ἀγάγῃ σχολὴν ἀπὸ τῶν θορύβων τῶν ἐν ποσὶν, ἐς Αἴγυπτον ἀπαγαγών με, θάψειν ἐκεῖ, ὡς γενοίμην εἷς τῶν Αἰγυπτίων θεῶν. Δι. Μὴ γελάσω, ὦ Ἀλέξανδρε, ὁρῶν ἐν Ἅδου ἔτι σε μωραίνοντα, καὶ ἐλπίζοντα Ἄνουβιν ἢ Ὄσιριν γενέσθαι; πλὴν ἀλλὰ ταῦτα μὲν, ὦ θειότατε, μὴ ἐλπίσῃς. οὐ γὰρ θέμις, ἀνελθεῖν τινα τῶν ἅπαξ διαπλευσάντων τὴν λίμνην, καὶ ἐς τὸν εἴσω τοῦ στομίου παρελθόντων. οὐ γὰρ ἀμελὴς ὁ Αἰακὸς, οὐδ᾽ ὁ Κέρβερος εὐκαταφρόνητος. ἐκεῖνα δὲ ἡδέως ἂν μάθοιμι παρὰ σοῦ, πῶς φέρεις, ὁπότ᾽ ἂν ἐννοήσῃς, ὅσην εὐδαιμονίαν ὑπὲρ γῆς ἀπολιπὼν, ἀφῖξαι, σωματοφύλακας καὶ ὑπασπιστὰς καὶ σατράπας, καὶ χρυσὸν τοσοῦτον, καὶ ἔθνη προσκυνοῦντα, καὶ Βαβυλῶνα, καὶ Βάκτρα, καὶ τὰ μεγάλα θηρία, καὶ τιμὴν καὶ δόξαν, καὶ τὸ ἐπίσημον εἶναι, ἐλαύνοντα, διαδεδεμένον ταινίᾳ λευκῇ τὴν κεφαλὴν, πορφυρίδα ἐμπεπορπημένον. οὐ λυπεῖ ταῦτά σε ὑπὸ τὴν μνήμην ἰόντα; τί δακρύεις, ὦ μάταιε; οὐδὲ ταῦτά σε ὁ σοφὸς Ἀριστοτέλης ἐπαίδευσε, μὴ οἴεσθαι βέβαια εἶναι τὰ παρὰ τῆς τύχης; Ἀλ. Σοφὸς ἁπάντων ἐκεῖνος κολάκων ἐπιτριπτότατος ὤν, ἐμὲ μόνον ἔασον τὰ Ἀριστοτέλους εἰδέναι, ὅσα μὲν ᾔτησε παρ᾽ ἐμοῦ, οἷα δὲ ἐπέστελλεν, ὡς δὲ κατεχρῆτό μου τῇ περὶ παιδείαν φιλοτιμίᾳ, θωπεύων καὶ ἐπαινῶν, ἄρτι μὲν ἐς τὸ κάλλος, ὡς καὶ τοῦτο μέρος ὂν τἀγαθοῦ, ἄρτι δ᾽ ἐς τὰς πρά-

ξεις, καὶ τὸν πλοῦτον. καὶ γὰρ αὖ καὶ τοῦτ' ἀγαθὸν ἡγεῖτ' εἶναι, ὡς μὴ αἰσχύνοιτο καὶ αὐτὸς λαμβάνων. γόης ὦ Διόγενες ἄνθρωπος, καὶ τεχνίτης. πλὴν ἀλλὰ τοῦτό γε ἀπολέλαυκα αὐτοῦ τῆς σοφίας, τὸ λυπεῖσθαι ὡς ἐπὶ μεγίστοις ἀγαθοῖς, ἃ κατειλέγμεθα μικρῷ γε ἔμπροσθεν. Διο. Ἀλλ' οἶσθα ὃ δράσεις; ἄκος γάρ σοι τῆς λύπης ὑποθήσομαι. ἐπεὶ ἐνταῦθά γε ἐλλέβορος οὐ φύεται, σὺ δὲ, κἂν τὸ Λήθης ὕδωρ χανδὸν ἐπισπασάμενος πίε, καὶ αὖθις πίε, καὶ πολλάκις. οὕτω γὰρ ἂν παύσῃ ἐπὶ τοῖς Ἀριστοτέλους ἀγαθοῖς ἀνιώμενος. καὶ γὰρ καὶ Κλεῖτον ἐκεῖνον ὁρῶ, καὶ Καλλισθένη, καὶ ἄλλους πολλοὺς ἐπὶ σὲ ὁρμῶντας, ὡς διασπάσαιντο, καὶ ἀμύναιντό σε ὧν ἔδρασας αὐτούς. ὥστε τὴν ἑτέραν σὺ ταύτην βάδιζε. καὶ πῖνε πολλάκις, ὡς ἔφην.

Ἀλεξάνδρου, καὶ Φιλίππου.

ΦΙΛΙΠΠΟΣ.

Νῦν μὲν ὦ Ἀλέξανδρε, οὐκ ἂν ἔξαρνος γένοιο, μὴ οὐκ ἐμὸς υἱὸς εἶναι. οὐ γὰρ ἂν ἐτεθνήκεις, Ἄμμωνός γε ὤν. Ἀλε. Οὐδ' αὐτὸς ἠγνόουν ὦ πάτερ, ὡς Φιλίππου τοῦ Ἀμύντου υἱός εἰμι. ἀλλ' ἐδεξάμην τὸ μάντευμα, ὡς χρήσιμον ἐς τὰ πράγματα οἰόμενος εἶναι. Φίλ. Πῶς λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν; Ἀλε. Οὐ τοῦτο. ἀλλ' οἱ βάρβαροι κατεπλάγησάν με, καὶ οὐδεὶς ἔτι ἀνθίστατο, οἰόμενοι θεῷ μάχεσθαι. ὥστε ῥᾷον ἐκράτουν αὐτῶν. Φιλ. Τίνων ἐκράτησας σύ γε ἀξιομάχων ἀνδρῶν, ὃς δειλοῖς ἀεὶ συνηνέχθης, τοξάρια, καὶ πελτάρια, καὶ γέρρα οἰσύϊνα προβεβλημένοις; Ἑλλήνων κρατεῖν ἔργον ἦν, Βοιωτῶν, καὶ Φωκέων, καὶ Ἀθηναίων, καὶ τὸ Ἀρκάδων ὁπλιτικὸν, καὶ τὴν Θετταλὴν ἵππον, καὶ τοὺς Ἠλείων ἀκοντιστὰς, καὶ τὸ Μαντινέων πελταστικὸν, ἢ Θρᾷκας, ἢ Ἰλλυριοὺς, ἢ καὶ Παίονας χειρώσασθαι, ταῦτα μεγάλα;

γάλα ; Μήδων δὲ, καὶ Περσῶν, καὶ Χαλδαίων, καὶ χρυσοφόρων ἀνθρώπων, καὶ ἁβρῶν, οὐκ οἶσθα ὡς πρὸ σοῦ μύριοι μετὰ Κλεάρχου ἀνελθόντες, ἐκράτησαν, οὐδ᾽ εἰς χεῖρας ὑπομεινάντων ἐλθεῖν ἐκείνων, ἀλλὰ πρὶν ἢ τόξευμα ἐξικνεῖσθαι, φυγόντων ; Ἀλε. Ἀλλ᾽ οἱ Σκύθαι γε ὦ πάτερ, καὶ οἱ Ἰνδῶν ἐλέφαντες, οὐκ εὐκαταφρόνητόν τι ἔργον. καὶ ὅμως οὐ διαστήσας αὐτοὺς, οὐδὲ προδοσίαις ὠνούμενος τὰς νίκας, ἐκράτουν αὐτῶν. οὐδ᾽ ἐπιώρκησα πώποτε, ἢ ὑποσχόμενος ἐψευσάμην, ἢ ἄπιστον ἔπραξά τι τοῦ νικᾶν ἕνεκα. καὶ τοὺς Ἕλληνας δὲ, τοὺς μὲν, ἀναιμωτὶ παρέλαβον. Θηβαίους δὲ, ἴσως ἀκούεις ὅπως μετῆλθον. Φιλ. Οἶδα ταῦτα πάντα. Κλεῖτος γὰρ ἀπήγγειλέ μοι, ὃν σὺ τῷ δορατίῳ διελάσας μεταξὺ δειπνοῦντα, ἐφόνευσας, ὅτι με πρὸς τὰς σὰς πράξεις ἐπαινέσαι ἐτόλμησε. σὺ δὲ καὶ τὴν Μακεδονικὴν χλαμύδα καταβαλὼν, κάνδυν ὥς φασι μετενέδυς, καὶ τιάραν ὀρθὴν ἐπέθου, καὶ προσκυνεῖσθαι ὑπὸ Μακεδόνων, ὑπ᾽ ἐλευθέρων ἀνδρῶν ἠξίους. καὶ τὸ πάντων γελοιότατον, ἐμιμοῦ τὰ τῶν νενικημένων. ἐῶ γὰρ λέγειν ὅσα ἄλλα ἔπραξας, λέουσι συγκατακλείων πεπαιδευμένους ἄνδρας, καὶ γάμους τοιούτους γαμῶν, καὶ Ἡφαιστίωνα ὑπεραγαπῶν. ἓν ἐπῄνεσα μόνον ἀκούσας, ὅτι ἀπέσχου τῆς τοῦ Δαρείου γυναικὸς καλῆς οὔσης, καὶ τῆς μητρὸς αὐτοῦ, καὶ τῶν θυγατέρων ἐπεμελήθης. βασιλικὰ γὰρ ταῦτα.

Ἀλε. Τὸ φιλοκίνδυνον δὲ ὦ πάτερ οὐκ ἐπαινεῖς, καὶ τὸ ἐν Ὀξυδράκαις πρῶτον καθάλασθαι εἰς τὸ ἐντὸς τοῦ τείχους, καὶ τοσαῦτα λαβεῖν τραύματα ; Φιλ. Οὐκ ἐπαινῶ τοῦτο ὦ Ἀλέξανδρε. οὐχ ὅτι μὴ καλὸν εἶναι οἶμαι καὶ τιτρώσκεσθαί ποτε τὸν βασιλέα, καὶ προκινδυνεύειν τοῦ στρατοῦ, ἀλλ᾽ ὅτι σοὶ τοιοῦτο ἥκιστα συνέφερε. θεὸς γὰρ εἶναι δοκῶν, εἴ ποτε τρωθείης, καὶ βλέποιέν σε φοράδην τοῦ πολέμου ἐκκομιζόμενον, αἵματι ῥεόμενον, οἰμώζοντα ἐπὶ τῷ τραύματι, ταῦτα γέλως ἦν τοῖς ὁρῶσι. καὶ ὁ Ἄμμων, γόης, καὶ ψευδόμαντις ἠλέγχετο. καὶ οἱ προφῆται κόλακες. ἢ τίς οὐκ ἂν ἐγέλασεν ὁρῶν τὸν τοῦ Διὸς υἱὸν λειποψυχοῦντα,

δεό-

δεόμενον τῶν ἰατρῶν βοηθεῖν; νῦν μὲν γὰρ ὁπότε ἤδη τέθνηκας, οὐκ οἴει πολλοὺς εἶναι τοὺς τὴν προσποίησιν ἐκείνην ἐπικερτομοῦντας, ὁρῶντας τὸν νεκρὸν τοῦ θεοῦ ἐκτάδην κείμενον, μυδῶντα ἤδη, καὶ ἐξῳδηκότα, κατὰ νόμον σωμάτων ἁπάντων; ἄλλως τε καὶ τὸ χρήσιμον ὃ ἔφης Ἀλέξανδρε, τὸ διὰ τοῦτο κρατεῖν ῥᾳδίως, πολύ σε τῆς δόξης ἀφῃρεῖτο τῶν κατορθουμένων. πᾶν γὰρ ἐδόκει ἐνδεὲς ὑπὸ θεοῦ γίνεσθαι δοκοῦν. Ἀλε. Οὐ ταῦτα φρονοῦσιν οἱ ἄνθρωποι περὶ ἐμοῦ, ἀλλ᾽ Ἡρακλεῖ καὶ Διονύσῳ ἐνάμιλλον τιθέασί με. καίτοι τὴν Ἄορνον ἐκείνην, οὐδετέρου ἐκείνων λαβόντος, ἐγὼ μόνος ἐχειρωσάμην. Φιλ. Ὁρᾷς ὅτι ταῦτα ὡς υἱὸς Ἄμμωνος λέγεις, ὃς Ἡρακλεῖ καὶ Διονύσῳ παραβάλλεις σεαυτὸν, καὶ οὐκ αἰσχύνῃ ὦ Ἀλέξανδρε, οὐδὲ τὸν τῦφον ἀπομαθήσῃ, καὶ γνώσῃ σεαυτὸν, καὶ συνήσεις ἤδη νεκρὸς ὤν;

Διογένους, καὶ Ἡρακλέους.

ΔΙΟΓΕΝΗΣ.

Οὐχ Ἡρακλῆς οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος μὰ τὸν Ἡρακλέα. τὸ τόξον, τὸ ῥόπαλον, ἡ λεοντῆ, τὸ μέγεθος, ὅλος Ἡρακλῆς ἐστιν. εἶτα τέθνηκε Διὸς υἱὸς ὤν; εἰπέ μοι ὦ καλλίνικε, νεκρὸς εἶ; ἐγὼ γάρ σοι ἔθυον ὑπὲρ γῆς ὡς θεῷ. Ἡρα. Καὶ ὀρθῶς ἔθυες. αὐτὸς μὲν γὰρ ὁ Ἡρακλῆς ἐν οὐρανῷ τοῖς θεοῖς σύνεστι, καὶ ἔχει καλλίσφυρον Ἥβην. ἐγὼ δ᾽ εἴδωλόν εἰμι αὐτοῦ. Διο. Πῶς λέγεις εἴδωλον τοῦ θεοῦ; καὶ δυνατὸν ἐξ ἡμισείας μέν τινα θεὸν εἶναι, τεθνάναι δὲ τῷ ἡμίσει; Ἡρα. Ναί. οὐ γὰρ ἐκεῖνος τέθνηκεν, ἀλλ᾽ ἐγὼ ἡ εἰκὼν αὐτοῦ. Διο. Μανθάνω. ἀντανδρόν σε τῷ Πλούτωνι παρέδωκεν αὐθ᾽ ἑαυτοῦ. καὶ σὺ νῦν ἀντ᾽ ἐκείνου νεκρὸς εἶ. Ἡρα. Τοιοῦτό τι. Διο. Πῶς οὖν ἀκριβὴς ὢν ὁ Αἰακὸς, οὐκ ἔγνω σε μὴ ὄντα ἐκεῖνον, ἀλλὰ παρεδέξατο ὑποβολιμαῖον Ἡρακλέα παρόντα; Ἡρα. Ὅτι ἐῴκειν ἀκριβῶς.

Διο. Ἀληθῆ λέγεις· ἀκριβῶς γάρ, ὥστε αὐτὸς ἐκεῖνος εἶναι· ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί· σὺ μὲν εἶ ὁ Ἡρακλῆς, τὸ δὲ εἴδωλον γεγάμηκε τὴν Ἥβην παρὰ τοῖς θεοῖς. Ἡρα. Θρασὺς εἶ, καὶ λάλος. καὶ εἰ μὴ παύσῃ σκώπτων ἐς ἐμέ, εἴσῃ αὐτίκα οἵου θεοῦ εἴδωλόν εἰμι. Δι. Τὸ μὲν τόξον γυμνὸν, καὶ πρόχειρον· ἐγὼ δὲ, τί ἂν ἔτι φοβοίμην σε, ἅπαξ τεθνεώς; ἀτὰρ εἰπέ μοι πρὸς τοῦ σοῦ Ἡρακλέους, ὁπότε ἐκεῖνος ἔζη, συνῆς αὐτῷ, καὶ τότε εἴδωλον ὤν; ἢ εἷς μὲν ἦτε περὶ τὸν βίον, ἐπεὶ δ' ἀπεθάνετε, διαιρεθέντες, ὁ μὲν, ἐς θεοὺς ἀπέπτατο, σὺ δὲ τὸ εἴδωλον, ὥσπερ εἰκὸς ἦν, εἰς ᾅδου πάρει. Ἡρ. Ἐχρῆν μὲν μηδ' ἀποκρίνασθαι πρὸς ἄνδρα ἐπίτηδες ἐρεσχελοῦντα. ὅμως δ' οὖν καὶ τοῦτ' ἄκουσον. ὁπόσον μὲν Ἀμφιτρύωνος ἐν τῷ Ἡρακλεῖ ἦν, τοῦτο τέθνηκε, καί εἰμι ἐγὼ ἐκεῖνο πᾶν. ὃ δὲ ἦν τοῦ Διὸς, ἐν οὐρανῷ σύνεστι τοῖς θεοῖς. Διο. Σαφῶς νῦν μανθάνω· δύο γὰρ φὴς ἔτεκεν ἡ Ἀλκμήνη κατὰ τὸ αὐτὸ Ἡρακλέα, τὸν μὲν, ὑπ' Ἀμφιτρύωνι, τὸν δὲ, παρὰ τοῦ Διός. ὥστε ἐλελήθειτε δίδυμοι ὄντες ὁμομήτριοι. Ἡρα. Οὐκ ὦ μάταιε. ὁ γὰρ αὐτὸς ἄμφω ἦμεν. Διο. Οὐκ ἔστι μαθεῖν τοῦτο ῥᾴδιον, συνθέτους δύ' ὄντας Ἡρακλέας, ἐκτὸς εἰ μὴ ὥσπερ ἱπποκένταυρός τις ἦτε, εἰς ἓν συμπεφυκότες, ἄνθρωπος, καὶ θεός. Ἡρα. Οὐ γὰρ καὶ πάντες οὕτω σοι δοκοῦσι συγκεῖσθαι ἐκ δυοῖν, ψυχῆς, καὶ σώματος; ὥστε τί τὸ κωλύον ἐστὶ τὴν μὲν ψυχὴν ἐν οὐρανῷ εἶναι, ἥπερ ἦν ἐκ Διὸς, τὸ δὲ θνητὸν ἐμὲ, παρὰ τοῖς νεκροῖς; Διο. Ἀλλ' ὦ βέλτιστε Ἀμφιτρυωνιάδη, καλῶς ἂν ταῦτ' ἔλεγες, εἰ σῶμα ἦσθα· νῦν δὲ ἀσώματον εἴδωλον εἶ. ὥστε κινδυνεύεις τριπλοῦν ἤδη ποιῆσαι τὸν Ἡρακλέα. Ἡρα. Πῶς τριπλοῦν; Διο. Ὧδέ πως· εἰ γὰρ ὁ μέν τις ἐν οὐρανῷ, ὁ δὲ, παρ' ἡμῖν σὺ τὸ εἴδωλον, τὸ δὲ σῶμα ἐν Οἴτῃ κόνις ἤδη γενόμενον, τρία δὴ ταῦτα γίνεται, καὶ σκόπει ὄντινα δὴ πατέρα τρίτον ἐπινοήσεις τῷ σώματι. Ἡρα. Θρασύς τις εἶ, καὶ σοφιστής. τίς δὲ καὶ ὢν τυγχάνεις; Διο. Διογένους τοῦ σινωπέως εἴδωλον. αὐτὸς δὲ, οὐ μὰ Δία μετ' ἀθανάτοισι θεοῖσιν, ἀλλὰ τοῖς βελτίστοις νεκρῶν σύνειμι, Ὁμήρου, καὶ τῆς τοσαύτης ψευδολογίας καταγελῶν.

Με-

Μενίππου, ϗ Ταντάλου.

ΜΕ'ΝΙΠΠΟΣ.

Τί κλάεις ὦ Τάνταλε; ἢ τί σεαυτὸν ὀδύρῃ, ἐπὶ τῇ λίμνῃ ἑστώς; Ταν. Ὅτι ὦ Μένιππε ἀπόλωλα ὑπὸ τοῦ δίψους. Μέ. Οὕτως ἀργὸς εἶ, ὡς μὴ ἐπικύψας πιεῖν, ἢ ϗ νὴ Δί' ἀρυσάμενος κοίλῃ τῇ χειρί; Ταν. Οὐδὲν ὄφελος, εἰ ἐπικύψαιμι. φεύγει γὰρ τὸ ὕδωρ, ἐπειδὰν προσιόντα αἴσθηταί με. ἢν δέ ποτε ϗ ἀρύσωμαι, ϗ προσενέγκω τῷ στόματι, οὐ φθάνω βρέξας ἄκρον τὸ χεῖλος, ϗ διὰ τῶν δακτύλων διαῤῥυὲν, οὐκ οἶδ', ὅπως αὖθις ἀπολείπει ξηρὰν τὴν χεῖρά μου. Μέ. Τεράστιόν τι πάσχεις, ὦ Τάνταλε. ἀτὰρ εἰπέ μοι, τί γὰρ ϗ δέῃ τοῦ πιεῖν; οὐ γὰρ σῶμα ἔχεις, ἀλλ' ἐκεῖνο μὲν ἐν Λυδίᾳ που τέθαπται, ὅπερ ϗ πεινῆν καὶ διψῆν ἐδύνατο. σὺ δὲ ἡ ψυχὴ, πῶς ἂν ἔτι ἢ διψῴης, ἢ πίνοις; Ταν. τοῦτ' αὐτὸ ἡ κόλασίς ἐστι, τὸ διψῆν μου τὴν ψυχὴν, ὡς σῶμα οὖσαν. Με. Ἀλλὰ τοῦτο μὲν οὕτω πιστεύσομεν, ἐπεὶ φὴς τῷ δίψει κολάζεσθαι. τί δ' οὖν σοι τὸ δεινὸν ἔσται; ἢ δέδιας, μὴ ἐνδείᾳ τοῦ ποτοῦ ἀποθάνῃς, οὐχ ὁρῶ γὰρ ἄλλον μετὰ τοῦτον ἅδην, ἢ θάνατον ἐντεῦθεν εἰς ἕτερον τόπον. Ταν. Ὀρθῶς μὲν λέγεις. ϗ τοῦτο δ' οὖν μέρος τῆς καταδίκης, τὸ ἐπιθυμεῖν πιεῖν, μηδὲν δεόμενον. Μέ. Ληρεῖς ὦ Τάνταλε, ϗ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖς, ἀκράτου γε ἐλλεβόρου, νὴ Δία, ὅστις τοὐναντίον τοῖς ὑπὸ τῶν λυττώντων κυνῶν δεδηγμένοις πέπονθας, οὐ τὸ ὕδωρ, ἀλλὰ τὴν δίψαν πεφοβημένος. Ταν. Οὐδὲ τὸν ἐλλέβορον, ὦ Μένιππε, ἀναίνομαι πιεῖν, γένοιτό μοι μόνον. Μέ. Θάῤῥει ὦ Τάνταλε, ὡς οὔτε σὺ, οὔτε ἄλλος πίεται τῶν νεκρῶν, ἀδύνατον γάρ. καίτοι οὐ πάντες, ὥσπερ σὺ, ἐκ καταδίκης διψῶσι, τοῦ ὕδατος αὐτοὺς οὐχ ὑπομένοντος.

Μενί-

Μενίππου, καὶ Ἑρμοῦ.

ΜΕ'ΝΙΠΠΟΣ.

Ποῦ δὲ οἱ καλοί εἰσιν, ἢ αἱ καλαὶ, ὦ Ἑρμῆ; ξενάγησόν με νέηλυν ὄντα. Ἑρ. Οὐ σχολή μοι, ὦ Μένιππε. πλὴν κατ' ἐκεῖνο αὐτὸ ἀπόβλεψον, ὡς ἐπὶ τὰ δεξιὰ, ἔνθα Ὑάκινθός τε ἐστι, καὶ ὁ Νάρκισσος καὶ Νιρεὺς καὶ Ἀχιλλεὺς, καὶ Τυρὼ καὶ Ἑλένη καὶ Λύδα, καὶ ὅλως, τὰ ἀρχαῖα κάλλη πάντα. Μέ. Ὀστᾶ μόνον ὁρῶ, καὶ κρανία, τῶν σαρκῶν γυμνὰ, ὅμοια τὰ πολλά. Ἑρ. Καὶ μὴν ἐκεῖνά ἐστιν, ἃ πάντες οἱ ποιηταὶ θαυμάζουσι τὰ ὀστᾶ, ὧν σὺ ἔοικας καταφρονεῖν. Μέ. Ὅμως τὴν Ἑλένην μοι δεῖξον, οὐ γὰρ ἂν διαγνοίην ἔγωγε. Ἑρ. Τουτὶ τὸ κρανίον ἡ Ἑλένη ἐστίν. Μέ. Εἶτα αἱ χίλιαι νῆες διὰ τοῦτο ἐπληρώθησαν, ἐξ ἁπάσης τῆς Ἑλλάδος, καὶ τοσοῦτοι ἔπεσον Ἕλληνές τε καὶ βάρβαροι, καὶ τοσαῦται πόλεις ἀνάστατοι γεγόνασιν; Ἑρ. Ἀλλ' οὐκ εἶδες, ὦ Μένιππε, ζῶσαν τὴν γυναῖκα. ἔφης γὰρ ἂν καὶ σὺ, ἀνεμέσητον εἶναι, τοιῇδ' ἀμφὶ γυναικὶ, πολὺν χρόνον ἄλγεα πάσχειν. ἐπεὶ καὶ τὰ ἄνθη ξηρὰ ὄντα, εἴτις βλέποι ἀποβεβληκότα τὴν βαφὴν, ἄμορφα δηλονότι αὐτῷ δόξει· ὅτε μέντοι ἀνθεῖ, καὶ ἔχει τὴν χροιὰν, κάλλιστά ἐστιν. Μέ. Οὐκοῦν τοῦτο ὦ Ἑρμῆ θαυμάζω, εἰ μὴ συνίεσαν οἱ Ἀχαιοὶ περὶ πράγματος, οὕτως ὀλιγοχρονίου, καὶ ῥᾳδίως ἀπανθοῦντος πονοῦντες. Ἑρ. Οὐ σχολή μοι, ὦ Μένιππε, συμφιλοσοφεῖν σοι· ὥστε ἐπιλεξάμενος τόπον, ἔνθα ἂν ἐθέλῃς, κεῖσο καταβαλὼν σεαυτόν. ἐγὼ δὲ τοὺς ἄλλους νεκροὺς ἤδη μετελεύσομαι.

Μενίππου, Αἰακοῦ, Πυθαγόρου, καὶ Σωκράτους.

ΜΕΝΙΠΠΟΣ.

Πρὸς τοῦ Πλούτωνος, ὦ Αἰακὲ, περιήγησαί μοι τὰ ἐν Ἅδου πάντα. Αἰ. Οὐ ῥᾴδιον, ὦ Μένιππε, ἅπαντα, ὅσα μέντοι κεφαλαιώδη, μάνθανε. Οὑτοσὶ μὲν, ὅτι Κέρβερός ἐστιν, οἶσθα· καὶ τὸν πορθμέα τοῦτον, ὅς σε διεπέρασε, καὶ τὴν λίμνην, καὶ τὸν Πυριφλεγέθοντα ἤδη ἑώρακας εἰσιών. Με. Οἶδα ταῦτα καὶ σὲ, ὅτι πυλωρεῖς. καὶ τὸν βασιλέα εἶδον, καὶ τὰς Ἐριννῦς. τοὺς δ' ἀνθρώπους μοι τοὺς πάλαι δεῖξον, καὶ μάλιστα τοὺς ἐπισήμους αὐτῶν. Αἰ. Οὗτος μὲν Ἀγαμέμνων, οὗτος δ' Ἀχιλλεὺς, οὗτος δὲ Ἰδομενεὺς πλησίον, ἔπειτα Ὀδυσσεὺς, εἶτα Αἴας καὶ Διομήδης, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων. Με. Βαβαὶ Ὅμηρε, οἷά σοι τῶν ῥαψῳδιῶν τὰ κεφάλαια χαμαὶ ἔρριπται, ἄγνωστα καὶ ἄμορφα, κόνις πάντα, καὶ λῆρος πολύς. ἀμενηνὰ ὡς ἀληθῶς κάρηνα, οὗτος δὲ, ὦ Αἰακὲ, τίς ἐστι; Αἰ. Κῦρός ἐστιν. οὗτος δὲ Κροῖσος, ὁ δ' ὑπὲρ αὐτὸν Σαρδανάπαλος. ὁ δ' ὑπὲρ τούτους Μίδας, ἐκεῖνος δὲ Ξέρξης. Με. Εἶτά σε, ὦ κάθαρμα, ἡ Ἑλλὰς ἔφριττε, ζευγνύντα μὲν τὸν Ἑλλήσποντον, διὰ δὲ τῶν ὀρῶν πλεῖν ἐπιθυμοῦντα; οἷος δὲ καὶ ὁ Κροῖσός ἐστι; τὸν Σαρδανάπαλον δὲ, ὦ Αἰακὲ, πατάξαι μοι κατὰ κόρρης ἐπίτρεψον. Αἰ. Μηδαμῶς, διαθρύψεις γὰρ αὐτοῦ τὸ κρανίον, γυναικεῖον. Με. Οὐκοῦν, ἀλλὰ προσπτύξομαί γε πάντως ἀνδρογύνῳ ὄντι. Αἰ. Βούλει σοι ἐπιδείξω καὶ τοὺς σοφούς; Με. Νὴ Δία γε. Αἰ. Πρῶτος οὗτός σοι ὁ Πυθαγόρας ἐστί. Με. Χαῖρε ὦ Εὔφορβε, ἢ Ἄπολλον, ἢ ὅ, τι ἂν ἐθέλῃς. Πυ. Νὴ καὶ σύ γε ὦ Μένιππε. Με. Οὐκ ἔτι χρυσοῦς ὁ μηρός ἐστί σοι; Πυ. Οὐ γὰρ, ἀλλὰ φέρ' ἴδω, εἴ τι σοι ἐδώδιμον ἡ πήρα ἔχει.

Με.

Με. Κυάμους ὦ 'γαθέ, ὥστε οὐ τοῦτό σοι ἐδώδιμον. Πυ. Δὸς μόνον. ἄλλα παρὰ νεκροῖς δόγματα. ἔμαθον γάρ, ὡς οὐδὲν ἴσον, κύαμοι, καὶ κεφαλαὶ τοκήων ἐνθάδε. Αἰ. Οὗτος δὲ Σόλων, ὁ Ἐξηκεστίδου, καὶ Θαλῆς ἐκεῖνος, καὶ παρ' αὐτοὺς Πιττακός, καὶ οἱ ἄλλοι. ἑπτὰ δὲ πάντες εἰσίν, ὡς ὁρᾷς. Με. Ἄλυποι οὗτοι, ὦ Αἰακέ, μόνοι καὶ φαιδροὶ τῶν ἄλλων. ὁ δὲ σποδοῦ πλέως, ὥσπερ ἐγκρυφίας ἄρτος, ὁ ταῖς φλυκταίναις ὅλος ἐξηνθηκώς, τίς ἐστιν; Αἰ. Ἐμπεδοκλῆς, ὦ Μένιππε, ἡμίεφθος ἀπὸ τῆς Αἴτνης παρών. Με. Ὦ χαλκόπου βέλτιστε, τί παθὼν σαυτὸν ἐς τοὺς κρατῆρας ἐνέβαλες; Ἐμ. Μελαγχολία τις, ὦ Μένιππε. Με. Οὐ μὰ Δία, ἀλλὰ κενοδοξία καὶ τῦφος, καὶ πολλὴ κόρυζα, ταῦτά σε ἀπηνθράκωσεν αὐταῖς κρηπῖσιν οὐκ ἄξιον ὄντα, πλὴν ἀλλ' οὐδέν σε τὸ σόφισμα ὤνησεν, ἐφωράθης γὰρ τεθνεώς. ὁ Σωκράτης δὲ, ὦ Αἰακέ, ποῦ ποτε ἄρα ἐστί; Αἰ. Μετὰ Νέστορος καὶ Παλαμήδους ἐκεῖνος ληρεῖ τὰ πολλά. Με. Ὅμως ἐβουλόμην ἰδεῖν αὐτόν, εἴπου ἐνθάδε ἐστίν. Αἰ. Ὁρᾷς τὸν φαλακρόν; Με. ἅπαντες φαλακροί εἰσιν, ὥστε πάντων ἂν εἴη τοῦτο τὸ γνώρισμα. Αἰ. Τὸν σιμὸν λέγω. Με. Καὶ τοῦθ' ὅμοιον, σιμοὶ γὰρ ἅπαντες. Σω. Ἐμὲ ζητεῖς, ὦ Μένιππε; Με. Καὶ μάλα, ὦ Σώκρατες. Σω. Τί τὰ ἐν Ἀθήναις; Με. Πολλοὶ τῶν νέων φιλοσοφεῖν λέγουσι. καὶ τάγε σχήματα αὐτὰ, καὶ τὰ βαδίσματα εἰ θεάσαιτό τις, ἄκροι φιλόσοφοι, μάλα πολλοί. τὰ δ' ἄλλα ἑώρακας, οἶμαι, οἷος ἧκε παρὰ σοὶ Ἀρίστιππος, καὶ Πλάτων αὐτός, ὁ μὲν ἀποπνέων μύρου, ὁ δὲ τοὺς ἐν Σικελίᾳ τυράννους θεραπεύειν ἐκμαθών. Σω. Περὶ ἐμοῦ δὲ τί φρονοῦσιν; Με. Εὐδαίμων, ὦ Σώκρατες, ἄνθρωπος εἶ. τάγε τοιαῦτα πάντες οὖν σε θαυμάσιον οἴονται ἄνδρα γεγενῆσθαι, καὶ πάντα ἐγνωκέναι ταῦτα. δεῖ γάρ, οἶμαι, τἀληθὲς λέγειν, οὐδὲν εἰδότα. Σω. Καὶ αὐτὸς ἔφασκον ταῦτα πρὸς αὐτούς, οἱ δὲ εἰρωνείαν ᾤοντο τὸ πρᾶγμα εἶναι. Με. Τίνες δὲ οὗτοι εἰσιν, οἱ περὶ σέ; Σω. Χαρμίδης, ὦ Μένιπ-

πε, καὶ Φαῖδρος, καὶ ὁ τοῦ Κλεινίου. Με. Εὖγε ὦ Σώκρατες, ὅτι κἀνταῦθα μέτει τὴν σαυτοῦ τέχνην, καὶ οὐκ ὀλιγωρεῖς τῶν καλῶν. Σω. Τί γὰρ ἂν ἄλλο ἥδιον πράττοιμι; ἀλλὰ πλησίον ἡμῶν κατάκεισο, εἰ δοκεῖ. Με. Μὰ Δί', ἐπὶ τὸν Κροῖσον γὰρ καὶ Σαρδανάπαλον ἄπειμι, πλησίον οἰκήσων αὐτῶν. ἔοικα γοῦν οὐκ ὀλίγα γελάσεσθαι, οἰμωζόντων ἀκούων. Αἰ. Κἀγὼ ἤδη ἄπειμι, μὴ καί τις ἡμᾶς νεκρῶν λάθῃ διαφυγών. τὰ πολλὰ δ' ἐσαῦθις ὄψει ὦ Μένιππε. Με. Ἄπιθι. καὶ ταυτὶ γὰρ ἱκανὰ ὦ Αἰακέ.

Χάρωνος, Μενίππου, καὶ Ἑρμοῦ.

ΧΑΡΩΝ.

Ἀπόδος ὦ κατάρατε τὰ πορθμεῖα. Με. Βόα, εἰ τοῦτό σοι ἥδιον ὦ Χάρων. Χα. Ἀπόδος φημὶ, ἀνθ' ὧν σε διεπορθμεύσαμεν. Με. Οὐκ ἂν λάβοις παρὰ τοῦ μὴ ἔχοντος. Χα. Ἔστι δέ τις ὀβολὸν μὴ ἔχων; Με. Εἰ μὲν καὶ ἄλλος τις, οὐκ οἶδα. ἐγὼ δὲ, οὐκ ἔχω. Χα. Καὶ μὴν ἄγξω σε νὴ τὸν Πλούτωνα ὦ μιαρὲ, ἢν μὴ ἀποδῷς. Με. Κἀγὼ τῷ ξύλῳ σου πατάξας, διαλύσω τὸ κρανίον. Χα. Μάτην οὖν ἔσῃ πεπλευκὼς τοσοῦτον πλοῦν; Με. Ὁ Ἑρμῆς ὑπὲρ ἐμοῦ σοι ἀποδότω, ὅς με παρέδωκέ σοι. Ἑρ. Νὴ Δία ὀναίμην, εἰ μέλλω γε καὶ ὑπερεκτίνειν τῶν νεκρῶν. Χα. Οὐκ ἀποστήσομαί σου. Με. Τούτου γε ἕνεκα νεωλκήσας τὸ πορθμεῖον, παράμενε πλὴν ἀλλ' ὅ, γε μὴ ἔχω, πῶς ἂν λάβοις; Χα. Σὺ δ' οὐκ ᾔδεις ὡς κομίζειν δέον; Με. Ἤδειν μὲν, οὐκ εἶχον δέ. τί οὖν, ἐχρῆν διὰ τοῦτο μὴ ἀποθανεῖν; Χα. Μόνος οὖν αὐχήσεις προῖκα πεπλευκέναι; Με. Οὐ προῖκα ὦ βέλτιστε. καὶ γὰρ ἤντλησα, καὶ τῆς κώπης ἐπελαβόμην, καὶ οὐκ ἔκλαιον μόνος τῶν ἄλλων ἐπιβατῶν. Χα. Οὐδὲν ταῦτα πρὸς τὰ πορθμεῖα. τὸν ὀβολὸν ἀποδοῦναί σε δεῖ. οὐ γὰρ θέμις ἄλλως γενέσθαι. Με. Οὐκοῦν ἀπάγαγέ με αὖθις ἐς τὸν

βίον.

βίον. Χα. Χάριεν λέγεις, ἵνα καὶ πληγὰς ἐπὶ τούτῳ παρὰ τοῦ Αἰακοῦ προσλάβω. Με. Μὴ ἐνόχλει οὖν. Χα. Δεῖξον τί ἐν τῇ πήρᾳ ἔχεις. Με. Θέρμους εἰ θέλεις, καὶ τῆς Ἑκάτης τὸ δεῖπνον. Χα. Πόθεν τοῦτον ἡμῖν ὦ Ἑρμῆ τὸν κύνα ἤγαγες; οἷα δὲ καὶ ἐλάλει παρὰ τὸν πλοῦν, τῶν ἐπιβατῶν ἁπάντων καταγελῶν, καὶ ἐπισκώπτων, καὶ μόνος ᾄδων, οἰμωζόντων ἐκείνων. Ἑρ. Ἀγνοεῖς ὦ Χάρων ὁποῖον ἄνδρα διεπόρθμευσας· ἐλεύθερον ἀκριβῶς, κοὐδενὸς αὐτῷ μέλει. οὗτός ἐστιν ὁ Μένιππος. Χα. Καὶ μὴν ἄν σε λάβω ποτέ. Με. Ἂν λάβῃς ὦ βέλτιστε, δὶς δὲ οὐκ ἂν λάβοις.

Διογένους, καὶ Μαυσώλου.

ΔΙΟΓΕΝΗΣ.

Ὦ Κάρ, ἐπὶ τίνι μέγα φρονεῖς, καὶ πάντων ἡμῶν προτιμᾶσθαι ἀξιοῖς; Μαυ. Καὶ ἐπὶ τῇ βασιλείᾳ μὲν ὦ Σινωπεῦ, ὃς ἐβασίλευσα Καρίας μὲν ἁπάσης, ἦρξα δὲ καὶ Λυδῶν ἐνίων. καὶ νήσους δέ τινας ὑπηγαγόμην, καὶ ἄχρι Μιλήτου ἐπέβην, τὰ πολλὰ τῆς Ἰωνίας καταστρεφόμενος. καὶ καλὸς ἦν, καὶ μέγας, καὶ ἐν πολέμοις καρτερός. τὸ δὲ μέγιστον, ὅτι ἐν Ἁλικαρνασσῷ μνῆμα παμμέγεθες ἔχω ἐπικείμενον, ἡλίκον οὐκ ἄλλος νεκρὸς, ἀλλ' οὐδὲ οὕτως ἐς κάλλος ἐξησκημένον, ἵππων, καὶ ἀνδρῶν ἐς τὸ ἀκριβέστατον εἰκασμένων λίθου τοῦ καλλίστου, οἷον οὐδὲ νεὼν εὕρῃ τις ἂν ῥᾳδίως. οὐ δοκῶ σοι δικαίως ἐπὶ τούτοις μέγα φρονεῖν; Διο. Ἐπὶ τῇ βασιλείᾳ φὴς, καὶ τῷ κάλλει, καὶ τῷ βάρει τοῦ τάφου; Μα. Νὴ Δί' ἐπὶ τούτοις. Δι. Ἀλλ' ὦ καλὲ Μαύσωλε, οὔτε ἡ ἰσχὺς ἔτι σοι ἐκείνη, οὔτε ἡ μορφὴ πάρεστιν. εἰ γοῦν τινα ἑλοίμεθα δικαστὴν εὐμορφίας πέρι, οὐκ ἔχω εἰπεῖν τίνος ἕνεκα τὸ σὸν κρανίον προτιμηθείη αὐτοῦ ἐμοῦ. φαλακρὰ γὰρ ἄμφω, καὶ γυμνά. καὶ τοὺς ὀδόντας ὁμοίως προφαίνομεν, καὶ τοὺς ὀφθαλμοὺς ἀφῃρή-

μεθα, καὶ τὰς ῥῖνας ἀποσεσιμώμεθα. ὁ δὲ τάφος, καὶ οἱ πολυτελεῖς ἐκεῖνοι λίθοι, Ἀλικαρνασσεῦσι μὲν ἴσως εἶεν ἐπιδείκνυσθαι, καὶ φιλοτιμεῖσθαι πρὸς τοὺς ξένους, ὡς δή τι μέγα οἰκοδόμημα αὐτοῖς ἐστι. σὺ δὲ ὦ βέλτιστε, οὐχ ὁρῶ ὅ, τι ἀπολαύεις αὐτοῦ, πλὴν εἰ μὴ τοῦτο φῄς, ὅτι μᾶλλον ἡμῶν ἀχθοφορεῖς ὑπὸ τηλικούτοις λίθοις πιεζόμενος. Μαυ. Ἀνόνητα οὖν μοι ἐκεῖνα πάντα. καὶ ἰσότιμος ἔσται Μαύσωλος, καὶ Διογένης; Διο. Οὐκ ἰσότιμος ὦ γενναιότατε. οὐ γάρ. Μαύσωλος μὲν γὰρ οἰμώξεται, μεμνημένος τῶν ὑπὲρ γῆς, ἐν οἷς εὐδαιμονεῖν ᾤετο. Διογένης δὲ καταγελάσεται αὐτοῦ. καὶ τάφον ὁ μὲν, ἐν Ἀλικαρνασσῷ ἐρεῖ ἑαυτῷ ὑπὸ Ἀρτεμισίας τῆς γυναικὸς καὶ ἀδελφῆς κατεσκευασμένον. ὁ Διογένης δὲ, τοῦ μὲν σώματος, εἰ καί τινα τάφον ἔχει, οὐκ οἶδεν. οὐδὲ γὰρ ἔμελεν αὐτῷ τούτου. λόγον δὲ τοῖς ἀρίστοις περὶ αὐτοῦ καταλέλοιπεν, ἀνδρὸς βίον βεβιωκὼς ὑψηλότερον, ὦ Καρῶν ἀνδραποδωδέστατε τοῦ σοῦ μνήματος, καὶ ἐν βεβαιοτέρῳ χωρίῳ κατεσκευασμένον.

Νιρέως, Θερσίτου, καὶ Μενίππου.

ΝΙΡΕΥΣ.

Ἰδοὺ δὴ Μένιππος οὑτοσὶ δικάσει, πότερος εὐμορφότερός ἐστιν. εἰπὲ ὦ Μένιππε, οὐ καλλίων σοι δοκῶ; Με. Τίνες δὲ καὶ ἐστὲ πρότερον οἶμαι; χρὴ γὰρ τοῦτο εἰδέναι. Νι. Νιρεὺς, καὶ Θερσίτης. Με. Πότερος ὁ Νιρεὺς, καὶ πότερος οὖν ὁ Θερσίτης; οὐδέπω γὰρ τοῦτο δῆλον. Θερ. Ἓν μὲν ἤδη τοῦτ' ἔχω, ὅτι ὅμοιός εἰμί σοι, καὶ οὐδὲν τηλικοῦτον διαφέρεις, ἡλίκον σε Ὅμηρος ἐκεῖνος ὁ τυφλὸς ἐπῄνεσεν, ἁπάντων εὐμορφότατον προσειπών. ἀλλ' ὁ φοξὸς ἐγὼ, καὶ ψεδνὸς, οὐδὲν χείρων ἐφάνην τῷ δικαστῇ. ὅρα δέ σοι ὦ Μένιππε ὅν τινα καὶ εὐμορφότερον ἡγῇ. Νι. Ἐμέ γε τὸν Ἀγλαΐας, καὶ Χάροπος, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθον.

ἦλθον. Με. ἀλλ' οὐχὶ καὶ ὑπὸ γλῶ ὡς οἶμαι κάλλιςος ἦλθες, ἀλλὰ τὰ μὲν ἐςᾶ, ὅμοια. τὸ δὲ κρανίον, ταύτῃ μόνον ἄρα διακρίνοιτο ἀπὸ τοῦ Θερσίτου κρανίου, ὅτι εὔθρυπτον τὸ σόν. ἀλαπαδνὸν γὰρ αὐτὸ, καὶ οὐκ ἀνδρῶδες ἔχεις. Νι. Καὶ μὴν ἐροῦ Ὅμηρον, ὁποῖος ἦν, ὁπότε συνεςράτευον τοῖς Ἀχαιοῖς. Με. Ὀνείρατά μοι λέγεις. ἐγὼ δὲ βλέπω ἃ καὶ νῦν ἔχεις. ἐκεῖνα δὲ, οἱ τότε ἴσασιν. Νι. Οὐκοῦν ἐγὼ ἐνταῦθα εὐμορφότερός εἰμι ὦ Μένιππε; Με. Οὔτε σὺ, οὔτε ἄλλος εὔμορφος. ἰσοτιμία γὰρ ἐν ᾅδου. καὶ ὅμοιοι ἅπαντες. Θερ. Ἐμοὶ μὲν καὶ τοῦτο ἱκανόν.

Ἑρμοῦ, Χάρωνος, Κροίσου καὶ Σόλωνος, ἢ ἐπισκοποῦντες.

ΕΡΜΗΣ.

Τί γελᾷς ὦ Χάρων; ἢ τί τὸ πορθμεῖον ἀπολιπὼν, δεῦρο ἀνελήλυθας ἐς τὴν παροῦσαν ἡμέραν, οὐ πάνυ εἰωθὼς ἐπιχωριάζειν τοῖς ἄνω πράγμασιν; Χα. Ἐπεθύμησα ὦ Ἑρμῆ ἰδεῖν, ὁποῖά ἐςι τὰ ἐν τῷ βίῳ, καὶ ἃ πράττουσιν οἱ ἄνθρωποι ἐν αὐτῷ, ἢ τίνων ςερούμενοι, πάντες οἰμώζουσι κατιόντες παρ' ἡμᾶς, οὐδεὶς γὰρ αὐτῶν ἀδακρυτὶ διέπλευσεν. αἰτησάμενος οὖν παρὰ τοῦ Ἅδου καὶ αὐτὸς, ὥσπερ καὶ ὁ Θετταλὸς ἐκεῖνος νεανίσκος, μίαν ἡμέραν λειπόνεως γενέσθαι, ἀνελήλυθα ἐς τὸ φῶς. καί μοι δοκεῖ ἐς δέον ἐντετυχηκέναι σοι. ξεναγήσεις γάρ εὖ οἶδ' ὅτι με ξυμπεριινοςῶν, καὶ δείξεις ἕκαςα, ὡς ἂν εἰδὼς ἅπαντα. Ἑρ. Οὐ σχολή μοι ὦ πορθμεῦ. ἀπέρχομαι γάρ τι διακονησόμενος τῷ ἄνω Διῒ τῶν ἀνθρωπικῶν. ὁ δὲ, ὀξύθυμός τε ἐςὶ, καὶ δέδια μὴ βραδύναντά με, ὅλον ὑμέτερον ἐάσῃ εἶναι, παραδοὺς τῷ ζόφῳ. ἢ ὅπερ τὸν Ἥφαιςον πρώην ἐποίησε, ῥίψῃ κἀμὲ τεταγὼν τοῦ ποδὸς ἀπὸ τοῦ θεσπεσίου βηλοῦ, ὡς ὑποσκάζων, γέλωτα παρέχοιμι καὶ αὐτὸς οἰνοχοῶν. Χα. Περιό-

ψει οὖν με ἄλλως πλανώμενον ὑπὲρ γῆς, καὶ ταῦτα, ἑταῖρος, καὶ ξύπλους, καὶ συνδιάκτορος ὤν; καὶ μὴν καλῶς εἶχεν ὦ παῖ Μαίας ἐκείνων γοῦν σε μεμνῆσθαι, ὅτι μή δὲ πώποτέ σε ἢ ἀντλεῖν ἐκέλευσα, ἢ πρόσκωπον εἶναι. ἀλλὰ σὺ μὲν ῥέγκεις ἐπὶ τοῦ καταστρώματος ἐκταθεὶς, ὤμους οὕτω καρτεροὺς ἔχων, ἢ εἴ τινα λάλον νεκρὸν εὕροις, ἐκείνῳ παρ' ὅλον τὸν πλοῦν διαλέγῃ. ἐγὼ δὲ πρεσβύτης ὤν, τὴν δικωπίαν ἔλκων, ἐρέττω μόνος. ἀλλὰ πρὸς τοῦ πατρὸς ὦ φίλτατον Ἑρμήδιον, μὴ καταλίπῃς με. περιήγησαι δὲ τὰ ἐν τῷ βίῳ ἅπαντα, ὥς τι καὶ ἰδὼν ἐπανέλθοιμι. ὡς ἢν με σὺ ἀφῇς, οὐδὲν τῶν τυφλῶν διοίσω. καθάπερ γὰρ ἐκεῖνοι σφάλλονται διολισθαίνοντες ἐν τῷ σκότῳ, οὕτω δὴ κἀγώ σοι πάλιν ἀμβλυώττω πρὸς τὸ φῶς. ἀλλὰ δός ὦ Κυλλήνιε μοι ἐς ἀεὶ μεμνησομένῳ τὴν χάριν. Ἑρ. Τοῦτὶ τὸ πρᾶγμα, πληγῶν αἴτιον καταστήσεταί μοι. ὁρῶ γοῦν ἤδη τὸν μισθὸν τῆς περιηγήσεως οὐκ ἀκόνδυλον παντάπασιν ἡμῖν ἐσόμενον. ὑπουργητέον δὲ ὅμως. τί γὰρ ἂν καὶ πάθῃ τις, ὁπότε φίλος τις ὢν βιάζοιτο; Πάντα μὲν οὖν σε ἰδεῖν καθ' ἕκαστον ἀκριβῶς ἀμήχανόν ἐστιν ὦ πορθμεῦ. πολλῶν γὰρ ἂν ἐτῶν ἡ διατριβὴ γένοιτο. εἶτα ἐμὲ μὲν κηρύττεσθαι δεήσει, καθάπερ ἀποδράντα ὑπὸ τοῦ Διός. σὲ δὲ καὶ αὐτὸν κωλύσει ἐνεργεῖν τὰ τοῦ Θανάτου ἔργα, καὶ τὴν Πλούτωνος ἀρχὴν ζημιοῦν, μὴ νεκραγωγοῦντα πολλοῦ τοῦ χρόνου. καὶ ὁ τελώνης Αἰακὸς ἀγανακτήσει, μηδ' ὀβολὸν ἐμπολῶν. ὡς δὲ τὰ κεφάλαια τῶν γιγνομένων ἴδῃς, τοῦτ' ἤδη σκεπτέον. Χα. Αὐτὸς ὦ Ἑρμῆ ἐπινόει τὸ βέλτιστον. ἐγὼ δὲ, οὐδὲν οἶδα τῶν ὑπὲρ γῆς, ξένος ὤν. Ἑρ. Τὸ μὲν ὅλον ὦ Χάρων, ὑψηλοῦ τινος ἡμῖν ἔδει χωρίου, ὡς ἀπ' ἐκείνου πάντ' ἴδοις. σοὶ δὲ εἰ μὲν ἐς τὸν οὐρανὸν ἀνελθεῖν δυνατὸν ἦν, οὐκ ἂν ἐκάμνον. ἐκ περιωπῆς γὰρ ἂν ἀκριβῶς ἅπαντα καθεώρας. ἐπεὶ δὲ οὐ θέμις εἰδώλοις ἀεὶ ξυνόντα ἐπιβατεύειν τῶν βασιλείων τοῦ Διός, ὥρα ἡμῖν ὑψηλόν τι ὄρος περισκοπεῖν. Χα. Οἶσθα ὦ Ἑρμῆ ἅπερ εἴωθα λέγειν ἐγὼ πρὸς ὑμᾶς, ἐπειδὰν

πλέωμεν; ὁπόταν γὰρ τὸ πνεῦμα καταιγίσαν, πλαγίᾳ τῇ ὀθόνῃ ἐμπέσῃ, καὶ τὸ κῦμα ὑψηλὸν ἀρθῇ, τότε ὑμεῖς μὲν ὑπ' ἀγνοίας κελεύετε τὴν ὀθόνην στεῖλαι, ἢ ἐνδοῦναι ὀλίγον τοῦ ποδὸς, ἢ συνεκδραμεῖν τῷ πνεύματι. ἐγὼ δὲ, τὴν ἡσυχίαν ἄγειν παρακελεύομαι ὑμῖν. αὐτὸς γὰρ εἰδέναι τὰ βελτίω. κατὰ ταῦτα δὴ καὶ σὺ πράττε, ὁπόσα καλῶς ἔχειν νομίζεις, κυβερνήτης νῦν γε ὤν. ἐγὼ δὲ ὥσπερ ἐπιβάταις νόμος, σιωπῇ καθεδοῦμαι, πάντα πειθόμενος κελεύοντί σοι. Ἑρ. Ὀρθῶς λέγεις. αὐτὸς γὰρ εἴσομαι τί ποιητέον, καὶ ἐξευρήσω τὴν ἱκανὴν σκοπήν. ἆρ' οὖν ὁ Καύκασος ἐπιτήδειος, ἢ ὁ Παρνασὸς ὑψηλότερος, ἢ ἀμφοῖν ὁ Ὄλυμπος ἐκεινοσί; καί τοι οὐ φαῦλόν τι ἀνεμνήσθην ἐς τὸν Ὄλυμπον ἀπιδών. συγκαμεῖν δέ τι καὶ ὑπουργῆσαι καὶ σὲ δεῖ. Χα. πρόσταττε. ὑπουργήσω γὰρ ὅσα δυνατά. Ἑρ. Ὅμηρος ὁ ποιητής φησι, τοὺς Ἀλωέως υἱέας, δύο καὶ αὐτοὺς ὄντας, ἔτι παῖδας, ἐθελῆσαί ποτε τὴν Ὄσσαν ἐκ βάθρων ἀνασπάσαντας, ἐπιθεῖναι τῷ Ὀλύμπῳ, εἶτα τὸ Πήλιον ἐπ' αὐτῇ, ἱκανὴν ταύτην κλίμακα ἕξειν οἰομένους, καὶ πρόσβασιν ἐπὶ τὸν οὐρανόν. ἐκείνω μὲν οὖν τὼ μειρακίω, ἀτασθάλω γὰρ ἤστην, δίκας ἐτισάτην. νὼ δὲ, οὐ γὰρ ἐπὶ κακῷ τῶν θεῶν ταῦτα βουλεύομεν, τί οὐχὶ οἰκοδομοῦμεν καὶ αὐτοὶ κατὰ τὰ αὐτὰ, ἐπικυλινδοῦντες ἐπάλληλα τὰ ὄρη, ὡς ἔχοιμεν ἀφ' ὑψηλοτέρου ἀκριβεστέραν τὴν σκοπήν; Χα. Καὶ δυνησόμεθα ὦ Ἑρμῆ δύ' ὄντες ἀναθέσθαι, ἀράμενοι τὸ Πήλιον ἢ τὴν Ὄσσαν; Ἑρ. Διατί δ' οὐκ ἂν ὦ Χάρων, ἢ ἀξιοῖς ἡμᾶς ἀγεννεστέρους εἶναι τοῖν βρεφυλλίοιν ἐκείνοιν, καὶ ταῦτα, θεοὺς ὑπάρχοντας; Χα. Οὐκ. Ἀλλὰ τὸ πρᾶγμα δοκεῖ μοι ἀπίθανόν τινα τὴν μεγαλουργίαν ἔχειν. Ἑρ. Εἰκότως. ἰδιώτης γὰρ εἶ ὦ Χάρων, καὶ ἥκιστα ποιητικός. ὁ δὲ γεννάδας Ὅμηρος, ἀπὸ δυοῖν στίχοιν αὐτίκα ἡμῖν ἀμβατὸν ἐποίησε τὸν οὐρανόν, οὕτω ῥαδίως συντιθεὶς τὰ ὄρη. καὶ θαυμάζω εἴ σοι ταῦτα τεράστια εἶναι δοκεῖ, τὸν Ἄτλαντα δηλαδὴ εἰδότι, ὃς τὸν πόλον αὐτὸν εἷς ὢν, φέρει, ἀνέχων ἡμᾶς ἅπαν-

τας. ἀκούεις δὲ ἴσως καὶ τοῦ ἐμοῦ ἀδελφοῦ πέρι, τοῦ Ἡρακλέους, ὡς διαδέξοιτό ποτε αὐτὸν ἐκεῖνον τὸν Ἄτλαντα, καὶ ἀναπαύσειε πρὸς ὀλίγον τοῦ ἄχθους, ὑποθεὶς ἑαυτὸν τῷ φορτίῳ. Χα. Ἀκούω καὶ ταῦτα. εἰ δὲ ἀληθῆ ἐστι, σὺ ἂν ὦ Ἑρμῆ, καὶ οἱ ποιηταὶ εἰδῆτε. Ἑρ. Ἀληθέστατα ὦ Χάρων. ἢ τίνος γὰρ ἕνεκα σοφοὶ ἄνδρες ἐψεύδοντο ἄν; ὥστε ἀναμοχλεύωμεν τὴν Ὄσαν πρῶτον, ὥσπερ ἡμῖν ὑφηγεῖται τὸ ἔπος, καὶ ὁ ἀρχιτέκτων Ὅμηρος, Αὐτὰρ ἐπ' Ὄσῃ Πήλιον εἰνοσίφυλλον. ὁρᾷς, ὅπως ῥᾳδίως ἅμα καὶ ποιητικῶς ἐξειργασάμεθα; φέρε οὖν ἀναβὰς ἴδω, εἰ καὶ ταῦτα ἱκανὰ, ἢ ἐποικοδομεῖν ἔτι δεήσει. παπαί. κάτω ἔτι ἐσμὲν ἐν τῇ ὑπωρείᾳ τοῦ οὐρανοῦ. ἀπὸ μὲν γὰρ τῶν ἑῴων, μόγις Ἰωνία, καὶ Λυδία φαίνεται. ἀπὸ δὲ τῆς ἑσπέρας, οὐ πλέον Ἰταλίας, καὶ Σικελίας. ἀπὸ δὲ τῶν ἀρκτῴων, τὰ ἐπὶ τάδε τοῦ Ἴστρου μόνα. κἀκεῖθεν, ἡ Κρήτη οὐ πάνυ σαφῶς. μετακινητέα ἡμῖν ὦ πορθμεῦ καὶ ἡ Οἴτη ὡς ἔοικεν. εἶτα ὁ Παρνασσὸς ἐπὶ πᾶσιν. Χα. Οὕτω ποιῶμεν. ὅρα μόνον μὴ λεπτότερον ἐξεργασώμεθα τὸ ἔργον, ἀπομηκύνοντες πέρα τοῦ πιθανοῦ. εἶτα συγκαταρριφθέντες αὐτῷ, πικρᾶς τῆς Ὁμήρου οἰκοδομικῆς πειραθῶμεν ξυντριβέντες τῶν κρανίων. Ἑρ. Θάρρει. ἀσφαλῶς γὰρ ἕξει ἅπαντα. μετατίθει τὴν Οἴτην. ἐπικυλινδείσθω καὶ ὁ Παρνασσός. ἰδοὺ, ἐπάνειμι αὖθις. εὖ ἔχει. πάντα ὁρῶ. ἀνάβαινε ἤδη καὶ σύ. Χα. Ὄρεξον ὦ Ἑρμῆ τὴν χεῖρα, οὐ γὰρ ἐπὶ μικράν με ταύτην τὴν μηχανὴν ἀναβιβάζεις. Ἑρ. Εἴγε καὶ ἰδεῖν ἐθέλεις ὦ Χάρων ἅπαντα. οὐκ ἔνι δὲ ἄμφω, καὶ ἀσφαλῆ, καὶ φιλοθεάμονα εἶναι. ἀλλ' ἔχου μου τῆς δεξιᾶς, καὶ φείδου μὴ κατὰ τοῦ ὀλισθηροῦ πατεῖν. εὖγε, ἀνελήλυθας καὶ σύ. καὶ ἐπείπερ δικόρυμβος ὁ Παρνασσός ἐστι, μίαν ἑκάτερος ἄκραν ἐπιλαβόμενοι, καθεζώμεθα. σὺ δέ μοι ἤδη ἐν κύκλῳ περιβλέπων, ἐπισκόπει ἅπαντα. Χα. Ὁρῶ γῆν πολλὴν, καὶ λίμνην τινὰ μεγάλην περιρρέουσαν, καὶ ὄρη, καὶ ποταμοὺς, τοῦ Κωκυτοῦ, καὶ Πυριφλεγέθοντος μείζονας. καὶ

ἀνθρώ-

ἀνθρώπους πάνυ σμικρούς. καί τινας φωλεοὺς αὐτῶν. Ἑρ. Πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς εἶναι νομίζεις. Χα. Οἶσθα ὦ Ἑρμῆ, ὡς οὐδὲν ἡμῖν πέπρακται, ἀλλὰ μάτην τὸν Παρνασσὸν αὐτῇ Κασταλίᾳ, καὶ τὴν Οἴτην καὶ τὰ ἄλλα ὄρη μετεκινήσαμεν. Ἑρ. Ὅτι τί; Χα. Οὐδὲν ἀκριβὲς ἔγωγε ἀπὸ τοῦ ὑψηλοῦ ὁρῶ. ἐβουλόμην δὲ οὐ πόλεις καὶ ὄρη αὐτὰ μόνον ὥσπερ ἐν γραφαῖς ὁρᾶν, ἀλλὰ τοὺς ἀνθρώπους αὐτοὺς, καὶ ἃ πράττουσι, καὶ οἷα λέγουσι. ὥσπερ ὅτε με τοπρῶτον ἐντυχὼν εἶδες γελῶντα, καὶ ἤρου με ὅτι γελῴην. ἀκούσας γάρ τινος, ἥσθην ἐς ὑπερβολήν. Ἑρ. Τί δὲ τοῦτ' ἦν; Χα. Ἐπὶ δεῖπνον οἶμαι κληθεὶς ὑπό τινος τῶν φίλων, ἐς τὴν ὑστεραίαν μάλιστα ἥξω ἔφη. καὶ μεταξὺ λέγοντος, ἀπὸ τοῦ τέγους κεραμὶς ἐπιπεσοῦσα, οὐκ οἶδ' ὅτου κινήσαντος, ἀπέκτεινεν αὐτόν. ἐγέλασα οὖν, οὐκ ἐπιτελέσαντος τὴν ὑπόσχεσιν. ἔοικα δὲ καὶ νῦν ὑποκαταβήσεσθαι, ὡς μᾶλλον βλέποιμι, καὶ ἀκούοιμι. Ἑρ. Ἔχ' ἀτρέμας. καὶ τοῦτο γὰρ ἐγὼ ἰάσομαί σοι, καὶ ὀξυδερκέστατον ἐν βραχεῖ ἀποφανῶ, παρ' Ὁμήρου τινὰ καὶ πρὸς τοῦτο ἐπῳδὴν λαβών. κἀπειδὰν εἴπω τὰ ἔπη, μέμνησο μηκέτι ἀμβλυώττειν, ἀλλὰ σαφῶς πάντα ὁρᾶν. Χα. Λέγε μόνον. Ἑρ. Ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἕλον, ἣ πρὶν ἐπῆεν, ὄφρ' εὖ γινώσκῃς ἠμὲν θεὸν, ἠδὲ καὶ ἄνδρα. Χα. Τί ἐστιν; Ἑρ. Ἤδη ὁρᾷς; Χα. Ὑπερφυῶς γε. τυφλὸς ὁ Λυγκεὺς ἐκεῖνος, ὡς πρὸς ἐμέ. ὥστε σὺ τὸ ἐπὶ τούτῳ προδίδασκέ με, καὶ ἀποκρίνου ἐρωτῶντι. ἀλλὰ βούλει κατὰ τὸν Ὅμηρον κἀγὼ ἔρωμαί σε, ὡς μάθῃς οὐδ' αὐτὸν ἀμελῆ ὄντα με τῶν Ὁμήρου; Ἑρ. Καὶ πόθεν σὺ ἔχεις τι τῶν ἐκείνου εἰδέναι, ναύτης ἀεὶ καὶ πρόσκωπος ὤν; Χα. Ὁρᾷς ὀνειδιστικὸν τοῦτο ἐς τὴν τέχνην. ἐγὼ δὲ ὁπότε διεπόρθμευον αὐτὸν ἀποθανόντα, πολλὰ ῥαψῳδοῦντος ἀκούσας, ἐνίων ἔτι μέμνημαι. καίτοι χειμὼν ἡμᾶς οὐ μικρὸς τότε κατέλαβεν. ἐπεὶ γὰρ ἤρξατο ᾄδειν οὐ πάνυ αἴσιόν τινα ᾠδὴν τοῖς πλέουσιν, ὡς ὁ Ποσειδῶν συνήγαγε τὰς νεφέλας, καὶ ἐτάραξε τὸν πόντον.,

ὥσπερ

ὥσπερ πρυμνήσιον τινὰ ἐμβαλὼν τὴν τρίαιναν, καὶ πάσας τὰς θυέλλας ὠρόθυνε, καὶ ἄλλα πολλὰ κυκῶν τὴν θάλασσαν ὑπὸ τῶν ἐπῶν, χειμὼν ἄφνω καὶ γνόφος ἐμπεσὼν, ὀλίγου δεῖν περιέτρεψεν ἡμῖν τὴν ναῦν. ὅπερ καὶ ναυτιάσας ἐκεῖνος, ἀπήμεσε τῶν ῥαψῳδιῶν τὰς πολλὰς αὐτῇ Σκύλλῃ, καὶ Χαρύβδει, καὶ Κύκλωπι. Ἑρ. Οὐ χαλεπὸν οὖν ἦν ἐκ τοσούτου ἐμέτου ὀλίγα γοῦν διαφυλάττειν. Χα. Εἰπὲ γάρ μοι. τίς γὰρ ὅδ' ἐστὶ πάχιστος ἀνὴρ, ἠΰς τε, μέγας τε, ἔξοχος ἀνθρώπων κεφαλὴν, καὶ εὐρέας ὤμους; Ἑρ. Μίλων οὗτος ὁ ἐκ Κρότωνος ἀθλητής. ἐπικροτοῦσι δ' αὐτῷ οἱ Ἕλληνες, ὅτι τὸν ταῦρον ἀράμενος, φέρει διὰ τοῦ σταδίου μέσου. Χα. Καὶ πόσῳ δικαιότερον ἂν ἐμὲ ὦ Ἑρμῆ ἐπαινοῖεν, ὃς αὐτόν σοι τὸν Μίλωνα μετ' ὀλίγον ξυλλαβὼν, ἐνθήσομαι ἐς τὸ σκαφίδιον, ὁπόταν ἥκῃ πρὸς ἡμᾶς ὑπὸ τοῦ ἀμαχωτάτου τῶν ἀνταγωνιστῶν καταπαλαισθεὶς τοῦ θανάτου, μηδὲ ξυνιεὶς ὅπως αὐτὸν ὑποσκελίζει; κᾆτα οἰμώξεται ἡμῖν δηλαδὴ, μεμνημένος στεφάνων τούτων, καὶ τοῦ κρότου. νῦν δὲ μέγα φρονεῖ, θαυμαζόμενος ἐπὶ τῇ τοῦ ταύρου φορᾷ. τί οὖν οἰηθῶμεν, ἆρα ἐλπίζειν αὐτὸν καὶ τεθνήξεσθαί ποτε; Ἑρ. Πόθεν ἐκεῖνος θανάτου νῦν μνημονεύσειεν ἂν ἐν ἀκμῇ τοσαύτῃ; Χα. Ἔα τοῦτον οὐκ εἰς μακρὰν γέλωτα ἡμῖν παρέξοντα, ὁπότ' ἂν πλέῃ, μηδὲ ἐμπίδα οὐχ ὅπως ταῦρον ἔτι ἄρασθαι δυνάμενος. σὺ δέ μοι ἐκεῖνο εἰπὲ, τίς τ' ἄρ' ὅδ' ἄλλος ὁ σεμνὸς ἀνήρ; οὐχ Ἕλλην ὡς ἔοικεν ἀπὸ γοῦν τῆς στολῆς. Ἑρ. Κῦρος ὦ Χάρων ὁ Καμβύσου, ὃς τὴν ἀρχὴν, πάλαι Μήδων ἐχόντων, νῦν Περσῶν ἤδη ἐποίησεν εἶναι. καὶ Ἀσυρίων ἔναγχος οὗτος ἐκράτησε, καὶ Βαβυλῶνα παρεστήσατο. καὶ νῦν ἐλασείοντι ἐπὶ Λυδίαν ἔοικεν, ὡς καθελὼν τὸν Κροῖσον, ἄρχοι ἁπάντων. Χα. Ὁ Κροῖσος δὲ ποῦ ποτε κἀκεῖνός ἐστιν. Ἑρ. Ἐκεῖσε ἀπόβλεψον ἐς τὴν μεγάλην ἀκρόπολιν, τὴν τὸ τριπλοῦν τεῖχος. Σάρδεις ἐκεῖναι. καὶ τὸν Κροῖσον αὐτὸν ὁρᾷς ἤδη ἐπὶ κλίνης χρυσῆς καθήμενον, Σόλωνι τῷ Ἀθηναίῳ διαλεγόμε-

γόμενον; βέλει, ἀκέσωμεν αὐτῶν, ὅ, τι καὶ λέγεσι; Χά. Πάνυ μὲν οὖν. Κροῖ. Ὦ ξένε Α'θηναῖε, εἶδες γάρ μου τὸν πλοῦτον, καὶ τὲς θησαυρὲς, καὶ ὅσος ἄσημος χρυσός ἐστιν ἡμῖν, καὶ τὴν ἄλλην πολυτέλειαν, εἰπέ μοι, τίνα ἡγῇ τῶν πάντων ἀνθρώπων εὐδαιμονέστατον εἶναι; Χά. Τί ἄρα ὁ Σόλων ἐρεῖ; Ε'ρ. Θάῤῥει, ἐδὲν ἀγεννὲς, ὦ Χάρων. Σό. Ὦ Κροῖσε, ὀλίγοι μὲν οἱ εὐδαίμονες. ἐγὼ δὲ ὧν οἶδα, Κλέοβιν, καὶ Βίτωνα ἡγῦμαι εὐδαιμονεστάτες γενέσθαι, τὲς τῆς ἱερείας παῖδας. Χά. Τῆς Α'ργόθεν φησὶν ἔτος, τὲς ἅμα πρώην ἀποθανόντας, ἐπεὶ τὴν μητέρα ὑποδύντες, εἵλκυσαν ἐπὶ τῆς ἀπήνης, ἄχρι πρὸς τὸ ἱερόν. Κροῖ. Ε'στω, ἐχέτωσαν τὰ πρῶτα ἐκεῖνοι τῆς εὐδαιμονίας. ὁ δεύτερος δὲ τίς ἂν εἴη; Σό. Τέλλος ὁ Α'θηναῖος, ὃς εὖ τε ἐβίω, καὶ ἀπέθανεν ὑπὲρ τῆς πατρίδος. Κροῖ. Ε'γὼ δὲ κάθαρμα, ὅσοι δοκῶ εὐδαίμων εἶναι; Σό. Οὐδέπω οἶδα Κροῖσε, ἢν μὴ πρὸς τὸ τέλος ἀφίκῃ τὲ βίε. Ο' γὰρ θάνατος, ἀκριβὴς ἔλεγχος τῶν τοιέτων, καὶ τὸ ἄχρι πρὸς τὸ τέρμα εὐδαιμόνως διαβιῶναι. Χα. Κάλλιστα, ὦ Σόλων, ὅτι ἡμῶν οὐκ ἐπιλέλησαι, ἀλλὰ τὸ πορθμεῖον αὐτὸ ἀξιοῖς γενέσθαι, τὴν περὶ τῶν τοιούτων κρίσιν. ἀλλὰ τίνας ἐκείνες ὁ Κροῖσος ἐκπέμπει, ἢ τί καὶ ἐπὶ τῶν ὤμων φέρεσι; Ε'ρ. Πλίνθους τῷ Πυθίῳ χρυσᾶς ἀνατίθησι, μισθὸν τῶν χρησμῶν, ὑφ' ὧν καὶ ἀπολεῖται μικρὸν ὕστερον, φιλόμαντις δὲ ἀνὴρ ἐκτόπως. Χά. Ε'κεῖνο γάρ ἐστιν ὁ χρυσὸς, τὸ λαμπρὸν, ὃ ἀποστίλβει τὸ ὕπωχρον μετ' ἐρυθήματος; νῦν γὰρ πρῶτον εἶδον, ἀκέων ἀεί. Ε'ρ. Ε'κεῖνο, ὦ Χάρων, τὸ ἀοίδιμον ὄνομα, καὶ περιμάχητον. Χά. Καὶ μὴν ἐχ ὁρῶ, ὅ, τι ἀγαθὸν αὐτῷ πρόσεστιν, εἰ μὴ ἄρα τὅτο μόνον, ὅτι βαρύνονται οἱ φέροντες αὐτό. Ε'ρ. Οὐ γὰρ οἶσθα, ὅσοι πόλεμοι διὰ τὅτο, καὶ ἐπιβουλαὶ καὶ λῃστεῖαι, καὶ ἐπιορκίαι καὶ φόνοι καὶ δεσμὰ, καὶ πλοῦς μακρὸς, καὶ ἐμπορίαι καὶ δουλεῖαι; Χα. Διὰ τὅτο, ὦ Ε'ρμῆ, τὸ μὴ πολὺ τὲ χαλκὲ διαφέρον; οἶδα γὰρ τὸν χαλκὸν, ὀβολὸν, ὡς οἶσθα, παρὰ τῶν καταπλεόντων

ἑκά-

ἑκάστου ἐκλέγων. Ἑρ. Ναί. ἀλλ' ὁ χαλκὸς μὲν πολὺς, ὥστε οὐ πάνυ σπουδάζεται ὑπ' αὐτῶν. τοῦτον δὲ ὀλίγον ἐκ πολλοῦ τοῦ βάθους οἱ μεταλλεύοντες ἀνορύττουσι, πλὴν ἀλλ' ἐκ τῆς γῆς καὶ οὗτος, ὥσπερ ὁ μόλιβδος, καὶ τἄλλα. Χά. Δεινήν τινα λέγεις τῶν ἀνθρώπων τὴν ἀβελτηρίαν, οἳ τοσοῦτον ἔρωτα ἐρῶσιν ὠχροῦ καὶ βαρέος κτήματος. Ἑρ. Ἀλλ' οὐ Σόλων γε ἐκεῖνος, ὦ Χάρων, ἐρᾶν αὐτοῦ φαίνεται, ὡς ὁρᾷς, καταγελᾷ γὰρ τοῦ Κροίσου, καὶ τῆς μεγαλαυχίας τοῦ βαρβάρου. καί μοι δοκεῖν, ἔρεσθαί τι βούλεται αὐτὸν, ἐπακούσωμεν οὖν. Σό. Εἰπέ μοι ὦ Κροῖσε, οἴει γάρ τι δεῖσθαι τῶν πλίνθων τούτων τὸν Πύθιον; Κροῖ. Νὴ Δί', οὐ γάρ ἐστιν αὐτῷ ἐν Δελφοῖς ἀνάθημα οὐδὲν τοιοῦτον. Σό. Οὐκοῦν μακάριον οἴει τὸν θεὸν ἀποφαίνειν, εἰ κτήσαιτο ἐν τοῖς ἄλλοις καὶ πλίνθους χρυσᾶς; Κροῖ. Πῶς γὰρ οὔ; Σό. Πολλήν μοι λέγεις, ὦ Κροῖσε, πενίαν ἐν τῷ οὐρανῷ, εἰ ἐκ Λυδίας μεταστέλλεσθαι τὸ χρυσίον δεήσει αὐτοὺς, ἢν ἐπιθυμήσωσι. Κροῖ. Ποῦ γὰρ τοσοῦτος ἂν γένοιτο χρυσὸς, ὅσος παρ' ἡμῖν; Σό. Εἰπέ μοι, σίδηρος δὲ φύεται ἐν Λυδίᾳ. Κροῖ. Οὐ πάνυ τι. Σό. Τοῦ βελτίονος ἄρα ἐνδεεῖς ἐστε. Κροῖ. Πῶς ἀμείνων ὁ σίδηρος χρυσίου; Σό. Ἢν ἀποκρίνῃ μηδὲν ἀγανακτῶν, μάθοις ἄν. Κροῖ. Ἐρώτα ὦ Σόλων. Σό. Πότερον ἀμείνους οἱ σώζοντές τινας, ἢ οἱ σωζόμενοι πρὸς αὐτῶν; Κροῖ. Οἱ σώζοντες δηλαδή. Σό. Ἆρ' οὖν ἢν Κῦρος, ὡς λογοποιοῦσί τινες, ἐπίῃ Λυδοῖς, χρυσᾶς μαχαίρας σὺ ποιήσεις τῷ στρατῷ, ἢ ὁ σίδηρος ἀναγκαῖος τότε; Κροῖ. Ὁ σίδηρος δηλαδή. Σό. Καὶ εἴγε μὴ τοῦτον παρασκευάσαιο, οἴχοιτο ἄν σοι ὁ χρυσὸς ἐς Πέρσας αἰχμάλωτος. Κροῖ. Εὐφήμει ὦ ἄνθρωπε. Σό. Μὴ γένοιτο μὲν οὖν οὕτω ταῦτα, φαίνῃ δ' οὖν ἀμείνω τὸν σίδηρον ὁμολογῶν. Κροῖ. Οὐκοῦν καὶ τῷ θεῷ κελεύεις σιδηρᾶς πλίνθους ἀνατιθέναι με, τὸν δὲ χρυσὸν ὀπίσω αὖθις ἀνακαλεῖν; Σό. Οὐδὲ σιδήρου ἐκεῖνός γε δεήσεται. ἀλλ' ἤν τε χαλκὸν, ἤν τε χρυσὸν ἀναθῇς, ἄλλοις μέν ποτε κτῆμα, καὶ ἕρμαιον ἔσῃ ἀνατεθεικὼς, Φωκεῦσιν, ἢ Βοιωτοῖς, ἢ Δελ-

φοῖς αὐτοῖς, ἤ τινι τυράννῳ λῃστῇ, τῷ δὲ θεῷ ὀλίγον μέλει τῶν σῶν χρυσοποιῶν; Κροῖ. Ἀεὶ σύ μου τῷ πλούτῳ προσπολεμεῖς, καὶ φθονεῖς. Ἑρ. Οὐ φέρει ὁ Λυδὸς, ὦ Χάρων, τὴν παῤῥησίαν, καὶ τὴν ἀλήθειαν τῶν λόγων, ἀλλὰ ξένον αὐτῷ δοκεῖ τὸ πρᾶγμα, πένης ἄνθρωπος οὐχ ὑποπτήσσων, τὸ δὲ παριστάμενον ἐλευθέρως λέγων. μεμνήσεται δ' οὖν μικρὸν ὕστερον τοῦ Σόλωνος, ὅταν αὐτὸν δέῃ ἁλόντα, ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ Κύρου ἀναχθῆναι. ἤκουσα γὰρ τῆς Κλωθοῦς πρώην ἀναγινωσκούσης τὰ ἑκάστῳ ἐπικεκλωσμένα, ἐν οἷς καὶ ταῦτ' ἐγέγραπτο, Κροῖσον μὲν ἁλῶναι ὑπὸ Κύρου, Κῦρον δὲ αὐτὸν, ὑπ' ἐκεινησὶ τῆς Μασσαγέτιδος ἀποθανεῖν. ὁρᾷς τὴν Σκυθίδα, τὴν ἐπὶ τοῦ ἵππου τοῦ λευκοῦ ἐξελαύνουσαν; Χά. Νὴ Δία. Ἑρ. Τόμυρις ἐκείνη ἐστί. καὶ τὴν κεφαλήν γε ἀποτεμοῦσα τοῦ Κύρου αὕτη, ἐς ἀσκὸν ἐμβαλεῖ πλήρη αἵματος. ὁρᾷς δὲ καὶ τὸν υἱὸν αὐτοῦ, τὸν νεανίσκον; Καμβύσης ἐκεῖνός ἐστιν. οὗτος βασιλεύσει μετὰ τὸν πατέρα, καὶ μυρία σφαλεὶς ἔν τε Λιβύῃ καὶ Αἰθιοπίᾳ, τὸ τελευταῖον μανεὶς ἀποθανεῖται, ἀποκτείνας τὸν Ἄπιν. Χά. Ὢ πολλοῦ γέλωτος. ἀλλὰ νῦν τίς ἂν αὐτοὺς προσβλέψειεν οὕτως ὑπερφρονοῦντας τῶν ἄλλων; ἢ τίς ἂν πιστεύσειεν, ὡς μετ' ὀλίγον οὗτος μὲν αἰχμάλωτος ἔσται, οὗτος δὲ τὴν κεφαλὴν ἕξει ἐν ἀσκῷ αἵματος; ἐκεῖνος δὲ τίς ἐστιν, ὦ Ἑρμῆ, ὁ τὴν πορφυρᾶν ἐφεστρίδα ἐμπεπορπημένος, ὁ τὸ διάδημα, ᾧ τὸν δακτύλιον ὁ μάγειρος ἀναδίδωσι, τὸν ἰχθὺν ἀνατεμὼν νήσῳ ἐν ἀμφιῤῥύτῳ, βασιλεὺς δέ τις εὔχεται εἶναι; Ἑρ. Εὖγε παρῳδεῖς, ὦ Χάρων. ἀλλὰ Πολυκράτην ὁρᾷς τὸν Σαμίων τύραννον, πανευδαίμονα οἰόμενον εἶναι; ἀτὰρ καὶ οὗτος αὐτὸς, ὑπὸ τοῦ παρεστῶτος οἰκέτου Μαιανδρίου προδοθεὶς Ὀροίτῃ τῷ σατράπῃ, ἀνασκολοπισθήσεται, ἄθλιος ἐκπεσὼν τῆς εὐδαιμονίας ἐν ἀκαρεῖ τοῦ χρόνου, καὶ ταῦτα γὰρ τῆς Κλωθοῦς ἐπήκουσα. Χά. Εὖγε ὦ Κλωθοῖ, γεννικῶς καὶ αὐτοὺς, ὦ βελτίστη, καὶ τὰς κεφαλὰς ἀπότεμε, καὶ ἀνασκολόπιζε, ὡς εἰδῶσιν ἄνθρωποι ὄντες. ἐν τοσούτῳ δὲ ἐπαιρέσθων, ὡς ἂν ἀφ' ὑψηλοτέ-

λοτε-

λοτέρου ἀλγεινότερον καταπεσούμενοι. ἐγὼ δὲ γελάσομαι, τότε γνωρίσας αὐτῶν ἕκαστον γυμνὸν ἐν τῷ σκαφιδίῳ, μήτε πορφυρίδα, μήτε τιάραν, ἢ κλίνην χρυσῆν κομίζοντας. Ἑρ. Καὶ τὰ μὲν τούτων ὧδε ἕξει. τὴν δὲ πληθὺν, ὦ Χάρων ὁρᾷς, τοὺς πλέοντας αὐτῶν, τοὺς πολεμοῦντας, τοὺς δικαζομένους, τοὺς γεωργοῦντας, τοὺς δανείζοντας, τοὺς προσαιτοῦντας; Χά. Ὁρῶ ποικίλην τινὰ τύρβην, καὶ μεστὸν ταραχῆς τὸν βίον, καὶ τὰς πόλεις γε αὐτῶν, ἐοικυίας τοῖς σμήνεσιν, ἐν οἷς ἅπας μὲν ἴδιόν τι κέντρον ἔχει, καὶ τὸν πλησίον κεντεῖ. ὀλίγοι δέ τινες, ὥσπερ σφῆκες, ἄγουσι, καὶ φέρουσι τὸ ὑποδεέστερον. Ὁ δὲ περιπετόμενος αὐτοὺς ἐκ τοῦ ἀφανοῦς οὗτος ὄχλος, τίνες εἰσίν; Ἑρ. Ἐλπίδες, ὦ Χάρων, καὶ δείματα καὶ ἄνοιαι, καὶ ἡδοναὶ καὶ φιλαργυρίαι, καὶ ὀργαὶ καὶ μίση, καὶ τὰ τοιαῦτα. τούτων δὲ ἡ ἄγνοια μὲν κάτω ξυναναμέμικται αὐτοῖς, καὶ ξυμπολιτεύεταί γε νὴ Δία, καὶ τὸ μῖσος, καὶ ἡ ὀργὴ, καὶ ζηλοτυπία καὶ ἀμαθία, καὶ ἀπορία καὶ φιλαργυρία: ὁ φόβος δὲ, καὶ ἐλπίδες, ὑπεράνω πετόμενοι, ὁ μὲν ἐμπίπτων ἐκπλήττει ἐνίοτε, καὶ ὑποπτήσσειν ποιεῖ· αἱ δ' ἐλπίδες ὑπὲρ κεφαλῆς αἰωρούμεναι, ὁπότ' ἂν μάλιστα οἴηταί τις ἐπιλήψεσθαι αὐτῶν, ἀνιπτάμεναι οἴχονται, κεχηνότας αὐτοὺς ἀπολιποῦσαι, ὅπερ καὶ τὸν Τάνταλον κάτω πάσχοντα ὁρᾷς ὑπὸ τοῦ ὕδατος. ἢν δ' ἀτενίσῃς, κατόψει καὶ Μοίρας ἄνω ἐπικλωθούσας ἑκάστῳ τὸν ἄτρακτον, ἀφ' οὗ ἠρτῆσθαι ξυμβέβηκεν ἅπαντας ἐκ λεπτῶν νημάτων. ὁρᾷς, καθάπερ ἀράχνιά τινα καταβαίνοντα ἐφ' ἕκαστον ἀπὸ τῶν ἀτράκτων; Χά. Ὁρῶ πάνυ λεπτὸν ἑκάστῳ νῆμα ἐπιπεπλεγμένον γε τὰ πολλὰ, τοῦτο μὲν ἐκείνῳ, ἐκεῖνο δὲ ἄλλῳ. Ἑρ. Εἰκότως ὦ πορθμεῦ. εἵμαρται γὰρ ἐκείνῳ μὲν, ὑπὸ τούτου φονευθῆναι, τούτῳ δὲ, ὑπ' ἄλλου, καὶ κληρονομῆσαί γε τοῦτον μὲν ἐκείνου, ὅτου ἂν ᾖ μικρότερον τὸ νῆμα, ἐκεῖνον δὲ αὖ τούτου, τοιόνδε γάρ τι ἡ ἐπιπλοκὴ δηλοῖ. ὁρᾷς δ' οὖν ἀπὸ λεπτοῦ κρεμαμένους ἅπαντας; καὶ οὗτος μὲν ἀνασπασθεὶς ἄνω, μετέωρός ἐστι, καὶ μετὰ μικρὸν καταπεσὼν, ἀπορραγέντος τοῦ λίνου,

ἐπει-

ἐπειδὰν μηκέτι ἀντέχῃ πρὸς τὸ βάρος, μέγαν τὸν ψόφον ἐργάσεται. οὗτος δὲ ὀλίγον ἀπὸ γῆς αἰωρούμενος, ἢν καὶ πέσῃ, ἀψοφητὶ κείσεται, μόγις καὶ τοῖς γείτοσιν ἐξακουσθέντος τοῦ πτώματος. Χά. Παγγέλοια ταῦτα, ὦ Ἑρμῆ. Ἑρ. Καὶ μὴν οὐδ' εἰπεῖν ἔχοις ἂν κατὰ τὴν ἀξίαν, ὅπως ἐστὶ καταγέλαστα, ὦ Χάρων. καὶ μάλιστα αἱ ἄγαν σπουδαὶ αὐτῶν, καὶ τὸ μεταξὺ τῶν ἐλπίδων οἴχεσθαι, ἀναρπάστους γιγνομένους ὑπὸ τοῦ βελτίστου θανάτου. ἄγγελοι δὲ αὐτοῦ καὶ ὑπηρέται μάλα πολλοὶ, ὡς ὁρᾷς, ἠπίαλοι καὶ πυρετοὶ, καὶ φθόαι καὶ περιπνευμονίαι, καὶ ξίφη καὶ λῃστήρια καὶ κώνεια, καὶ δικασταὶ καὶ τύραννοι. καὶ τούτων οὐδὲν ὅλως αὐτοὺς εἰσέρχεται, ἐς τ' ἂν εὖ πράττωσιν, ὅταν δὲ σφαλῶσι, πολὺ τὸ ὀττοτοῖ, καὶ αἶ, αἶ, καὶ ὤμοι μοι. εἰ δ' εὐθὺς ἐξ ἀρχῆς ἐνενόουν, ὅτι θνητοί τέ εἰσιν αὐτοὶ, καὶ ὀλίγον τοῦτον χρόνον ἐπιδημήσαντες τῷ βίῳ, ἀπίασιν, ὥσπερ ἐξ ὀνείρατος, πάντα ὑπὲρ γῆς ἀφέντες, ἔζων τε ἂν σωφρονέστερον, καὶ ἧττον ἠνιῶντο ἀποθανόντες. νῦν δὲ ἐς ἀεὶ ἐλπίσαντες χρήσεσθαι τοῖς παροῦσιν, ἐπειδὰν ἐπιστὰς ὁ ὑπηρέτης καλῇ, καὶ ἀπάγῃ, πεδήσας τῷ πυρετῷ ἢ τῇ φθόῃ, ἀγανακτοῦσι πρὸς τὴν ἀγωγὴν, οὔποτε προσδοκήσαντες ἀποσπασθήσεσθαι αὐτῶν. ἢ τί γὰρ οὐκ ἂν ποιήσειεν ἐκεῖνος, ὁ τὴν οἰκίαν σπουδῇ οἰκοδομούμενος, καὶ τοὺς ἐργάτας ἐπισπέρχων, εἰ μάθοι, ὅτι ἡ μὲν ἕξει τέλος αὐτῷ, ὁ δὲ ἄρτι ἐπιθεὶς τὸν ὄροφον ἀπίοι, τῷ κληρονόμῳ καταλιπὼν ἀπολαύειν αὐτῆς, αὐτὸς μὴ δὲ δειπνήσας ἄθλιος ἐν αὐτῇ; ἐκεῖνος μὲν γὰρ ὁ χαίρων, ὅτι ἄρρενα παῖδα ἔτεκεν αὐτῷ ἡ γυνὴ, καὶ φίλους διὰ τοῦτο ἑστιῶν, καὶ τοὔνομα τοῦ πατρὸς τιθέμενος, εἰ ἠπίστατο, ὡς ἑπτέτης γενόμενος ὁ παῖς τεθνήξεται, ἆρα ἂν σοι δοκῇ χαίρειν ἐπ' αὐτῷ γεννωμένῳ; ἀλλὰ τὸ αἴτιον, ὅτι τὸν μὲν εὐτυχοῦντα ἐπὶ τῷ παιδὶ ἐκεῖνον ὁρᾷ, τὸν τοῦ ἀθλητοῦ πατέρα, τοῦ Ὀλύμπια νενικηκότος, τὸν γείτονα δὲ τὸν ἐκκομίζοντα τὸ παιδίον οὐχ ὁρᾷ, οὐδὲ οἶδεν, ἀφ' οἵας αὐτῷ κρόκης ἐκρέματο. τοὺς μὲν γὰρ περὶ τῶν ὅρων διαφερομένους ὁρᾷς, ὅσοι εἰσὶ,

σὶ, καὶ τοὺς ξυναγείροντας τὰ χρήματα, εἶτα πρὶν ἀπολαῦσαι αὐτῶν καλουμένους, ὑφ' ὧν εἶπον, ἐπιόντων ἀγγέλων τε καὶ ὑπηρετῶν. Χά. Ὁρῶ πάντα ταῦτα, καὶ πρὸς ἐμαυτὸν ἐγὼ ἐννοῶ, τί τὸ ἡδὺ αὐτοῖς παρὰ τὸν βίον, ἢ τί ἐκεῖνό ἐστιν, οὗ στερούμενοι ἀγανακτοῦσιν; Ἑρ. Ἢν γοῦν τοὺς βασιλέας ἴδῃ τις αὐτῶν, οἵπερ εὐδαιμονέστατοι εἶναι δοκοῦσιν, ἔξω τοῦ ἀβεβαίου, καὶ ὡς φὴς, ἀμφιβόλου τῆς τύχης, πλείω τῶν ἡδέων τὰ ἀνιαρὰ εὑρήσει προσόντα αὐτοῖς, φόβους καὶ ταραχὰς, καὶ μίση καὶ ἐπιβουλὰς, καὶ ὀργὰς καὶ κολακείας, τούτοις γὰρ ἅπαντες ξύνεισιν. ἐῶ πένθη καὶ νόσους, καὶ πάθη, ἐξ ἰσοτιμίας δηλαδὴ ἄρχοντα αὐτῶν. ὅπου δὲ τὰ τούτων πονηρὰ, λογίζεσθαι καιρὸς, οἷα τὰ τῶν ἰδιωτῶν ἂν εἴη. Χά. Ἐθέλω γοῦν σοι ὦ Ἑρμῆ εἰπεῖν, ᾧτινι ἐοικέναι μοι ἔδοξαν οἱ ἄνθρωποι, καὶ ὁ βίος ἅπας αὐτῶν. ἤδη ποτὲ πομφόλυγας ἐν ὕδατι ἐθεάσω, ὑπὸ κρουνῷ τινι καταρράττοντι ἀνισταμένας, τὰς φυσαλλίδας λέγω, ἀφ' ὧν ξυναγείρεται ὁ ἀφρός; ἐκείνων τοίνυν αἱ μέν τινες μικραί εἰσι, καὶ αὐτίκα ἐκραγεῖσαι ἀπέσβησαν, αἱ δ' ἐπὶ πλέον διαρκοῦσι, καὶ προσχωρουσῶν αὐταῖς τῶν ἄλλων αὗται ὑπερφυσώμεναι, ἐς μέγιστον ὄγκον αἴρονται, εἶτα μέντοι κἀκεῖναι πάντως ἐξερράγησάν ποτε, οὐ γὰρ οἷόν τε ἄλλως γενέσθαι· τοῦτό ἐστιν ὁ ἀνθρώπων βίος. ἅπαντες ὑπὸ πνεύματος ἐμπεφυσημένοι, οἱ μὲν μείζους, οἱ δ' ἐλάττους. καὶ οἱ μὲν ὀλιγοχρόνιον ἔχουσι καὶ ὠκύμορον τὸ φύσημα, οἱ δὲ ἅμα τῷ ξυστῆναι ἐπαύσαντο. πᾶσι δ' οὖν ἀπορραγῆναι ἀναγκαῖον. Ἑρ. Οὐδὲν χεῖρον σὺ τοῦ Ὁμήρου εἴκασας ὦ Χάρων, ὃς φύλλοις τὸ γένος αὐτῶν ὁμοιοῖ. Χά. Καὶ τοιοῦτοι ὄντες, ὦ Ἑρμῆ ὁρᾷς, οἷα ποιοῦσι, καὶ ὡς φιλοτιμοῦνται πρὸς ἀλλήλους ἀρχῶν πέρι, καὶ τιμῶν καὶ κτήσεων ἁμιλλώμενοι, ἅπερ ἅπαντα καταλιπόντας αὐτοὺς, δεήσει ἕνα ὀβολὸν ἔχοντας, ἥκειν παρ' ἡμᾶς; Βούλει οὖν, ἐπείπερ ἐφ' ὑψηλοῦ ἐσμεν, ἀναβοήσας παμμέγεθες, παραινέσω αὐτοῖς, ἀπέχεσθαι μὲν τῶν ματαίων πόνων, ζῆν δὲ, ἀεὶ τὸν θά-

νατον πρὸ ὀφθαλμῶν ἔχοντας, λέγων, ὦ μάταιοι, τί ἐσπουδάκατε περὶ ταῦτα; παύσασθε κάμνοντες, οὐ γὰρ ἐς ἀεὶ βιώσεσθε. οὐδὲν τῶν ἐνταῦθα σεμνῶν ἀΐδιόν ἐστιν, οὐδ' ἂν ἀπάγοι τις αὐτῶν τι ξὺν αὑτῷ ἀποθανών. ἀλλ' ἀνάγκη τὸν μὲν γυμνὸν οἴχεσθαι, τὴν οἰκίαν δὲ, καὶ τὸν ἀγρὸν καὶ τὸ χρυσίον ἀεὶ ἄλλων εἶναι, καὶ μεταβάλλειν τοὺς δεσπότας. εἰ ταῦτα καὶ τὰ τοιαῦτα ἐξ ἐπηκόου ἐμβοήσαιμι αὐτοῖς, οὐκ ἂν οἴει μέγα ὠφεληθῆναι τὸν βίον, καὶ σωφρονεστέρους ἂν γενέσθαι παραπολύ; Ερ. Ὦ μακάριε οὐκ οἶσθα, ὅπως αὐτοὺς ἡ ἄγνοια, καὶ ἡ ἀπάτη διατεθείκασιν, ὡς μηδ' ἂν τρυπάνῳ ἔτι διανοιχθῆναι αὐτοῖς τὰ ὦτα· τοσούτῳ κηρῷ ἔβυσαν αὐτὰ, οἷόν περ Ὀδυσσεὺς τοὺς ἑταίρους ἔδρασε, δέει τῆς Σειρήνων ἀκροάσεως. πόθεν οὖν ἂν ἐκεῖνοι δυνηθεῖεν ἀκοῦσαι, ἢν καὶ σὺ κεκραγὼς διαρραγῇς; ὅπερ γὰρ παρ' ὑμῖν ἡ λήθη δύναται, τοῦτο ἐνταῦθα ἡ ἄγνοια ἐργάζεται. πλὴν ἀλλ' εἰσὶν αὐτῶν ὀλίγοι, οὐ παραδεδεγμένοι τὸν κηρὸν ἐς τὰ ὦτα, πρὸς τὴν ἀλήθειαν ἀποκλίναντες, ὀξὺ δεδορκότες ἐς τὰ πράγματα, καὶ κατεγνωκότες, οἷα ἐστιν. Χά. Οὐκοῦν ἐκείνοις γοῦν ἐμβοήσαιμεν; Ερ. Περιττὸν τοῦτο λέγειν πρὸς αὐτοὺς, ἃ ἴσασιν. ὁρᾷς, ὅπως ἀποσπάντες τῶν πολλῶν, καταγελῶσι τῶν γιγνομένων, καὶ οὐδαμῇ οὐδαμῶς ἀρέσκονται αὐτοῖς, ἀλλὰ δῆλοί εἰσι, δρασμὸν ἤδη βουλεύοντες παρ' ὑμᾶς ἀπὸ τοῦ βίου, καὶ γὰρ καὶ μισοῦνται, ἐλέγχοντες αὐτῶν τὰς ἀμαθίας. Χά. Εὖγε ὦ γεννάδαι, πλὴν πάνυ ὀλίγοι εἰσιν, ὦ Ἑρμῆ. Ερ. Ἱκανοὶ καὶ οὗτοι. ἀλλὰ κατίωμεν ἤδη. Χά. Ἓν ἔτι ἐπόθουν εἰδέναι, ὦ Ἑρμῆ, καί μοι δείξας αὐτὸ, ἐντελῆ ἔσῃ τὴν περιήγησιν πεποιηκὼς, τὰς ἀποθήκας τῶν σωμάτων, ἵνα κατορύττουσι, θεάσασθαι. Ερ. Ἠρία, ὦ Χάρων, καὶ τύμβους καὶ τάφους καλοῦσι τὰ τοιαῦτα. πλὴν τὰ πρὸ τῶν πόλεων ἐκεῖνα τὰ χώματα ὁρᾷς, καὶ τὰς στήλας καὶ πυραμίδας; ἐκεῖνα πάντα νεκροδοχεῖα καὶ σωματοφυλάκιά ἐστι. Χά. Τί οὖν ἐκεῖνοι στεφανοῦσι τοὺς λίθους, καὶ χρίουσι μύρῳ; οἱ δὲ καὶ πυρὰν νήσαντες, πρὸ τῶν

χωμά-

χωμάτων, καὶ βόθρον τινὰ ὀρύξαντες, καίουσί τε ταυτὶ τὰ πολυτελῆ δεῖπνα, καὶ εἰς τὰ ὀρύγματα οἶνον καὶ μελίκρατον, ὡς γοῦν εἰκάσαι, ἐγχέουσιν; Ἑρ. Οὐκ οἶδα, ὦ πορθμεῦ, τί ταῦτα πρὸς τοὺς ἐν Ἅδου. πεπιστεύκασι δ᾽ οὖν τὰς ψυχὰς ἀναπεμπομένας κάτωθεν, δειπνεῖν μὲν, ὡς οἷόν τε, περιπετομένας, τὴν κνίσσαν καὶ τὸν καπνὸν, πίνειν δὲ ἀπὸ τοῦ βόθρου τὸ μελίκρατον. Χά. Ἐκείνους ἔτι πίνειν ἢ ἐσθίειν, ὧν τὰ κρανία ξηρότατα; καίτοι γελοῖός εἰμί σοι λέγων ταῦτα, ὃς ἡμέραι κατάγοντι αὐτούς. οἶσθ᾽ οὖν, εἰ δύναιντ᾽ ἂν ἔτι ἀνελθεῖν ἅπαξ, ὑποχθόνιοι γενόμενοι. ἐπεί τοι καὶ παγγέλοια ἂν, ὦ Ἑρμῆ, ἔπασχον, οὐκ ὀλίγα πράγματ᾽ ἔχων, εἰ ἔδει μὴ κατάγειν μόνον αὐτοὺς, ἀλλὰ καὶ αὖθις ἀνάγειν πιομένους. ὦ μάταιοι, τῆς ἀνοίας, οὐκ εἰδότες, ἡλίκοις ὅροις διακέκριται τὰ νεκρῶν, καὶ τὰ ζώντων πράγματα, καὶ οἷα τὰ παρ᾽ ἡμῖν ἐστι. καὶ ὅτι Κάτθαν᾽ ὁμῶς ὅ, τ᾽ ἄτυμβος ἀνὴρ, ὅς τ᾽ ἔλαχε τύμβου. Ἐν δ᾽ ἰῇ τιμῇ Ἶρος, κρείων τ᾽ Ἀγαμέμνων. Θερσίτῃ δ᾽ ἶσος Θέτιδος παῖς ἠϋκόμοιο. Πάντες δ᾽ εἰσὶν ὁμῶς νεκύων ἀμενηνὰ κάρηνα, γυμνοί τε ξηροί τε, κατ᾽ ἀσφοδελὸν λειμῶνα. Ἑρ. Ἡράκλεις, ὡς πολὺν τὸν Ὅμηρον ἐπαντλεῖς. ἀλλ᾽ ἐπείπερ ἀνέμνησάς με, θέλω σοι δεῖξαι τὸν τοῦ Ἀχιλλέως τάφον. ὁρᾷς τὸν ἐπὶ τῇ θαλάττῃ; Σίγειον μὲν ἐκεῖνο τὸ Τρωϊκόν, ἀντικρὺ δὲ ὁ Αἴας τέθαπται ἐν τῷ Ῥοιτείῳ. Χά. Οὐ μεγάλοι, ὦ Ἑρμῆ, οἱ τάφοι. τὰς πόλεις τὰς ἐπισήμους ἤδη δεῖξόν μοι, ἃς κάτω ἀκούομεν, τὴν Νῖνον τὴν Σαρδαναπάλου, καὶ Βαβυλῶνα, καὶ Μυκήνας, καὶ Κλεωνὰς, καὶ τὴν Ἴλιον αὐτήν. πολλοὺς γοῦν μέμνημαι διαπορθμεύσας ἐκεῖθεν, ὡς δέκα ὅλων ἐτῶν μὴ δὲ νεωλκῆσαι, μὴ δὲ διαψύξαι τὸ σκαφίδιον. Ἑρ. Ἡ Νῖνος μὲν, ὦ πορθμεῦ, ἀπόλωλεν ἤδη, καὶ οὐδὲν ἴχνος ἔτι λοιπὸν αὐτῆς, οὐδ᾽ ἂν εἴποις, ὅπου ποτ᾽ ἦν. ἡ Βαβυλὼν δέ σοι ἐκείνη ἐστὶν, ἡ εὔπυργος, ἡ τὸν μέγαν περίβολον, οὐ μετὰ πολὺ καὶ αὐτὴ ζητηθησομένη, ὥσπερ ἡ Νῖνος. Μυκήνας δὲ καὶ Κλεωνὰς αἰσχύνομαι δεῖξαί σοι, καὶ μά-

καὶ μάλιστα τὸ Ἴλιον, ἀποπνίξεις γὰρ, εὖ οἶδ', ὅτι τὸν Ὅμηρον κατελθὼν, ἐπὶ τῇ μεγαληγορίᾳ τῶν ἐπῶν. πλὴν ἀλλὰ πάλαι μὲν ἦσαν εὐδαίμονες, νῦν τεθνήκασι καὶ αὗται. ἀποθνήσκουσι γὰρ, ὦ πορθμεῦ, καὶ πόλεις, ὥσπερ ἄνθρωποι, καὶ τὸ παραδοξότερον, καὶ ποταμοὶ ὅλοι. Ἰνάχου οὐδὲ τάφος ἐν Ἄργει ἔτι καταλείπεται. Χά. Παπαὶ τῶν ἐπαίνων Ὅμηρε, καὶ τῶν ὀνομάτων, Ἴλιον ἱρὴν καὶ εὐρυάγυιον, καὶ ἐϋκτίμεναι Κλεωναί. Ἀλλὰ μεταξὺ λόγων, τίνες εἰσὶν οἱ πολεμοῦντες ἐκεῖνοι, ἢ ὑπὲρ τίνος ἀλλήλους φονεύουσιν; Ἑρ. Ἀργείους ὁρᾷς, ὦ Χάρων, καὶ Λακεδαιμονίους, καὶ τὸν ἡμιθνῆτα ἐκεῖνον στρατηγὸν Ὀθρυάδην, τὸν ἐπιγράφοντα τὸ τρόπαιον τῷ αὐτοῦ ὀνόματι. Χά. Ὑπὲρ τίνος δὲ αὐτοῖς, ὦ Ἑρμῆ, ὁ πόλεμος; Ἑρ. Ὑπὲρ τοῦ πεδίου αὐτοῦ, ἐν ᾧ μάχονται. Χά. Ὢ τῆς ἀνοίας, οἵγε οὐκ ἴσασιν, ὅτι κἂν ὅλην τὴν Πελοπόννησον ἕκαστος αὐτῶν κτήσωνται, μόγις ἂν ποδιαῖον λάβοιεν τόπον παρὰ τοῦ Αἰακοῦ. τὸ δὲ πεδίον τοῦτο ἄλλοτε ἄλλοι γεωργήσουσι, πολλάκις ἐκ βάθρων τὸ τρόπαιον ἀνασπάσαντες τῷ ἀρότρῳ. Ἑρ. Οὕτω μὲν ταῦτα ἔσται. ἡμεῖς δὲ καταβάντες ἤδη, καὶ κατὰ χώραν εὐθετήσαντες αὖθις τὰ ὄρη ἀπαλλαττώμεθα, ἐγὼ μὲν καθ' ἃ ἐστάλην, σὺ δ' ἐπὶ τὸ πορθμεῖον. ἥξω δέ σοι μετ' ὀλίγον καὶ αὐτὸς νεκροστολῶν. Χά. Εὖγε ἐποίησας ὦ Ἑρμῆ, εὐεργέτης ἀεὶ ἀναγεγράψῃ. ὠνάμην δέ τι διὰ σὲ τῆς ἀποδημίας, οἷά ἐστι τὰ τῶν κακοδαιμόνων ἀνθρώπων πράγματα, βασιλεῖς, πλίνθοι χρυσαῖ, ἑκατόμβαι, μάχαι. Χάρωνος δὲ οὐδεὶς λόγος.

Τίμων, ἢ Μισάνθρωπος.

ΤΙ'ΜΩΝ.

Ὦ Ζεῦ φίλιε, καὶ ξένιε, καὶ ἑταιρεῖε, καὶ ἐφέστιε, καὶ ἀστεροπητὰ, καὶ ὅρκιε, καὶ νεφεληγερέτα, καὶ ἐρίγδουπε, καὶ εἴτι ἄλλο οἱ ἐμβρόντητοι ποιηταὶ καλοῦσι, καὶ μάλιστα ὅταν ἀπορῶσι πρὸς τὰ μέτρα, τότε γὰρ αὐτοῖς πολυώνυμος γινόμενος, ὑπερείδεις τὸ πίπτον τοῦ μέτρου, καὶ ἀναπληροῖς τὸ κεχηνὸς τοῦ ῥυθμοῦ, ποῦ σοι νῦν ἡ ἐρισμάραγος ἀστραπὴ, καὶ ἡ βαρύβρομος βροντὴ, καὶ ὁ αἰθαλόεις, καὶ ἀργήεις, καὶ σμερδαλέος κεραυνός; ἅπαντα γὰρ ταῦτα λῆρος ἤδη ἀναπέφηνε, καὶ καπνὸς ποιητικὸς ἀτεχνῶς, ἔξω τοῦ πατάγου τῶν ὀνομάτων. τὸ δὲ ἀοίδιμόν σου, καὶ ἑκηβόλον ὅπλον, καὶ πρόχειρον, οὐκ οἶδ' ὅπως τελέως ἀπέσβη, καὶ ψυχρόν ἐστι, μηδὲ ὀλίγον σπινθῆρα ὀργῆς κατὰ τῶν ἀδικούντων διαφυλάττον. θᾶττον γοῦν τῶν ἐπιορκεῖν τις ἐπιχειρούντων ἕωλον θρυαλλίδα φοβηθείη ἂν, ἢ τὴν τοῦ πανδαμάτορος κεραυνοῦ φλόγα. οὕτω δαλόν τινα ἐπανατείνασθαι δοκεῖς αὐτοῖς, ὡς πῦρ μὲν ἢ καπνὸν ἀπ' αὐτοῦ μὴ δεδιέναι, μόνον δὲ τοῦτο οἴεσθαι ἀπολαύειν τοῦ τραύματος, ὅτι ἀναπλησθήσονται τῆς ἀσβόλου, ὥστε ἤδη διὰ ταῦτά σοι καὶ ὁ Σαλμωνεὺς ἀντιβροντᾶν ἐτόλμα, οὐ πάνυ τοι ἀπίθανος ὢν πρὸς οὕτω ψυχρὸν τὴν ὀργὴν Δία, θερμουργὸς ἀνὴρ, καὶ μεγαλαυχούμενος. πῶς γὰρ, ὅπου γε καθάπερ ὑπὸ μανδραγόρᾳ καθεύδεις, ὃς οὔτε τῶν ἐπιορκούντων ἀκούεις, οὔτε τοὺς ἀδικοῦντας ἐπισκοπεῖς; λημᾷς δὲ, καὶ ἀμβλυώττεις πρὸς τὰ γιγνόμενα, καὶ τὰ ὦτα ἐκκεκώφωσαι, καθάπερ οἱ παρηβηκότες. ἐπεὶ νέος γε ἔτι, καὶ ὀξύθυμος ὢν, καὶ ἀκμαῖος τὴν ὀργὴν, πολλὰ κατὰ τῶν ἀδίκων, καὶ βιαίων ἐποίεις, καὶ οὐδέ ποτε ἦγες τότε πρὸς αὐτοὺς ἐκεχειρίαν, ἀλλ' ἀεὶ ἐνεργὸς πάντως ὁ κεραυνὸς ἦν,

καὶ ἡ

καὶ ἡ αἰγὶς ἐπεσείετο, καὶ ἡ βροντὴ ἐπαταγεῖτο, καὶ ἡ ἀστραπὴ συνεχὲς ὥσπερ εἰς ἀκροβολισμὸν προηκοντίζετο· οἱ σεισμοὶ δὲ κοσκινηδὸν, καὶ ἡ χιὼν σωρηδὸν, καὶ ἡ χάλαζα πετρηδόν· καὶ ἵνα σοι φορτικῶς διαλέγωμαι, ὑετοί τε ῥαγδαῖοι, καὶ βίαιοι, ποταμὸς ἑκάστη σταγών· ὥστε τηλικαύτη ἐν ἀκαρεῖ χρόνου ναυαγία ἐπὶ τοῦ Δευκαλίωνος ἐγένετο, ὡς ὑποβρυχίων ἁπάντων καταδεδυκότων, μόγις ἕν τι κιβώτιον περισωθῆναι προσοκεῖλαν τῷ Λυκωρεῖ, ζώπυρόν τι τοῦ ἀνθρωπίνου σπέρματος διαφυλάττον εἰς ἐπιγονὴν κακίας μείζονος. τοιγάρτοι ἀκόλουθα τῆς ῥαθυμίας τἀπὶ χειρα κομίζῃ παρ' αὐτῶν, οὔτε θύοντος ἔτι σοι τινὸς, οὔτε στεφανοῦντος, εἰ μήτις ἄρα πάρεργον ὀλυμπίων, καὶ οὗτος οὐ πάνυ ἀναγκαῖα ποιεῖν δοκῶν, ἀλλ' εἰς ἔθος τι ἀρχαῖον συντελῶν. καὶ κατ' ὀλίγον Κρόνον σε ὦ θεῶν γενναιότατε ἀποφαίνουσι, παρωσάμενοι τῆς τιμῆς. ἐῶ λέγειν ὁποσάκις ἤδη σου τὸν νεὼν σεσυλήκασιν. οἱ δὲ καὶ αὐτῷ σοι τὰς χεῖρας ὀλυμπιάσιν ἐπιβεβλήκασι. καὶ σὺ ὁ ὑψιβρεμέτης ὤκνησας, ἢ ἀναστῆσαι τοὺς κύνας, ἢ τοὺς γείτονας ἐπικαλέσασθαι, ὡς βοηδρομήσαντες αὐτοὺς συλλάβοιεν, ἔτι συσκευαζομένους πρὸς τὴν φυγήν. ἀλλ' ὁ γενναῖος, καὶ γιγαντολέτωρ, καὶ τιτανοκράτωρ ἐκάθησο, τοὺς πλοκάμους περικειρόμενος ὑπ' αὐτῶν, δεκάπηχυν κεραυνὸν ἔχων ἐν τῇ δεξιᾷ. ταῦτα τοίνυν ὦ θαυμάσιε, πηνίκα παύσεται οὕτως ἀμελῶς παρορώμενα; ἢ πότε κολάσεις τὴν τοσαύτην ἀδικίαν; πόσοι Φαέθοντες, ἢ Δευκαλίωνες, ἱκανοὶ πρὸς οὕτως ὑπέραντλον ὕβριν τοῦ βίου; ἵνα γὰρ τὰ κοινὰ ἐάσας, τἀμὰ εἴπω, τοσούτους Ἀθηναίων εἰς ὕψος ἄρας καὶ πλουσίους ἐκ πενεστάτων ἀποφήνας, καὶ πᾶσι τοῖς δεομένοις ἐπικουρήσας, μᾶλλον δὲ ἀθρόον ἐς εὐεργεσίαν τῶν φίλων ἐκχέας τὸν πλοῦτον, ἐπειδὴ πένης διὰ ταῦτα ἐγενόμην, οὐκ ἔτι οὐδὲ γνωρίζομαι πρὸς αὐτῶν, οὔτε προσβλέπουσιν οἱ τέως ὑποπτήσσοντες καὶ προσκυνοῦντες, κἀκ τοῦ ἐμοῦ νεύματος ἀνηρτημένοι. ἀλλ' ἤν που καὶ ὁδῷ βαδίζων ἐντύχοιμι τινὶ αὐτῶν, ὥσπερ τινὰ

στήλην παλαιοῦ νεκροῦ ὑπτίαν, ὑπὸ τοῦ χρόνου ἀνατετραμμένην παρέρχονται, μηδὲ ἀναγνόντες. οἱ δὲ καὶ πόῤῥωθεν ἰδόντες, ἑτέραν ἐκτρέπονται, δυσάντητον καὶ ἀποτρόπαιον θέαμα ὄψεσθαι ὑπολαμβάνοντες, τὸν οὐ πρὸ πολλοῦ σωτῆρα, καὶ εὐεργέτην αὐτῶν γεγενημένον. ὥστε ὑπὸ τῶν κακῶν ἐπὶ ταύτην τὴν ἐσχατιὰν τραπόμενος, ἐναψάμενος διφθέραν, ἐργάζομαι τὴν γῆν, ὑπόμισθος ὀβολῶν τεσσάρων, τῇ ἐρημίᾳ, καὶ τῇ δικέλλῃ προσφιλοσοφῶν ἐνταῦθα. τοῦτο γοῦν μοι δοκῶ κερδανεῖν, μηκέτι ὄψεσθαι πολλοὺς παρὰ τὴν ἀξίαν εὖ πράττοντας, ἀνιαρότερον γὰρ τοῦτόγε. ἤδη ποτὲ οὖν ὦ Κρόνου καὶ Ῥέας υἱὲ, τὸν βαθὺν τοῦτον ὕπνον ἀποσεισάμενος καὶ νήδυμον (ὑπὲρ τὸν Ἐπιμενίδην γὰρ κεκοίμησαι) καὶ ἀναῤῥιπίσας τὸν κεραυνὸν, ἢ ἐκ τῆς Οἴτης ἐναυσάμενος, μεγάλην ποιήσας τὴν φλόγα, ἐπιδείξαιό τινα χολὴν ἀνδρώδους καὶ νεανικοῦ Διὸς, εἰμὴ ἀληθῆ ἐστι τὰ ὑπὸ Κρητῶν περὶ σοῦ, καὶ τῆς σῆς ταφῆς μυθολογούμενα. Ζ. Τίς οὗτός ἐστιν, ὦ Ἑρμῆ, ὁ κεκραγὼς ἐκ τῆς Ἀττικῆς, παρὰ τὸν Ὑμηττὸν ἐν τῇ ὑπωρείᾳ; πιναρὸς ὅλος, καὶ αὐχμῶν, καὶ ὑποδίφθερος, σκάπτει δὲ, οἶμαι, ἐπικεκυφὼς, λάλος ἄνθρωπος, καὶ θρασύς. ἦπου φιλόσοφός ἐστιν, οὐ γὰρ ἂν οὕτως ἀσεβεῖς τοὺς λόγους διεξῄει καθ' ἡμῶν. Ἑρ. Τί φὴς ὦ πάτερ; ἀγνοεῖς Τίμωνα τὸν Ἐχεκρατίδου, τὸν κολυττέα; οὗτός ἐστιν, ὁ πολλάκις ἡμᾶς καθ' ἱερῶν τελείων ἑστιάσας, ὁ νεόπλουτος, ὁ τὰς ὅλας ἑκατόμβας, παρ' ᾧ λαμπρῶς εἰώθαμεν ἑορτάζειν τὰ διάσια. Ζ. Φεῦ τῆς ἀλλαγῆς. ὁ καλὸς ἐκεῖνος, ὁ πλούσιος, περὶ ὃν οἱ τοσοῦτοι φίλοι; τί παθὼν οὖν τοιοῦτός ἐστιν; αὐχμηρὸς, ἄθλιος, καὶ σκαπανεὺς, καὶ μισθωτὸς, ὡς ἔοικεν, οὕτω βαρεῖαν καταφέρων τὴν δίκελλαν. Ἑρ. Οὑτωσὶ μὲν εἰπεῖν, χρηστότης ἐπέτριψεν αὐτὸν, καὶ φιλανθρωπία, καὶ ὁ πρὸς τοὺς δεομένους ἅπαντας οἶκτος. ὡς δὲ ἀληθεῖ λόγῳ, ἄνοια, καὶ εὐήθεια, καὶ ἀκρισία περὶ τοὺς φίλους· ὃς οὐ συνίει κόραξι, καὶ λύκοις χαριζόμενος. ἀλλ' ὑπὸ γυπῶν τοσούτων ὁ κακοδαίμων

κειρό-

κειρόμενος τὸ ἧπαρ, φίλους εἶναι αὐτοὺς, καὶ ἑταίρους ᾤετο, ὑπ' εὐνοίας τῆς πρὸς αὐτὸν χαίροντας τῇ βορᾷ. οἱ δὲ τὰ ὀστᾶ γυμνώσαντες ἀκριβῶς, καὶ περιτραγόντες, εἴ τις καὶ μυελὸς ἐνῆν, ἐκμυζήσαντες καὶ τοῦτον εὖ μάλα ἐπιμελῶς, ᾤχοντο, αὖον αὐτὸν καὶ τὰς ῥίζας ὑποτετμημένον ἀπολιπόντες, οὐδὲ γνωρίζοντες ἔτι, οὐδὲ προσβλέποντες (πόθεν γάρ) ἢ ἐπικουροῦντες, ἢ ἐπιδιδόντες ἐν τῷ μέρει. διὰ ταῦτα δικελλίτης, καὶ διφθερίας, ὡς ὁρᾷς, ἀπολιπὼν ὑπ' αἰσχύνης τὸ ἄστυ, μισθοῦ γεωργεῖ, μελαγχολῶν τοῖς κακοῖς, ὅτι οἱ πλουτοῦντες παρ' αὐτοῦ, μάλα ὑπεροπτικῶς παρέρχονται, οὐδὲ τοὔνομα εἰ Τίμων καλοῖτο εἰδότες. Ζ Καὶ μὴν οὐ παροπτέος ἀνὴρ, οὐδὲ ἀμελητέος, εἰκότως γὰρ ἠγανάκτει δυστυχῶν, ἐπεὶ καὶ ὅμοια ποιήσομεν τοῖς καταράτοις κόλαξιν ἐκείνοις, ἐπιλελησμένοι ἀνδρὸς τοσαῦτα ταύρων τε καὶ αἰγῶν πιότατα καύσαντος ἡμῖν ἐπὶ τῶν βωμῶν. ἔτι γοῦν ἐν ταῖς ῥισὶ τὴν κνῖσαν αὐτῶν ἔχω, πλὴν ὑπ' ἀσχολίας τε, καὶ θορύβου πολλοῦ τῶν ἐπιορκούντων, καὶ βιαζομένων, καὶ ἁρπαζόντων, ἔτι δὲ καὶ φόβου τοῦ παρὰ τῶν ἱεροσυλούντων (πολλοὶ γὰρ οὗτοι, καὶ δυσφύλακτοι, καὶ οὐδὲ ἐπ' ὀλίγον καταμῦσαι ἡμῖν ἐφιᾶσι) πολὺν ἤδη χρόνον οὐδ' ἀπέβλεψα εἰς τὴν Ἀττικὴν, καὶ μάλιστα ἐξ οὗ φιλοσοφία, καὶ λόγων ἔριδες ἐπεπόλασαν αὐτοῖς. μαχομένων γὰρ πρὸς ἀλλήλους, καὶ κεκραγότων, οὐδὲ ἐπακούειν ἐστὶ τῶν εὐχῶν. ὥστε ἢ ἐπιβυσάμενον χρὴ τὰ ὦτα καθῆσθαι, ἢ ἐπιτριβῆναι πρὸς αὐτῶν, ἀρετήν τινα, καὶ ἀσώματα, καὶ λήρους μεγάλῃ τῇ φωνῇ ξυνειρόντων. διὰ ταῦτά τοι καὶ τοῦτον ἀμεληθῆναι συνέβη πρὸς ἡμᾶς οὐ φαῦλον ὄντα. ὅμως δὲ τὸν Πλοῦτον ὦ Ἑρμῆ παραλαβὼν, ἄπιθι παρ' αὐτὸν κατὰ τάχος. ἀγέτω δὲ ὁ Πλοῦτος καὶ τὸν Θησαυρὸν μετ' αὐτοῦ, καὶ μενέτωσαν ἄμφω παρὰ τῷ Τίμωνι, μὴ δὲ ἀπαλλαττέσθωσαν οὕτω ῥᾳδίως, κἂν ὅτι μάλιστα ὑπὸ χρηστότητος αὖθις ἐκδιώκῃ αὐτοὺς τῆς οἰκίας. περὶ δὲ τῶν κολάκων ἐκείνων, καὶ τῆς ἀχαριστίας, ἣν ἐπεδείξαντο πρὸς αὐτὸν,

καὶ αὖθις μὲν σκέψομαι, καὶ δίκην δώσουσιν, ἐπειδὰν τὸν κεραυνὸν ἐπισκευάσω. κατεαγμέναι γὰρ αὐτοῦ, καὶ ἀποσομωμέναι εἰσὶ δύο ἀκτῖνες αἱ μέγισται, ὁπότε φιλοτιμότερον ἠκόντισα πρώην ἐπὶ τὸν σοφιστὴν Ἀναξαγόραν, ὃς ἔπειθε τοὺς ὁμιλητὰς μηδὲ ὅλως εἶναί τινας ἡμᾶς τοὺς θεούς. ἀλλ' ἐκείνου μὲν διήμαρτον, ὑπερέσχε γὰρ αὐτοῦ τὴν χεῖρα Περικλῆς. ὁ δὲ κεραυνὸς εἰς τὸ ἀνάκειον παρασκήψας, ἐκεῖνό τε κατέφλεξε, καὶ αὐτὸς ὀλίγου δεῖν, συνετρίβη παρὰ τὴν πέτραν. πλὴν ἱκανὴ ἐν τοσούτῳ καὶ αὕτη τιμωρία ἔσται αὐτοῖς, εἰ ὑπερπλουτοῦντα τὸν Τίμωνα ὁρῶσιν. Ἐρ. Οἷον ἦν τὸ μέγα κεκραγέναι, καὶ ὀχληρὸν εἶναι, καὶ θρασύν. οὐ τοῖς δικαιολογοῦσι μόνοις ἀλλὰ καὶ τοῖς εὐχομένοις τοῦτο χρήσιμον. ἰδοὺ γὰρ αὐτίκα μάλα πλούσιος ἐκ πενεστάτου καταστήσεται ὁ Τίμων, βοήσας, καὶ παρρησιασάμενος ἐν τῇ εὐχῇ, καὶ ἐπιστρέψας τὸν Δία. εἰ δὲ σιωπῇ ἔσκαπτεν ἐπικεκυφώς, ἔτι ἂν ἔσκαπτεν ἀμελούμενος. Πλοῦ. Ἀλλ' ἐγὼ οὐκ ἂν ἀπέλθοιμι ὦ Ζεῦ παρ' αὐτόν. Ζ. Διατί ὦ ἄριστε Πλοῦτε, καὶ ταῦτα, ἐμοῦ κελεύσαντος; Πλ. Ὅτι νὴ Δία ὕβριζεν εἰς ἐμέ, καὶ ἐξεφόρει, καὶ εἰς πολλὰ κατεμέριζε. καὶ ταῦτα, πατρῷον αὐτοῦ φίλον ὄντα, καὶ μόνον οὐχὶ δικράνοις με ἐξεώθει τῆς οἰκίας, καθάπερ οἱ τὸ πῦρ ἐκ τῶν χειρῶν ἀπορρίπτουντες. αὖθις οὖν ἀπέλθω παρασίτοις καὶ κόλαξι, καὶ ἑταίραις παραδοθησόμενος; ἐπ' ἐκείνους ὦ Ζεῦ πέμπε με, τοὺς αἰσθησομένους τῆς δωρεᾶς, τοὺς περιέψοντας, οἷς τίμιος ἐγώ, καὶ περιπόθητος. οὗτοι δὲ οἱ λάροι, τῇ πενίᾳ ξυνέστωσαν, ἣν προτιμῶσιν ἡμῶν, καὶ διφθέραν παρ' αὐτῆς λαβόντες, καὶ δίκελλαν, ἀγαπάτωσαν ἄθλιοι, τέτταρας ὀβολοὺς ἀποφέροντες, οἱ δεκαταλάντους δωρεὰς ἀμελητὶ προϊέμενοι. Ζ. Οὐδὲν ἔτι τοιοῦτον ὁ Τίμων ἐργάσεται περὶ σέ. πάνυ γὰρ αὐτὸν ἡ δίκελλα πεπαιδαγώγηκεν, εἰ μὴ παντάπασιν ἀνάλγητός ἐστι τὴν ὀσφύν, ὡς χρῆν σε ἀντὶ τῆς πενίας προαιρεῖσθαι. σὺ μέντοι πάνυ μεμψίμοιρος εἶναί

μοι

μοι δοκεῖς, ὃς νῦν μὲν τὸν Τίμωνα αἰτιᾷ, διότι σοι τὰς θύρας ἀναπετάσας, ἠφίει περινοστεῖν ἐλευθέρως, οὔτε ἀποκλείων, οὔτε ζηλοτυπῶν. ἄλλοτε δὲ τοὐναντίον ἠγανάκτεις κατὰ τῶν πλουσίων, κατακεκλεῖσθαι λέγων πρὸς αὐτῶν ὑπὸ μοχλοῖς, καὶ κλεισὶ καὶ σημείων ἐπιβολαῖς, ὡς μηδὲ παρακύψαι σοι ἐς τὸ φῶς δυνατὸν εἶναι. ταῦτα γοῦν ἀπωδύρου πρός με, ἀποπνίγεσθαι λέγων ἐν πολλῷ τῷ σκότῳ. καὶ διὰ τοῦτο ὠχρὸς ἡμῖν ἐφαίνου, καὶ φροντίδος ἀνάπλεως, συνεσπακὼς τοὺς δακτύλους πρὸς τὸ ἔθος τῶν συλλογισμῶν, καὶ ἀποδράσεσθαι ἀπειλῶν, εἰ καιροῦ λάβοιο παρ' αὐτῶν. καὶ ὅλως τὸ πρᾶγμα ὑπέρδεινον ἐδόκει σοι, ἐν χαλκῷ ἢ σιδηρῷ θαλάμῳ, καθάπερ τὴν Δανάην παρθενεύεσθαι ὑπ' ἀκριβέσι καὶ παμπονήροις παιδαγωγοῖς ἀνατρεφόμενον, τῷ τόκῳ, καὶ τῷ λογισμῷ. ἄτοπα γοῦν ποιεῖν ἔφασκες αὐτοὺς, ἐρῶντας μὲν εἰς ὑπερβολήν, ἐξὸν δὲ ἀπολαύειν οὐ τολμῶντας, οὐδὲ ἐπ' ἀδείας χρωμένους τῷ ἔρωτι, κυρίους γε ὄντας, ἀλλὰ φυλάττειν ἐγρηγορότας, ἐς τὸ σημεῖον καὶ τὸν μοχλὸν ἀσκαρδαμυκτὶ βλέποντας, ἱκανὴν ἀπόλαυσιν οἰομένους, οὐ τὸ αὐτοὺς ἀπολαύειν ἔχειν, ἀλλὰ τὸ μηδενὶ μεταδιδόναι τῆς ἀπολαύσεως, καθάπερ τὴν ἐν τῇ φάτνῃ κύνα, μήτε αὐτὴν ἐσθίουσαν τῶν κριθῶν, μήτε τῷ ἵππῳ πεινῶντι ἐπιτρέπουσαν. καὶ προσέτι γε καὶ κατεγέλας αὐτῶν φειδομένων, καὶ φυλαττόντων, καὶ τὸ καινότατον αὐτοὺς ζηλοτυπούντων· ἀγνοούντων δὲ ὡς κατάρατος οἰκέτης, ἢ οἰκονόμος, ἢ παιδοτρίψ ὑπεισιὼν λαθραίως ἐμπαροινήσει τὸν κακοδαίμονα καὶ ἀνέραστον δεσπότην, πρὸς ἀμαυρόν τι καὶ μικρόστομον λυχνίδιον, καὶ διψαλέον θρυαλλίδιον, ἐπαγρυπνεῖν ἐάσας τοῖς τόκοις. πῶς οὖν οὐκ ἄδικον, πάλαι μὲν σὺ ταῦτα αἰτιᾶσθαι, νῦν δὲ τῷ Τίμωνι τὰ ἐναντία ἐπικαλεῖν; ΠΛ. Καὶ μὴν εἴγε τἀληθῆ ἐξετάζοις, ἄμφω σοι εὔλογα δόξω ποιεῖν. τοῦ τε γὰρ Τίμωνος τὸ πάνυ τοῦτο ἀνειμένον, ἀμελὲς καὶ οὐκ εὐνοϊκὸν ὡς πρὸς ἐμὲ εἰκότως ἂν δοκοίη. τούς τε αὖ κατάκλειστον ἐν θύραις, καὶ σκότῳ φυλάττοντας,

τοντας,

τουτας, ὅπως αὐτοῖς παχύτερος γενοίμην, καὶ πιμελὴς, καὶ ὑπέρογκος ἐπιμελουμένους, οὔτε προσαπτομένους αὐτοὺς, οὔτε εἰς τὸ φῶς προάγοντας, ὡς μὴ δὲ ὀφθείην πρός τινος, ἀνοήτους ἐνόμιζον εἶναι, καὶ ὑβριστὰς, οὐδὲν ἀδικοῦντά με ὑπὸ τοσούτοις δεσμοῖς κατασήποντας, οὐκ εἰδότας, ὡς μετὰ μικρὸν ἀπίασιν ἄλλῳ τινὶ τῶν εὐδαιμόνων με καταλιπόντες. οὔτ' οὖν ἐκείνους, οὔτε τοὺς πάνυ προχείρους εἰς ἐμὲ τούτους ἐπαινῶ, ἀλλὰ τοὺς, ὅπερ ἄριστόν ἐστι, μέτρον ἐπιθήσοντας τῷ πράγματι, καὶ μήτε ἀφεξομένους τοπαράπαν, μήτε προησομένους τὸ ὅλον. σκόπει γὰρ, ὦ Ζεῦ, πρὸς τοῦ Διὸς, εἴ τις νόμῳ γήμας γυναῖκα νέαν, καὶ καλὴν, ἔπειτα μήτε φυλάττοι, μήτε ζηλοτυποῖ τὸ παράπαν, ἀφιεὶς καὶ βαδίζειν ἔνθα ἂν ἐθέλοι νύκτωρ καὶ μεθ' ἡμέραν, καὶ ξυνεῖναι τοῖς βουλομένοις, μᾶλλον δὲ αὐτὸς ἀπάγοι μοιχευθησομένην, ἀνοίγων τὰς θύρας, καὶ μαστροπεύων, καὶ πάντας ἐπ' αὐτὴν καλῶν, ἆρα ὁ τοιοῦτος ἐρᾶν δόξειεν ἄν; οὐ σύ γε, ὦ Ζεῦ, τοῦτο φαίης ἄν, ἐρασθεὶς πολλάκις. εἰ δέ τις ἔμπαλιν ἐλευθέραν γυναῖκα εἰς τὴν οἰκίαν νόμῳ παραλαβὼν ἐπ' ἀρότῳ παίδων γνησίων, ὁ δὲ μήτε αὐτὸς προσάπτοιτο ἀκμαίας καὶ καλῆς παρθένου, μήτε ἄλλῳ προσβλέπειν ἐπιτρέποι, ἄγονον δὲ καὶ στεῖραν κατακλείσας, παρθενεύοι, καὶ ταῦτα ἐρᾶν φάσκων, καὶ δῆλος ὢν ἀπὸ τῆς χροιᾶς, καὶ τῆς σαρκὸς ἐκτετηκυίας, καὶ τῶν ὀφθαλμῶν ὑποδεδυκότων, ἔσθ' ὅπως ὁ τοιοῦτος οὐ παραπαίειν δόξειεν ἄν, δέον παιδοποιεῖσθαι, καὶ ἀπολαύειν τοῦ γάμου, καταμαραίνων εὐπρόσωπον οὕτω καὶ ἐπέραστον κόρην, καθάπερ ἱέρειαν τῇ Θεσμοφόρῳ τρέφων διὰ παντὸς τοῦ βίου; ταῦτα καὶ αὐτὸς ἀγανακτῶ πρὸς ἐνίων μὲν ἀτίμως λακτιζόμενος καὶ λαφυσσόμενος, καὶ ἐξαντλούμενος, ὑπ' ἐνίων δὲ, ὥσπερ στιγματίας δραπέτης πεπεδημένος. Ζ. Τί οὖν ἀγανακτεῖς κατ' αὐτῶν; διδόασι γὰρ ἄμφω καλὴν τὴν δίκην. οἱ μὲν ὥσπερ ὁ Τάνταλος ἄποτοι καὶ ἄγευστοι, καὶ ξηροὶ τὸ στόμα, ἐπικεχηνότες μόνον τῷ χρυσίῳ. οἱ δὲ, καθάπερ ὁ Φινεὺς ἀπὸ τῆς φάρυγγος τὴν τροφὴν ὑπὸ ἁρπυιῶν

ἀφαι-

ἀφαιρούμενοι. ἀλλ' ἄπιθι ἤδη σωφρονεστέρῳ παραπολὺ τῷ Τίμωνι ἐντευξόμενος. Πλ. Ἐκεῖνος γάρ ποτε παύσεται ὥσπερ ἐκ κοφίνου τετρυπημένου, πρὶν ὅλως εἰσρυῆναί με, κατὰ σπουδὴν ἐξαντλῶν, φθάσαι βουλόμενος τὴν ἐπιρροήν, μὴ ὑπέραντλος εἰσπεσὼν, ἐπικλύσω αὐτόν; ὥστε εἰς τὸν τῶν Δαναΐδων πίθον ὑδροφορήσειν μοι δοκῶ, καὶ μάτην ἐπαντλήσειν, τοῦ κύτους μὴ στέγοντος, ἀλλὰ πρὶν εἰσρυῆναι, σχεδὸν ἐκχυθησομένου τοῦ ἐπιρρέοντος. οὕτως εὐρύτερον τὸ πρὸς τὴν ἔκχυσιν κεχηνὸς τοῦ πίθου, καὶ ἀκώλυτος ἡ ἔξοδος. Ζ. Οὐκοῦν εἰ μὴ ἐμφράξηται τὸ κεχηνὸς τοῦτο, καὶ εἰς τὸ ἅπαξ ἀναπεπταμένον, ἐκχυθέντος ἐν βραχεῖ σου, ῥᾳδίως εὑρήσει τὴν διφθέραν αὖθις, καὶ τὴν δίκελλαν ἐν τῇ τρυγὶ τοῦ πίθου. ἀλλ' ἄπιτε ἤδη, καὶ πλουτίζετε αὐτόν. σὺ δὲ μέμνησο, ὦ Ἑρμῆ, ἐπανιὼν, πρὸς ἡμᾶς ἄγειν τοὺς Κύκλωπας ἐκ τῆς Αἴτνης, ὅπως τὸν κεραυνὸν ἀκονήσαντες ἐπισκευάσωσιν, ὡς ἤδη γε τεθηγμένου αὐτοῦ δεησόμεθα. Ερ. Προΐωμεν, ὦ Πλοῦτε. τί τοῦτο ὑποσκάζεις; ἐλελήθεις με, ὦ γεννάδα, οὐ τυφλὸς μόνον, ἀλλὰ καὶ χωλὸς ὤν. Πλ Οὐκ ἀεὶ τοῦτο, ὦ Ἑρμῆ, ἀλλ' ὁπόταν μὲν ἀπίω παρά τινα, πεμφθεὶς ὑπὸ τοῦ Διός, οὐκ οἶδ', ὅπως βραδύς εἰμι καὶ χωλὸς ἀμφοτέροις, ὡς μόλις τελεῖν ἐπὶ τὸ τέρμα, προγηράσαντος ἐνίοτε τοῦ περιμένοντος. ὁπόταν δὲ ἀπαλλάττεσθαι δέῃ, πτηνὸν ὄψει, πολὺ τῶν ὀρνέων ὠκύτερον. ἅμα γοῦν ἔπεσεν ἡ ὕσπληγξ, κἀγὼ ἤδη ἀνακηρύττομαι νενικηκὼς, ὑπερπηδήσας τὸ στάδιον, οὐδὲ ἰδόντων ἐνίοτε τῶν θεατῶν. Ερ Οὐκ ἀληθῆ ταῦτα φής. ἐγὼ δὲ καὶ πολλοὺς ἂν εἰπεῖν ἔχοιμί σοι, χθὲς μὲν οὐδὲ ὀβολὸν ὥστε πρίασθαι βρόχον ἐσχηκότας, ἄφνω δὲ τήμερον πλουσίους, καὶ πολυτελεῖς, ἐπὶ λευκοῦ ζεύγους ἐξελαύνοντας, οἷς οὐδὲ κἂν ὄνος ὑπῆρξε πώποτε, καὶ ὅμως πορφυροῖ, καὶ χρυσόχειρες περιέρχονται, οὐδ' αὐτοὶ πιστεύοντες οἶμαι ὅτι μὴ ὄναρ πλουτοῦσιν. Πλ. Ἑτεροῖον τοῦτ' ἐστὶν, ὦ Ἑρμῆ, καὶ οὐχὶ τοῖς ἐμαυτοῦ ποσὶ βαδίζω τότε, οὐδὲ ὁ Ζεὺς, ἀλλ' ὁ Πλούτων ἀποστέλλει με παρ' αὐτοὺς, ἅτε πλου-

πλουτοδότης, καὶ μεγαλόδωρος καὶ αὐτὸς ὤν· δηλοῖ γοῦν τῷ ὀνόματι. ἐπειδὰν τοίνυν μετοικισθῆναι δέῃ με παρ' ἑτέρου πρὸς ἕτερον, ἐς δέλτον ἐμβαλόντες με, καὶ κατασημηνάμενοι ἐπιμελῶς, φορηδὸν ἀράμενοι μετακομίζουσι. καὶ ὁ μὲν νεκρὸς ἐν σκοτεινῷ που τῆς οἰκίας πρόκειται, ὑπὲρ τὰ γόνατα παλαιᾷ τῇ ὀθόνῃ σκεπόμενος, περιμάχητος ταῖς γαλαῖς, ἐμὲ δὲ οἱ ἐπελπίσαντες, ἐν τῇ ἀγορᾷ περιμένουσι κεχηνότες, ὥσπερ τὴν χελιδόνα προσπετομένην τετριγότες οἱ νεοττοί. ἐπειδὰν δὲ τὸ σημεῖον ἀφαιρεθῇ, καὶ τὸ λίνον ἐντμηθῇ, καὶ ἡ δέλτος ἀνοιχθῇ, καὶ ἀνακηρυχθῇ μου ὁ καινὸς δεσπότης, ἤτοι συγγενής τις, ἢ κόλαξ, ἢ καταπύγων οἰκέτης, ἐκ παιδικῶν τίμιος, ὑπεξυρημένος ἔτι τὴν γνάθον, ἀντὶ ποικίλων καὶ παντοδαπῶν ἡδονῶν, ἃς ἤδη ἔξωρος ὢν ὑπηρέτησεν αὐτῷ μέγα τὸ μίσθωμα ὁ γενναῖος ἀπολαβὼν, ἐκεῖνος μὲν, ὅστις ἂν ᾖ ποτὲ, ἁρπασάμενός με αὐτῇ δέλτῳ, θέει φέρων, ἀντὶ τοῦ τέως Πυρρίου, ἢ Δρόμωνος, ἢ Τιβίου, Μεγακλῆς, ἢ Μεγάβυζος, ἢ Πρώταρχος μετονομασθεὶς, τοὺς μάτην κεχηνότας ἐκείνους εἰς ἀλλήλους ἀποβλέποντας καταλιπὼν, ἀληθὲς ἄγοντας τὸ πένθος, οἷος αὐτοὺς ὁ θύννος ἐκ μυχοῦ τῆς σαγήνης διέφυγεν, οὐκ ὀλίγον τὸ δέλεαρ καταπιών. ὁ δὲ ἐμπεσὼν ἀθρόως ἐς ἐμὲ ἀπειρόκαλος καὶ παχύδερμος ἄνθρωπος, ἔτι τὴν πέδην πεφρικὼς, καὶ εἰ παριὼν ἄλλος μαστίξειέ τις, ὄρθιον ἐφιστὰς τὸ οὖς καὶ τὸν μυλῶνα, ὥσπερ τὸ ἀνάκτορον προσκυνῶν, οὐκ ἔτι φορητός ἐστι τοῖς ἐντυγχάνουσιν, ἀλλὰ τούς τε ἐλευθέρους ὑβρίζει, τοὺς ὁμοδούλους μαστιγοῖ, ἀποπειρώμενος εἰ καὶ αὐτῷ τὰ τοιαῦτα ἔξεστιν· ἄχρις ἂν ἢ ἐς πορνίδιόν τι ἐμπεσὼν, ἢ ἱπποτροφίας ἐπιθυμήσας, ἢ κόλαξι παραδοὺς ἑαυτὸν ὀμνύουσιν, ἦ μὴν εὐμορφότερον μὲν Νιρέως εἶναι αὐτὸν, εὐγενέστερον δὲ τοῦ Κέκροπος, ἢ Κόδρου, συνετώτερον δὲ τοῦ Ὀδυσσέως, πλουσιώτερον δὲ συνάμα Κροίσων ἑκκαίδεκα, ἐν ἀκαρεῖ τοῦ χρόνου ἄθλιος ἐκχέῃ τὰ κατ' ὀλίγον ἐκ πολλῶν ἐπιορκιῶν καὶ ἁρπαγῶν, καὶ πανουργιῶν συνειλεγμένα. Ἑρ. Αὐτά που σχε-

δὸν

δὸν φὴς τὰ γιγνόμενα. ὁπόταν δ' οὖν αὐτόπους βαδίζῃς, πῶς οὕτω τυφλὸς ὢν εὑρίσκεις τὴν ὁδόν. ἢ πῶς διαγινώσκεις, ἐφ' οὓς ἂν σε ὁ Ζεὺς ἀποστείλῃ, κρίνας εἶναι τοῦ πλουτεῖν ἀξίους. Πλου. Οἴει γὰρ εὑρίσκειν με οἵτινες εἰσι; Ἑρ. Μὰ τὸν Δία οὐ πάνυ. οὐ γὰρ Ἀριστείδην καταλιπὼν, Ἱππονίκῳ καὶ Καλλίᾳ προσῄεις, καὶ πολλοῖς ἄλλοις Ἀθηναίων, οὐδὲ ὀβολοῦ ἀξίοις. πλὴν ἀλλὰ τί πράττεις καταπεμφθείς; Πλου. Ἄνω καὶ κάτω πλανῶμαι περινοστῶν, ἄχρις ἂν λάθω τινὶ ἐμπεσών. ὁ δὲ ὅστις ἂν πρῶτός μοι περιτύχῃ, ἀπαγαγὼν ἔχει, σὲ τὸν Ἑρμῆν ἐπὶ τῷ παραλόγῳ τοῦ κέρδους προσκυνῶν. Ἑρ. Οὐκοῦν ἐξηπάτηται ὁ Ζεὺς οἰόμενός σε κατὰ τὰ αὐτῷ δοκοῦντα πλουτίζειν, ὅσους ἂν οἴηται τοῦ πλουτεῖν ἀξίους; Πλου. Καὶ μάλα δικαίως ὦγαθέ. ὅς γε τυφλὸν ὄντα εἰδὼς, ἔπεμπεν ἀναζητήσοντα δυσεύρετον οὕτω χρῆμα, καὶ πρὸ πολλοῦ ἐκλελοιπὸς τοῦ βίου, ὅπερ οὐδ' ὁ Λυγκεὺς ἂν ἐξεύροι ῥᾳδίως, ἀμαυρὸν οὕτω καὶ μικρὸν ὄν. τοιγαροῦν ἅτε τῶν μὲν ἀγαθῶν ὀλίγων ὄντων, πονηρῶν δὲ πλείστων ἐν ταῖς πόλεσι τὸ πᾶν ἐπεχόντων, ῥᾷον ἐς τοὺς τοιούτους ἐμπίπτω περιιὼν, καὶ σαγηνεύομαι πρὸς αὐτῶν. Ἑρ. Εἶτα πῶς ἐπειδὰν καταλίπῃς αὐτοὺς, ῥᾳδίως φεύγεις οὐκ εἰδὼς τὴν ὁδόν; Πλου. Ὀξυδερκὴς τότε πως καὶ ἀρτίπους γίγνομαι πρὸς μόνον τὸν καιρὸν τῆς φυγῆς. Ἑρ. Ἔτι δή μοι καὶ τοῦτο ἀπόκριναι, πῶς τυφλὸς ὢν, (εἰρήσεται γὰρ) καὶ προσέτι ὠχρὸς, καὶ βαρὺς ἐκ τοῖν σκελοῖν, τοσούτους ἐραστὰς ἔχοις, ὥστε πάντας ἀποβλέπειν εἰς σὲ, καὶ τυχόντας μὲν εὐδαιμονεῖν οἴεσθαι, εἰ δὲ ἀποτύχοιεν, οὐκ ἀνέχεσθαι ζῶντας; οἶδα γοῦν τινας οὐκ ὀλίγους αὐτῶν οὕτω σου δυσέρωτας ὄντας, ὥστε καὶ εἰς βαθυκήτεα πόντον φέροντες, ἔρριψαν αὑτοὺς, καὶ πετρῶν κατ' ἠλιβάτων, ὑπερορᾶσθαι νομίζοντες ὑπὸ σοῦ, ὅτιπερ οὐδὲ τὴν ἀρχὴν ἑώρας αὐτούς. πλὴν ἀλλὰ καὶ σὺ ἂν, εὖ οἶδα, ὅτι ὁμολογήσειας, εἴ τι ξυνίης σαυτοῦ κορυβαντιᾶν αὐτοὺς, ἐρωμένῳ τοιούτῳ ἐπιμεμηνότας. Πλ. Οἴει γὰρ τοιοῦτον, οἷός εἰμι, ὁρᾶσθαι αὐτοῖς χωλὸν, ἢ τυφλὸν, ἢ ὅσα ἄλλα

μοι

μοι πρόσεισιν; Ἑρ. Ἀλλὰ πῶς ὦ πλοῦτε, εἰ μὴ τυφλοὶ καὶ αὐτοὶ πάντες εἰσί. Πλ. Οὐ τυφλοὶ ὦ ἄριστε. ἀλλ' ἡ ἄγνοια, καὶ ἡ ἀπάτη, αἵπερ νῦν κατέχουσι τὰ πάντα, ἐπισκιάζουσιν αὐτούς. ἔτι δὲ καὶ αὐτὸς ὡς μὴ παντάπασιν ἄμορφος εἴην, προσωπεῖον περιθέμενος ἐρασμιώτατον, διάχρυσον, καὶ λιθοκόλλητον, καὶ ποικίλα ἐνδὺς ἐντυγχάνω αὐτοῖς. οἱ δὲ αὐτοπρόσωπον οἰόμενοι ὁρᾷν τὸ κάλλος, ἐρῶσι, καὶ ἀπόλλυνται μὴ ἐντυγχάνοντες. ὡς εἴ γέ τις αὐτοῖς ὅλον ἀπογυμνώσας, ἐπέδειξέ με, δῆλον ὡς κατεγίνωσκον ἂν αὑτῶν, ἀμβλυώττοντες τὰ τηλικαῦτα, καὶ ἐρῶντες ἀνεράστων καὶ ἀμόρφων πραγμάτων. Ἑρ. Τί οὖν καὶ ἐν αὐτῷ ἤδη τῷ πλουτεῖν γενόμενοι, καὶ τὸ προσωπεῖον αὐτὸ περιθέμενοι ἔτι ἐξαπατῶνται; καὶ ἤν τις ἀφαιρῆται αὐτοὺς, θᾶττον ἂν τὴν κεφαλὴν ἢ τὸ προσωπεῖον πρόοιντο; οὐ γὰρ δεῖ καὶ τότε ἀγνοεῖν εἰκὸς αὐτοὺς, ὡς ἐπίχρισος ἡ εὐμορφία ἐστιν, ἔνδοθεν τὰ πάντα ὁρῶντας. Πλ. Οὐκ ὀλίγα ὦ Ἑρμῆ καὶ πρὸς τοῦτό μοι συναγωνίζεται. Ἑρ. Τὰ ποῖα; Πλ. Ἐπειδάν τις ἐντυχὼν τὸ πρῶτον, ἀναπετάσας τὴν θύραν εἰσδέχεταί με, συμπαρεισέρχεται μετ' ἐμοῦ λαθὼν ὁ τῦφος, καὶ ἡ ἄνοια, καὶ ἡ μεγαλαυχία, καὶ ἡ μαλακία, καὶ ὕβρεις, καὶ ἀπάτη, καὶ ἄλλα ἄττα μυρία. ὑπὸ δὴ τούτων πάντων καταληφθεὶς τὴν ψυχὴν, θαυμάζει τε τὰ οὐ θαυμαστὰ, καὶ ὀρέγεται τῶν φευκτῶν. κἀμὲ τὸν πάντων ἐκείνων πατέρα τῶν εἰσεληλυθότων κακῶν τέθηπε, δορυφορούμενον ὑπ' αὐτῶν. καὶ πάντα πρότερον πάθοι ἂν, ἢ ἐμὲ προέσθαι ὑπομείνειεν ἄν. Ἑρ. Ὡς δὲ λεῖος εἶ ὦ πλοῦτε, καὶ ὀλισθηρὸς, καὶ δυσκάθεκτος, καὶ διαφευκτικὸς, οὐδεμίαν ἀντιλαβὴν παρεχόμενος βεβαίαν, ἀλλ' ὥσπερ ἐγχέλεις, ἢ οἱ ὄφεις διὰ τῶν δακτύλων δραπετεύεις, οὐκ οἶδα ὅπως. ἡ πενία δ' ἔμπαλιν ἰξώδης τε, καὶ εὐλαβὴς, καὶ μυρία τὰ ἄγκιστρα ἐκπεφυκότα ἐξ ἅπαντος τοῦ σώματος ἔχουσα, ὡς πλησιάσαντας εὐθὺς ἔχεσθαι, καὶ μὴ ἔχειν ῥᾳδίως ἀπολυθῆναι. Ἀλλὰ μεταξὺ ἤδη φλυαροῦντας ἡμᾶς πρᾶγμα οὐ μικρὸν διέλαθε. Πλ. Τὸ ποῖον; Ἑρ. ὅτι τὸν θησαυ-

ρὸν

ρεν οὐκ ἐπηγαγόμεθα, ὅπερ ἔδει μάλιστα; Πλ. Θάῤῥει τούτου γε ἕνεκα· ἐν τῇ γῇ αὐτὸν καταλείπων, ἀνέρχομαι παρ' ὑμᾶς, ἐπισκήψας ἔνδον μένειν ἐπικλεισάμενον τὴν θύραν, ἀνοίγειν δὲ μηδενί, ἢν μὴ ἐμοῦ ἀκούσῃ βοήσαντος. Ἑρ. Οὐκοῦν ἐπιβαίνωμεν ἤδη τῆς Ἀττικῆς, καί μοι ἕπου ἐχόμενος τῆς χλαμύδος, ἄχρις ἂν πρὸς τὴν ἐσχατιὰν ἀφίκωμαι. Πλ. Εὖ ποιεῖς ὦ Ἑρμῆ χειραγωγῶν, ἐπεὶ ἤν γε ἀπολίπῃς με, Ὑπερβόλῳ, τάχα ἢ Κλέωνι ἐμπεσοῦμαι περινοστῶν, ἀλλὰ τίς ὁ ψόφος οὗτός ἐστι, καθάπερ σιδήρου πρὸς λίθον; Ἑρ. Ὁ Τίμων οὑτοσὶ σκάπτει πλησίον ὀρεινὸν καὶ ὑπόλιθον γήδιον. παπαὶ, καὶ ἡ πενία πάρεστι, καὶ ὁ πόνος ἐκεῖνος. ἡ καρτερία δὲ, καὶ ἡ σοφία, καὶ ἡ ἀνδρεία, καὶ ὁ τοιοῦτος ὄχλος τῶν ὑπὸ τῷ λιμῷ ταττομένων ἁπάντων, πολὺ ἀμείνους τῶν σῶν δορυφόρων. Πλου. Τί οὖν οὐκ ἀπαλλαττόμεθα ὦ Ἑρμῆ τὴν ταχίστην; οὐ γὰρ ἄν τι ἡμεῖς δράσαιμεν ἀξιόλογον πρὸς ἄνδρα ὑπὸ τηλικούτου στρατοπέδου περιεσχημένον. Ἑρ. Ἄλλως ἔδοξε τῷ Διΐ, μὴ ἀποδειλιῶμεν οὖν. Πε. Ποῖ τοῦτον ἀπάγεις ὦ ἀργειφόντα χειραγωγῶν; Ἑρ. Ἐπὶ τουτονὶ τὸν Τίμωνα ἐπέμφθημεν ὑπὸ τοῦ Διός. Πε. Νῦν ὁ πλοῦτος ἐπὶ Τίμωνα, ὁπότε αὐτὸν ἐγὼ κακῶς ἔχοντα ὑπὸ τῆς τρυφῆς παραλαβοῦσα, τουτοισὶ παραδοῦσα, τῇ σοφίᾳ καὶ τῷ πόνῳ, γενναῖον ἄνδρα καὶ πολλοῦ ἄξιον ἀπέδειξα; οὕτως ἄρα εὐκαταφρόνητος ἡμῖν ἡ πενία δοκῶ, καὶ εὐαδίκητος, ὥσθ' ὃ μόνον κτῆμα εἶχον, ἀφαιρεῖσθέ με ἀκριβῶς πρὸς ἀρετὴν ἐξειργασμένον, ἵν' αὖθις ὁ πλοῦτος παραλαβὼν αὐτὸν, ὕβρει καὶ τύφῳ ἐγχειρίσας ὅμοιον τῷ πάλαι μαλθακὸν καὶ ἀγεννῆ καὶ ἀνόητον ἀποφήνας, ἀποδῷ πάλιν ἐμοὶ ῥάκος ἤδη γεγενημένον; Ἑρ. Ἔδοξε ταῦτα ὦ πενία τῷ Διΐ. Πε. Ἀπέρχομαι· καὶ ὑμεῖς δὲ ὦ πόνε, καὶ σοφία, καὶ οἱ λοιποὶ ἀκολουθεῖτέ μοι. οὗτος δὲ τάχα εἴσεται, οἵαν με οὖσαν ἀπολείψει, ἀγαθὴν συνεργὸν καὶ διδάσκαλον τῶν ἀρίστων, ᾗ συνὼν, ὑγιεινὸς μὲν τὸ σῶμα, ἐῤῥωμένος δὲ τὴν γνώμην διετέλεσεν, ἀνδρὸς βίον ζῶν, καὶ πρὸς αὐτὸν ἀποβλέπων, τὰ δὲ

περι-

περιττὰ καὶ πολλὰ ταῦτα, ὥσπερ ἐστὶν, ἀλλότρια ὑπολαμβάνων. Ἑρ. Ἀπέρχομεν ἡμεῖς δὲ προσίωμεν αὐτῷ. Τι. Τίνες ἐστὲ ὦ κατάρατοι; ἢ τί βουλόμενοι δεῦρο ἥκετε, ἄνδρα ἐργάτην καὶ μισθοφόρον ἐνοχλήσοντες; ἀλλ' οὐ χαίροντες ἄπιτε, μιαροὶ πάντες ὄντες. ἐγὼ γὰρ ὑμᾶς αὐτίκα μάλα βάλλων τοῖς βώλοις, καὶ τοῖς λίθοις συντρίψω. Ἑρ. Μηδαμῶς ὦ Τίμων μὴ βάλῃς. οὐ γὰρ ἀνθρώπους ὄντας βαλεῖς, ἀλλ' ἐγὼ μὲν Ἑρμῆς εἰμι, οὗτος δὲ, ὁ Πλοῦτος, ἔπεμψε δὲ ὁ Ζεὺς ἐπακούσας τῶν εὐχῶν. ὥστε ἀγαθῇ τύχῃ δέχου τὸν ὄλβον, ἀποστὰς τῶν πόνων. Τι. Καὶ ὑμεῖς οἰμώξεσθε ἤδη, καίτοι θεοὶ ὄντες, ὥς φατε. πάντας γὰρ ἅμα καὶ θεοὺς καὶ ἀνθρώπους μισῶ. τουτονὶ δὲ τὸν τυφλὸν, ὅστις ἂν ᾖ, καὶ ἐπιτρίψειν μοι δοκῶ τῇ δικέλλῃ. Πλου. Ἀπίωμεν ὦ Ἑρμῆ πρὸς τοῦ Διός, μελαγχολᾶν γὰρ ὁ ἄνθρωπος οὐ μετρίως μοι δοκεῖ, μή τι κακὸν ἀπέλθω προσλαβών. Ἑρ. Μηδὲν σκαιὸν ὦ Τίμων. ἀλλὰ τὸ πάνυ τοῦτο ἄγριον, καὶ τραχὺ καταβαλὼν, προτείνας τὼ χεῖρε, λάμβανε τὴν ἀγαθὴν τύχην, καὶ πλούτει πάλιν, καὶ ἴσθι Ἀθηναίων τὰ πρῶτα, καὶ ὑπερόρα τῶν ἀχαρίστων ἐκείνων, μόνος αὐτὸς εὐδαιμονῶν. Τι. Οὐδὲν ὑμῶν δέομαι, μὴ ἐνοχλεῖτέ μοι. ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δικέλλα, τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι, μηδενός μοι πλησιάζοντος. Ἑρ. Οὕτως ὦ τᾶν ἀπανθρώπως. τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε, κρατερόν τε; καὶ μὴν εἰκὸς ἦν μισάνθρωπον μὲν εἶναί σε, τοσαῦτα ὑπ' αὐτῶν δεινὰ πεπονθότα, μισόθεον δὲ μηδαμῶς, οὕτως ἐπιμελουμένων σου τῶν θεῶν. Τι. Ἀλλὰ σοὶ μὲν ὦ Ἑρμῆ, καὶ τῷ Διῒ πλείστη χάρις τῆς ἐπιμελείας, τουτονὶ δὲ τὸν πλοῦτον οὐκ ἂν λάβοιμι. Ἑρ. Τί δή; Τι. Ὅτι καὶ πάλαι μυρίων κακῶν μοι αἴτιος οὗτος κατέστη, κόλαξί τε παραδοὺς, καὶ ἐπιβούλους ἐπαγαγὼν, καὶ μῖσος ἐπεγείρας, καὶ ἡδυπαθείᾳ καταφθείρας, καὶ ἐπίφθονον ἀποφήνας, τέλος δὲ, ἄφνω καταλιπὼν, οὕτως ἀπίστως καὶ προδοτικῶς. ἡ βελτίστη δὲ πενία πόνοις με τοῖς ἀνδρικωτάτοις καταγυμνάσασα, καὶ μετ'

ἀλη-

ἀληθείας καὶ παῤῥησίας προσομιλοῦσα, τότε ἀναγκαῖα κάμνοντι παρεῖχε, καὶ τῶν πολλῶν ἐκείνων καταφρονεῖν ἐπαίδευεν, ἐξ αὐτοῦ ἐμοῦ τὰς ἐλπίδας ἀπαρτήσασά μοι τοῦ βίου, καὶ δείξασα ὅστις ἦν ὁ πλοῦτος ὁ ἐμὸς, ὃν οὔτε κόλαξ θωπεύων, οὔτε συκοφάντης φοβῶν, οὐ δῆμος παροξυνθεὶς, οὐκ ἐκκλησιαστὴς ψηφοφορήσας, οὐ τύραννος ἐπιβουλεύσας, ἀφελέσθαι δύναιτ᾽ ἂν ἐῤῥωμένος τοιγαροῦν ὑπὸ τῶν πόνων, τουτονὶ τὸν ἀγρὸν φιλοπόνως ἐπεργαζόμενος, οὐδὲν ὁρῶν τῶν ἐν ἄστει κακῶν, ἱκανὰ καὶ διαρκῆ ἔχω τὰ ἄλφιτα παρὰ τῆς δικέλλης. ὥστε παλίνδρομος ἄπιθι ὦ Ἑρμῆ, τὸν πλοῦτον ἀπαγαγὼν τῷ Διΐ. ἐμοὶ δὲ τοῦτο ἱκανὸν ἦν πάντας ἀνθρώπους ἡβηδὸν οἰμώζειν ποιῆσαι. Ἑρ. Μηδαμῶς ὦ ᾽γαθέ. οὐ γὰρ πάντες εἰσὶν ἐπιτήδειοι πρὸς οἰμωγήν. ἀλλ᾽ ἔα τὰ ὀργίλα ταῦτα, καὶ μειρακιώδη, καὶ τὸν πλοῦτον παράλαβε. οὔτοι ἀπόβλητά εἰσι τὰ δῶρα τὰ παρὰ τοῦ Διός. Πλοῦ. Βούλει ὦ Τίμων, δικαιολογήσομαι πρὸς σέ; ἢ χαλεπαίνεις μοι λέγοντι; Τί. Λέγε. μὴ μακρὰν μέντοι, μὴ δὲ μετὰ προοιμίων, ὥσπερ οἱ ἐπίτριπτοι ῥήτορες. ἀνέξομαι γάρ σε ὀλίγα λέγοντα διὰ τὸν Ἑρμῆν τουτονί. Πλοῦ. Ἐχρῆν μέντοι ἴσως καὶ μακρὰ εἰπεῖν, οὕτω πολλὰ ὑπὸ σοῦ κατηγορηθέντα. ὅμως δὲ ὅρα, εἴ τι σε, ὡς φῂς, ἠδίκηκα, ὃς τῶν μὲν ἡδίστων ἁπάντων αἴτιός σοι κατέστην, τιμῆς, καὶ προεδρείας, καὶ στεφάνων, καὶ τῆς ἄλλης τρυφῆς. περίβλεπτος δέ τοι καὶ ἀοίδιμος δι᾽ ἐμὲ ἦσθα, καὶ περισπούδαστος. εἰ δέ τι χαλεπὸν ἐκ τῶν κολάκων πέπονθας, ἀναίτιος ἐγώ σοι. μᾶλλον δὲ αὐτὸς ἠδίκημαι τοῦτο ὑπὸ σοῦ, διότι με οὕτως ἀτίμως ὑπέβαλλες ἀνδράσι καταράτοις, ἐπαινοῦσι, καὶ καταγοητεύουσι, καὶ πάντα τρόπον ἐπιβουλεύουσί μοι. καὶ τόγε τελευταῖον ἔφησθα, ὡς προδέδωκά σε, τοὐναντίον δὲ αὐτὸς ἐγκαλέσαιμί σοι πάντα τρόπον ἀπελαθεὶς ὑπὸ σοῦ, καὶ ἐπὶ κεφαλὴν ἐξωσθεὶς τῆς οἰκίας. τοιγαροῦν ἀντὶ μαλακῆς χλαμύδος, ταύτην τὴν διφθέραν ἡ τιμιωτάτη σοι πενία περιτέθεικεν. ὥστε μάρτυς ὁ Ἑρ-

δίκελλα, καὶ φιλτάτη διφθέρα, ὑμᾶς μὲν τῷ Πανὶ τούτῳ ἀναθεῖναι καλόν. αὐτὸς δὲ ἤδη πᾶσαν πριάμενος τὴν ἐσχατιὰν, πυργίον οἰκοδομησάμενος ὑπὲρ τοῦ θησαυροῦ, μόνῳ ἐμοὶ ἱκανὸν ἐνδιαιτᾶσθαι, τὸν αὐτὸν καὶ τάφον ἀποθανὼν ἕξειν μοι δοκῶ. δεδόχθω δὲ ταῦτα, καὶ νενομοθετήσθω πρὸς τὸν ἐπίλοιπον βίον, ἀμιξία πρὸς ἅπαντας, καὶ ἀγνωσία. καὶ ὑπεροψία. φίλος δὲ, ἢ ξένος, ἢ ἑταῖρος ἢ ἐλέου βωμὸς ὕθλος πολύς. καὶ τὸ οἰκτεῖραι δακρύοντα, ἢ ἐπικουρῆσαι δεομένῳ, παρανομία, καὶ κατάλυσις τῶν ἐθῶν. μονήρης δὲ ἡ δίαιτα, καθάπερ τοῖς λύκοις. καὶ φίλος εἷς Τίμων, οἱ δὲ ἄλλοι πάντες, ἐχθροὶ, καὶ ἐπίβουλοι, καὶ τὸ προσομιλῆσαί τινι αὐτῶν, μίασμα, καὶ εἴ τινα ἴδω μόνον, ἀποφρὰς ἡ ἡμέρα, καὶ ὅλως ἀνδριάντων λιθίνων, ἢ χαλκῶν, μηδὲν ἡμῖν διαφερέτωσαν, καὶ μήτε κήρυκα δεχώμεθα παρ' αὐτῶν, μήτε σπονδὰς σπενδώμεθα. ἡ ἐρημία δὲ, ὅρος ἔστω πρὸς αὐτούς. φυλέται δὲ, καὶ φράτορες, καὶ δημόται, καὶ ἡ πατρὶς αὐτὴ, ψυχρὰ καὶ ἀνωφελῆ ὀνόματα, καὶ ἀνοήτων ἀνδρῶν φιλοτιμήματα. πλουτείτω δὲ Τίμων μόνος, καὶ ὑπεροράτω ἁπάντων. καὶ τρυφάτω μόνος καθ' ἑαυτὸν, κολακείας καὶ ἐπαίνων φορτικῶν ἀπηλλαγμένος. καὶ θεοῖς θυέτω, καὶ εὐωχείτω μόνος ἑαυτῷ γείτων καὶ ὅμορος ἐκσείων τῶν ἄλλων. καὶ ἅπαξ ἑαυτὸν δεξιώσασθαι δεδόχθω, ἢν δέῃ ἀποθανεῖν, ἢ αὐτῷ στέφανον ἐπενεγκεῖν. καὶ ὄνομα μὲν ἔστω ὁ μισάνθρωπος ἥδιστον. τοῦ τρόπου δὲ γνωρίσματα, δυσκολία, καὶ τραχύτης, καὶ σκαιότης, καὶ ὀργὴ, καὶ ἀπανθρωπία, εἰ δέ τινα ἴδοιμι ἐν πυρὶ διαφθειρόμενον, καὶ σβεννύναι ἱκετεύοντα, πίττῃ καὶ ἐλαίῳ κατασβεννύναι. καὶ ἢν τινα τοῦ χειμῶνος ὁ ποταμὸς παραφέρῃ, ὁ δὲ τὰς χεῖρας ὀρέγων, ἀντιλαβέσθαι δέηται, ὠθεῖν καὶ τοῦτον ἐπὶ κεφαλὴν βαπτίζοντα, ὡς μὴ δὲ ἀνακύψαι δυνηθείη, οὕτω γὰρ ἂν τὴν ἴσην ἀπολάβοιεν. εἰσηγήσατο τὸν νόμον Τίμων Ἐχεκρατίδης κολλυτεὺς, ἐπεψήφισε τῇ ἐκκλησίᾳ Τίμων ὁ αὐτὸς, εἶεν. ταῦ-

ταῦτα ἡμῖν δεδόχθω, καὶ ἀνδρικῶς ἐμμένωμεν αὐτοῖς. πλὴν ἀλλὰ περὶ πολλοῦ ἂν ἐποιησάμην ἅπασι γνώρισμά πως ταῦτα γενέσθαι, διότι ὑπερπλουτῶ· ἀγχόνη γὰρ ἂν τὸ πρᾶγμα γένοιτο αὐτοῖς. καίτοι τί τοῦτο; φεῦ τοῦ τάχους. πανταχόθεν συνθέουσι κεκονιμένοι, καὶ πνευστιῶντες, οὐκ οἶδα ὅθεν ὀσφραινόμενοι τοῦ χρυσίου. πότερον οὖν ἐπὶ τὸν πάγον τοῦτον ἀναβὰς ἀπελαύνω αὐτοὺς τοῖς λίθοις ἐξ ὑπερδεξίων ἀκροβολιζόμενος; ἢ τό γε τοσοῦτον παρανομήσομεν, εἰσάπαξ αὐτοῖς ὁμιλήσαντες, ὡς πλέον ἀνιῶντο παρορώμενοι; τοῦτο οἶμαι καὶ ἄμεινον. ὥστε δεχώμεθα ἤδη αὐτοὺς ὑποστάντες, φέρε ἴδω τίς ὁ πρῶτος αὐτῶν οὗτός ἐστι; Γναθωνίδης ὁ κόλαξ, ὁ πρώην ἔρανον αἰτήσαντί μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς. ἀλλ' εὖγε ἐποίησεν ἀφικόμενος, οἰμώξεται γὰρ πρὸ τῶν ἄλλων. Γνα. Οὐκ ἐγὼ ἔλεγον, ὡς οὐκ ἀμελήσουσι Τίμωνος ἀγαθοῦ ἀνδρὸς οἱ θεοί; χαῖρε Τίμων εὐμορφώτατε, καὶ ἥδιστε, καὶ συμποτικώτατε. Τί. Νὴ καὶ σύγε ὦ Γναθωνίδη γυπῶν ἁπάντων βορώτατε, καὶ ἀνθρώπων ἐπιτριπτότατε. Γνα. Ἀεὶ φιλοσκώμμων σύγε. ἀλλὰ ποῦ τὸ συμπόσιον; ὡς καινόν τι σοι ᾆσμα τῶν νεοδιδάκτων διθυράμβων ἥκω κομίζων; Τί. Καὶ μὴν ἐλεγεῖά γε ᾄσῃ μάλα περιπαθῶς ὑπὸ ταύτῃ τῇ δικέλλῃ. Γνα. Τί τοῦτο; παίεις ὦ Τίμων; μαρτύρομαι ὦ Ἡράκλεις. ἰού, ἰού προκαλοῦμαί σε τραύματος εἰς Ἄρειον πάγον. Τί. Καὶ μὴν ἄνγε μικρὸν ἐπιβραδύνῃς, φόνου τάχα προκεκλήσῃ με. Γνα. Μηδαμῶς, ἀλλὰ σύγε πάντως τὸ τραῦμα ἴασαι μικρὸν ἐπιπάσας τοῦ χρυσίου· δεινῶς γὰρ ἴσχαιμόν ἐστι τὸ φάρμακον. Τί. Ἔτι μένεις; Γνα. Ἄπειμι, σὺ δὲ οὐ χαιρήσεις οὕτω σκαιὸς ἐκ χρηστοῦ γενόμενος. Τί. Τίς οὗτός ἐστιν ὁ προσιών, ὁ ἀναφαλαντίας; Φιλιάδης, Κολάκων ἁπάντων ὁ βδελυρώτατος. οὗτος δὲ παρ' ἐμοῦ ἀγρὸν ὅλον λαβών, καὶ τῇ θυγατρὶ προῖκα δύο τάλαντα μισθὸν τοῦ ἐπαίνου, ὁπότε ᾄσαντά με, πάντων σιωπώντων, μόνος ὑπερεπῄνεσεν, ἐπω-

μοσά-

μοσάμενος ᾠδικώτερον εἶναι τῶν κύκνων, ἐπειδὴ νοσοῦντα πρώην εἶδέ με, καὶ προσῆλθον ἐπικουρίας δεόμενος, πληγὰς ὁ γενναῖος προσενέτεινε. Φι. Ὢ τῆς ἀναισχυντίας. νῦν Τίμωνα γνωρίζετε; νῦν Γναθωνίδης φίλος καὶ συμπότης; τοιγαροῦν δίκαια πέπονθεν οὕτως ἀχάριστος ὤν. ἡμεῖς δὲ οἱ πάλαι ξυνήθεις, καὶ ξυνέφηβοι καὶ δημόται ὅμως μετριάζομεν, ὡς μὴ ἐπιπηδᾶν δοκῶμεν. Χαῖρε ὦ δέσποτα. καὶ ὅπως τοὺς μιαροὺς τούτους κόλακας φυλάξῃ, τοὺς ἐπὶ τῆς τραπέζης μόνον, τὰ ἄλλα δὲ, κοράκων οὐδὲν διαφέροντας, οὐκ ἔτι πιστευτέα τῶν νῦν οὐδενί. πάντες ἀχάριστοι καὶ πονηροί. ἐγὼ δὲ τάλαντόν σοι κομίζων, ὡς ἔχοις πρὸς τὰ κατεπείγοντα χρῆσθαι, καθ᾽ ὁδὸν ἤδη πλησίον ἤκουσα ὡς πλουτοίης ὑπερμεγέθη τινὰ πλοῦτον. ἥκω τοιγαροῦν ταῦτά σε νουθετήσων. καίτοι σύ γε οὕτω σοφὸς ὢν, οὐδὲν ἴσως δεήσῃ τῶν παρ᾽ ἐμοῦ λόγων, ὃς καὶ τῷ Νέστορι τὸ δέον παραινέσειας ἄν. Τί. Ἔσται ταῦτα ὦ Φιλιάδη. πλὴν ἀλλὰ πρόσιθι, ὡς καὶ σὲ φιλοφρονήσομαι τῇ δικέλλῃ. Φι. Ἄνθρωποι, κατέαγα τοῦ κρανίου ὑπὸ τοῦ ἀχαρίστου, διότι τὰ συμφέροντα ἐνουθέτουν αὐτόν. Τί. Ἰδοὺ τρίτος οὗτος ὁ ῥήτωρ Δημέας προσέρχεται, ψήφισμα ἔχων ἐν τῇ δεξιᾷ, καὶ συγγενὴς ἡμέτερος εἶναι λέγων. οὗτος ἑκκαίδεκα παρ᾽ ἐμοῦ τάλαντα μιᾶς ἡμέρας ἐκτίσας τῇ πόλει, κατεδεδίκαστο γὰρ, καὶ ἐδέδετο, οὐκ ἀποδιδοὺς, κἀγὼ ἐλεήσας, ἐλυσάμην αὐτὸν, ἐπειδὴ πρώην ἔλαχε τῇ Ἐρεχθηΐδι φυλῇ διανέμειν τὸ θεωρικὸν κἀγὼ προσῆλθον αἰτῶν τὸ γιγνόμενον, οὐκ ἔφη γνωρίζειν πολίτην ὄντα με. Δη. Χαῖρε ὦ Τίμων, τὸ μέγα ὄφελος τοῦ γένους, τὸ ἔρεισμα τῶν Ἀθηναίων, τὸ πρόβλημα τῆς Ἑλλάδος, καὶ μὴν πάλαι σε ὁ δῆμος ξυνειλεγμένος, καὶ αἱ βουλαὶ ἀμφότεραι περιμένουσι. πρότερον δὲ ἄκουσον τὸ ψήφισμα, ὃ ὑπὲρ σοῦ γέγραφα. Ἐπειδὴ Τίμων ὁ Ἐχεκρατίδου Κολυττεὺς, ἀνὴρ οὐ μόνον καλὸς κἀγαθὸς, ἀλλὰ καὶ σοφὸς, ὡς οὐκ ἄλλος ἐν τῇ Ἑλλά-


δι, παρὰ πάντα χρόνον διατελεῖ τὰ ἄριστα πράττων τῇ πόλει. νενίκηκε δὲ πὺξ, καὶ πάλην, καὶ δρόμον ἐν ὀλυμπίᾳ μιᾶς ἡμέρας, καὶ τελείῳ ἅρματι, καὶ συνωρίδι πωλικῇ. Τί. Ἀλλ' οὐδὲ ἐθεώρησα ἐγὼ πώποτε εἰς ὀλυμπίαν. Δη. Τί οὖν; θεωρήσεις ὕστερον. τὰ τοιαῦτα δὲ πολλὰ προσκεῖσθαι ἄμεινον. καὶ ἠρίστευσε δὲ ὑπὲρ τῆς πόλεως πέρυσι πρὸς Ἀχαρνέας, καὶ κατέκοψε Πελοποννησίων δύο μοίρας. Τί. Πῶς; διὰ γὰρ τὸ μὴ ἔχειν ὅπλα, οὐδὲ προεγράφην ἐν τῷ καταλόγῳ. Δη. Μέτρια τὰ περὶ σαυτοῦ λέγεις, ἡμεῖς δὲ ἀχάριστοι ἂν εἴημεν ἀμνημονοῦντες. ἔτι δὲ καὶ ψηφίσματα γράφων, καὶ συμβουλεύων, καὶ στρατηγῶν, οὐ μικρὰ ὠφέλησε τὴν πόλιν. ἐπὶ τούτοις ἅπασι δέδοκται τῇ βουλῇ, καὶ τῷ δήμῳ, καὶ τῇ Ἡλιαίᾳ κατὰ φυλὰς καὶ τοῖς δήμοις ἰδίᾳ, καὶ κοινῇ πᾶσι χρυσοῦν ἀναστῆσαι τὸν Τίμωνα, παρὰ τὴν Ἀθηνᾶν ἐν τῇ ἀκροπόλει, κεραυνὸν ἐν τῇ δεξιᾷ ἔχοντα, καὶ ἀκτῖνας ἐπὶ τῇ κεφαλῇ, καὶ στεφανῶσαι αὐτὸν χρυσοῖς στεφάνοις ἑπτὰ, καὶ ἀνακηρυχθῆναι τοὺς στεφάνους σήμερον διονυσίοις τραγῳδοῖς καινοῖς. ἀχθῆναι γὰρ δι' αὐτὸν δεῖ τήμερον τὰ διονύσια. εἶπε τὴν γνώμην Δημέας ὁ ῥήτωρ συγγενὴς αὐτοῦ, ἀγχιστεὺς, καὶ μαθητὴς αὐτοῦ ὤν. καὶ γὰρ ῥήτωρ ἄριστος ὁ Τίμων, καὶ τὰ ἄλλα πάντα ὁπόσα ἂν ἐθέλοι. τουτὶ μὲν οὖν σοι τὸ ψήφισμα. ἐγὼ δέ σοι καὶ τὸν υἱὸν ἐβουλόμην ἀγαγεῖν παρὰ σὲ, ὃν ἐπὶ τῷ σῷ ὀνόματι Τίμωνα ὠνόμακα. Τί. Πῶς ὦ Δημέα, ὃς οὐδὲ γεγάμηκας, ὅσα γε καὶ ἡμᾶς εἰδέναι. Δη. Ἀλλὰ γαμῶ, ἢν διδῷ θεὸς ἐς νέωτα, καὶ παιδοποιήσομαι. καὶ τὸ γεννηθησόμενον, ἄρρεν γὰρ ἔσται, Τίμωνα ἤδη καλῶ. Τί. Οὐκ οἶδα, εἰ γαμήσεις ἔτι ὦ οὗτος, τηλικαύτην παρ' ἐμοῦ πληγὴν λαμβάνων. Δη. Οἴμοι. Τί τοῦτο; τυραννίδι Τίμων ἐπιχειρεῖς, καὶ τύπτεις τοὺς ἐλευθέρους, οὐ καθαρῶς ἐλεύθερος, οὐδ' ἀστὸς ὤν; ἀλλὰ δώσεις ἐν τάχει τὴν δίκην, τά τε ἄλλα, καὶ ὅτι τὴν ἀκρό-

ἀκρό-

ἀκρόπολιν ἐνέπρησας. Τίμ. Ἀλλ' οὐκ ἐμπέπρησται ὦ μιαρὲ ἡ ἀκρόπολις. ὥστε δῆλος εἶ συκοφαντῶν. Δη. Ἀλλὰ καὶ πλουτεῖς, τὸν ὀπισθόδομον διορύξας. Τί. Οὐ διώρυκται οὐδὲ οὗτος. ὥστε ἀπίθανά σου καὶ ταῦτα. Δημ. Διωρυχθήσεται μὲν ὕστερον, ἤδη δὲ σὺ πάντα τὰ ἐν αὐτῷ ἔχεις. Τί. Οὐκοῦν καὶ ἄλλην λάμβανε. Δημ. Οἴμοι τὸ μετάφρενον. Τί. Μὴ κέκραχθι, κατοίσω γάρ σοι καὶ τρίτην. ἐπεὶ γελοῖα πάμπαν πάθοιμι, δύο μὲν Λακεδαιμονίων μοίρας κατακόψας ἄνοπλος, ἓν δὲ μιαρὸν ἀνθρώπιον μὴ ἐπιτρίψας. μάτην γὰρ ἂν εἴην καὶ νενικηκὼς ὀλύμπια πὺξ, καὶ πάλην. ἀλλὰ τί τοῦτο; οὐ Θρασυκλῆς ὁ φιλόσοφος οὗτός ἐστιν; οὐ μὲν οὖν ἄλλος. ἐκπετάσας γοῦν τὸν πώγωνα, καὶ τὰς ὀφρῦς ἀνατείνας, καὶ βρενθυόμενός τι πρὸς αὑτὸν ἔρχεται, τιτανῶδες βλέπων, ἀνασεσοβημένος τὴν ἐπὶ τῷ μετώπῳ κόμην, Αὐτοβορέας τις, ἢ Τρίτων, οἵους ὁ Ζεῦξις ἔγραψεν. οὗτος ὁ τὸ σχῆμα εὐσταλὴς, καὶ κόσμιος τὸ βάδισμα καὶ σωφρονικὸς τὴν ἀναβολὴν, ἕωθεν μυρία ὅσα περὶ ἀρετῆς διεξιὼν, καὶ τῶν ἡδονῇ χαιρόντων κατηγορῶν, καὶ τὸ ὀλιγαρκὲς ἐπαινῶν, ἐπειδὴ λουσάμενος ἀφίκοιτο ἐπὶ τὸ δεῖπνον, καὶ ὁ παῖς μεγάλην τὴν κύλικα ὀρέξειεν αὐτῷ (τῷ ζωροτέρῳ δὲ χαίρει μάλιστα) καθάπερ τὸ Λήθης ὕδωρ ἐκπιὼν, ἐναντιώτατα ἐπιδείκνυται τοῖς ἑωθινοῖς ἐκείνοις λόγοις, προαρπάζων ὥσπερ Ἰκτῖνος τὰ ὄψα, καὶ τὸν πλησίον παραγκωνιζόμενος, καρύκης τὸ γένειον ἀνάπλεως, κυνηδὸν ἐμφορούμενος, ἐπικεκυφὼς, καθάπερ ἐν ταῖς λοπάσι τὴν ἀρετὴν εὑρήσειν προσδοκῶν, ἀκριβῶς τὰ τρύβλια τῷ λιχανῷ ἀποσμήχων, ὡς μὴ δὲ ὀλίγον τοῦ μυττωτοῦ καταλίποι. μεμψίμοιρος ἀεὶ, ὡς τὸν πλακοῦντα ὅλον, ἢ τὸν σῦν μόνος τῶν ἄλλων λάβοι, ὅτι περ λιχνείας καὶ ἀπληστίας ὄφελος. μέθυσος, καὶ πάροινος, οὐκ ἄχρις ᾠδῆς καὶ ὀρχηστύος μόνον, ἀλλὰ καὶ λοιδορίας, καὶ ὀργῆς προσέτι καὶ λόγοι πολλοὶ ἐπὶ τῇ κύλικι, τότε δὴ καὶ μάλιστα περὶ σωφροσύνης καὶ κοσμιότητος. καὶ ταῦτα φησὶν

τριμοιρίαν φέρεσθαι δίκαιος. ἐμοὶ δὲ καίτοι οὐκ ἐμαυτοῦ χάριν αἰτῶ, ἀλλ' ὅπως μεταδῶ τῶν ἑταίρων τοῖς δεομένοις, ἱκανὸν εἰ ταύτην τὴν πήραν ἐμπλήσας παράσχοις, οὐδ' ὅλους δύο μεδίμνους χωροῦσαν Αἰγινητικούς. ὀλιγαρκῆ δὲ καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφοῦντα, καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν. **Τί.** Ἐπαινῶ ταῦτά σου ὦ Θρασύκλεις. πρὸ γοῦν τῆς πήρας, εἰ δοκεῖ, φέρε σοι τὴν κεφαλὴν ἐμπλήσω κονδύλων, ἐπιμετρήσας τῇ δικέλλῃ. Θρασυ. Ὦ δημοκρατία καὶ νόμοι, παιόμεθα ὑπὸ τοῦ καταράτου ἐν ἐλευθέρᾳ τῇ πόλει. **Τί.** Τί ἀγανακτεῖς ὦ 'γαθὲ Θρασύκλεις; μῶν παρακέκρουσμαί σε; καὶ μὴν ἐπεμβαλῶ χοίνικας ὑπὲρ τὸ μέτρον τέτταρας; ἀλλὰ τί τοῦτο; πολλοὶ ξυνέρχονται. Βλεψίας ἐκεῖνος, καὶ Λάχης, καὶ Γνίφων, καὶ ὅλως τὸ σύνταγμα τῶν οἰμωξομένων. ὥστε τί οὐκ ἐπὶ τὴν πέτραν ταύτην ἀνελθὼν, τὴν μὲν δίκελλαν ὀλίγον ἀναπαύω πάλαι πεπονηκυῖαν, αὐτὸς δὲ ὅτι πλείστους λίθους ξυμφορήσας, ἐπιχαλαζῶ πόρρωθεν αὐτούς; Μὴ βάλλε ὦ Τίμων, ἄπιμεν γάρ. **Τίμ.** Ἀλλ' οὐκ ἀναιμωτί γε ὑμεῖς, οὐδὲ ἄνευ τραυμάτων.





ΞΕΝΟΦΩ͂ΝΤΟΣ

ἈΠΟΜΝΗΜΟΝΕΥΜΆΤΩΝ

Βιβλίον τέταρτον.

ΟΥ͂τω δὲ ὁ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε τῷ σκοπουμένῳ τοῦτο, καὶ εἰ μετρίως αἰσθανομένῳ, φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι καὶ μετ' ἐκείνου διατρίβειν, ὁπουοῦν καὶ ἐν ὁτῳοῦν πράγματι. ἐπεὶ καὶ τὸ ἐκείνου μεμνῆσθαι μὴ παρόντος, οὐ μικρὰ ὠφελεῖ τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι καὶ ἀποδεχομένους ἐκεῖνον. καὶ γὰρ παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι. πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾶν, φανερὸς δ' ἦν οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχοιεν, καὶ μνημονεύειν ἃ ἂν μάθοιεν, καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων, δι' ὧν ἔστιν οἰκίαν τε καλῶς καὶ πόλιν, καὶ τὸ ὅλον, ἀνθρώποις τε καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. τοὺς γὰρ τοιούτους ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι, καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν. οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ᾔει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι, μαθήσεως δὲ καταφρονοῦντας, ἐδίδασκεν ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται. ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθεῖεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυ-

κυνῶν τῶν εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας, ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας. ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐρρωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι· (πλεῖστα γὰρ καὶ μέγιστα ἀγαθὰ ἐργάζεσθαι) ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενομένους, κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι. κρίνειν γὰρ οὐκ ἐπισταμένους ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασι. μεγαλείους δὲ καὶ σφοδροὺς ὄντας, δυσκαθέκτους τε καὶ δυσαποτρέπτους εἶναι. διὸ πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζεσθαι. τοὺς δ᾿ ἐπὶ πλούτῳ μέγα φρονοῦντας, καὶ νομίζοντας οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δὲ σφίσι τὸν πλοῦτον οἰομένους πρὸς τὸ ἐξαπράττεσθαί τε ὅ, τι ἂν βούλωνται, καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου, λέγων ὅτι μωρὸς μὲν εἴη, εἴτις οἴεται, μὴ μαθὼν, τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι· μωρὸς δ᾿, εἴτις μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον ὅ, τι ἂν βούληται πορίζομενος, οἴεται δυνήσεσθαι τὰ συμφέροντα πράττειν· ἠλίθιος δ᾿ εἴτις μὴ δυνάμενος τὰ συμφέροντα πράττειν, οὔτε πράττειν δεῖν οἴεται, καὶ τὰ πρὸς τὸν βίον αὑτῷ ἢ καλῶς ἢ ἱκανῶς παρεσκευάσθαι· ἠλίθιος δὲ καὶ εἴτις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τι ἀγαθὸς εἶναι, ἢ μηδὲν ἀγαθὸς εἶναι δοκῶν εὐδοκιμήσειν. Τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι, καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ, ὡς προσεφέρετο, νῦν διηγήσομαι. καταμαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ, καὶ μεγάλας ἐλπίδας ἔχοντα πάντων διοίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν, πρῶτον μὲν αἰσθανόμε-

νος

τος αὐτὸν διὰ νεότητα οὔπω εἰς τὴν ἀγορὰν εἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξασθαι, καθίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ᾔει, τῶν μεθ' αὑτοῦ τινὰς ἔχων. καὶ πρῶτον μὲν πυνθανομένου τινὸς πότερον Θεμιστοκλῆς διὰ συνουσίαν τινὸς τῶν σοφῶν, ἢ φύσει τοσοῦτον διήνεγκε τῶν πολιτῶν, ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν πόλιν ὁπότε σπουδαίου ἀνδρὸς δεηθείη, ὁ Σωκράτης βουλόμενος κινεῖν τὸν Εὐθύδημον, εὔηθες ἔφη εἶναι τὸ οἴεσθαι τὰς μὲν ὀλίγου ἀξίας τέχνας μὴ γίγνεσθαι σπουδαίους ἄνευ διδασκάλων ἱκανῶν, τὸ δὲ προεστάναι πόλεως, πάντων ἔργων μέγιστον ὄν, ἀπὸ ταὐτομάτου παραγίγνεσθαι τοῖς ἀνθρώποις. Πάλιν δέ ποτε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν ἀποχωροῦντα τῆς συνεδρείας, καὶ φυλαττόμενον μὴ δόξῃ τὸν Σωκράτην θαυμάζειν ἐπὶ σοφίᾳ, Ὅτι μὲν, ἔφη, ὦ ἄνδρες, Εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως λόγον περί τινος προτιθείσης, οὐκ ἀφέξεται τοῦ συμβουλεύειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει. δοκεῖ δέ μοι καλὸν προοίμιον τῶν δημηγοριῶν παρασκευάσασθαι, φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. δῆλον γὰρ ὅτι λέγειν ἀρχόμενος ὧδε προοιμιάσεται, Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, οὐδὲν ἔμαθον, οὐδ' ἀκούων τινὰς εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς, ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμελήθην τοῦ διδάσκαλόν τινά μοι γενέσθαι τῶν ἐπισταμένων· ἀλλὰ καὶ τἀναντία· διατετέλεκα γὰρ φεύγων οὐ μόνον τὸ μανθάνειν τι παρά τινος, ἀλλὰ καὶ τὸ δόξαι. ὅμως δὲ ὅ, τι ἂν ἀπ' αὐτομάτου ἐπήει μοι, συμβουλεύσω ὑμῖν. ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι καὶ τοῖς βουλομένοις παρὰ τῆς πόλεως ἰατρικὸν ἔργον λαβεῖν, ἐπιτήδειον γ' ἂν αὐτοῖς εἴη τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν, Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον, οὐδ' ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν ἰατρῶν οὐδένα. διατετέλεκα γὰρ φυλαττόμενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν, ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι τὴν τέ-

χνην

χνίων ταύτην. ὅμως δὲ μοι τὸ ἀτεχνὸν ἔργον δοτε· πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μανθάνειν. Πάντες οὖν οἱ παρόντες ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ. ἐπεὶ δὲ φανερὸς ἦν ὁ Εὐθύδημος ἤδη μὲν οἷς ὁ Σωκράτης λέγοι προσέχων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγεσθαι, καὶ νομίζων τῇ σιωπῇ σωφροσύνης δόξαν περιβάλλεσθαι, τότε ὁ Σωκράτης, βουλόμενος αὐτὸν παῦσαι τούτου, Θαυμαστὸν γὰρ, ἔφη, τί ποτε οἱ βουλόμενοι κιθαρίζειν, ἢ αὐλεῖν, ἢ ἱππεύειν, ἢ ἄλλο τι τῶν τοιούτων ἱκανοὶ γενέσθαι, πειρῶνται ὡς συνεχέστατα ποιεῖν ὅ, τι ἂν βούλωνται δυνατοὶ γενέσθαι, καὶ οὐ καθ᾽ ἑαυτοὺς, ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶναι, πάντα ποιοῦντες καὶ ὑπομένοντες ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς ἐκείνων γνώμης ποιεῖν, ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι· τῶν δὲ βουλομένων δυνατῶν γενέσθαι λέγειν τε καὶ πράττειν τὰ πολιτικὰ, νομίζουσί τινες ἄνευ παρασκευῆς καὶ ἐπιμελείας αὐτόματοι ἐξαίφνης δυνατοὶ ταῦτα ποιεῖν ἔσεσθαι. καίτοιγε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα φαίνεται, ὅσωπερ πλειόνων περὶ ταῦτα πραγματευομένων ἐλάττους οἱ κατεργαζόμενοι γίγνονται. δῆλον οὖν ὅτι καὶ ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυροτέρας οἱ τούτων ἐφιέμενοι ἢ οἱ ἐκείνων. κατ᾽ ἀρχὰς μὲν οὖν ἀκούοντος Εὐθυδήμου τοιούτους λόγους ἔλεγε Σωκράτης. ὡς δ᾽ ᾔσθετο αὐτὸν ἑτοιμότερον ὑπομένοντα ὅτε διαλέγοιτο, καὶ προθυμότερον ἀκούοντα, μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον· παρακαθεζομένου δ᾽ αὐτῷ τοῦ Εὐθυδήμου Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, τῷ ὄντι, ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆξας τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; Νὴ τὸν Δί᾽, ἔφη, ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι ὡς ἂν δύνωμαι πλεῖστα. Νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, ἀγαμαί σου διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον ἢ σοφίας. δῆλον γὰρ ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους. Καὶ ὁ

Εὐθύ-

Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκρά-
τει ὀρθῶς μετιέναι τὴν σοφίαν. Ὁ δὲ καταμαθὼν αὐτὸν ἡσθέν-
τα τῷ ἐπαίνῳ τούτῳ, Τί δὴ βουλόμενος ἀγαθὸς γενέσθαι,
ἔφη, ὦ Εὐθύδημε, συλλέγεις τὰ γράμματα; Ἐπεὶ δὲ διεσιώ-
πησεν ὁ Εὐθύδημος, σκοπῶν ὅ, τι ἀποκρίναιτο, πάλιν ὁ Σω-
κράτης, Ἆρα μὴ ἰατρός, ἔφη; πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι συγ-
γράμματα. Καὶ ὁ Εὐθύδημος, Μὰ Δί', ἔφη, οὐκ ἔγωγε. Ἀλ-
λὰ μὴ ἀρχιτέκτων βούλει γενέσθαι; γνωμονικοῦ γὰρ ἀνδρὸς καὶ
τοῦτο δεῖ. Οὔκουν ἔγωγ', ἔφη. Ἀλλὰ μὴ γεωμέτρης ἐπιθυμεῖς,
ἔφη, γενέσθαι ἀγαθός, ὥσπερ ὁ Θεόδωρος; Οὐδὲ γεωμέτρης,
ἔφη. Ἀλλὰ μὴ ἀστρολόγος, ἔφη, βούλει γενέσθαι; Ὡς δὲ καὶ
τοῦτο ἠρνεῖτο, Ἀλλὰ μὴ ῥαψῳδός, ἔφη; καὶ γὰρ τὰ Ὁμήρου σέ
φασιν ἔπη πάντα κεκτῆσθαι. Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. τοὺς
γάρ τοι ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πά-
νυ ἠλιθίους ὄντας. Καὶ ὁ Σωκράτης ἔφη, Οὐ δήπου ὦ Εὐθύ-
δημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ
γίγνονται καὶ οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ, καὶ ὠφέλιμοι τοῖς
τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; Καὶ ὁ Εὐθύδημος, Σφόδρα γ',
ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. Νὴ Δί', ἔφη ὁ
Σωκράτης, τῆς καλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης.
ἔστι γὰρ τῶν βασιλέων αὕτη, καὶ καλεῖται βασιλική. Ἀτὰρ,
ἔφη, κατανενόηκας εἰ οἷόν τ' ἐστὶ μὴ ὄντα δίκαιον, ἀγαθὸν ταῦ-
τα γενέσθαι; Καὶ μάλα, ἔφη, καὶ οὐχ οἷόν τέ γε ἄνευ δικαιο-
σύνης ἀγαθὸν πολίτην γενέσθαι. Τί οὖν; ἔφη, σὺ δὲ τοῦτο
κατείργασαι; Οἶμαί γ', ἔφη, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον
φανῆναι δίκαιος. Ἆρ' οὖν, ἔφη, τῶν δικαίων ἐστὶν ἔργα ὥσπερ τῶν
τεκτόνων; Ἔστι μέντοι, ἔφη. Ἆρ' οὖν ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ
ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν διεξη-
γήσασθαι; Μὴ οὖν, ἔφη ὁ Εὐθύδημος, οὐ δύναμαι ἐγὼ τὰ τῆς
δικαιοσύνης ἔργα ἐξηγήσασθαι; Καὶ νὴ Δί' ἔγωγε τὰ τῆς ἀ-
δικίας. ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν τοιαῦτα ὁρᾶν τε

καὶ

καὶ ἀκούειν. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν δέλτα, ἐνταυθοῖ δὲ ἄλφα, εἶτα ὅ,τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ δέλτα τιθῶμεν, ὅ,τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ ἄλφα; Εἴ τι σοὶ δοκεῖ, ἔφη, προσδεῖν τούτων, ποίει ταῦτα. Καὶ ὁ Σωκράτης γράψας, ὥσπερ εἶπεν, Οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις ψεύδεσθαι; Ἔστι μέντοι, ἔφη. Ποτέρωσε οὖν, ἔφη, θῶμεν τοῦτο; Δῆλον, ἔφη, ὅτι πρὸς τὴν ἀδικίαν. Οὐκοῦν, ἔφη, καὶ τὸ ἐξαπατᾶν ἐστι; Καὶ μάλα; ἔφη. Τοῦτο οὖν ποτέρωσε θῶμεν; Καὶ τοῦτο δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Τί δὲ τὸ κακουργεῖν; Καὶ τοῦτο, ἔφη. Τὸ δὲ ἀνδραποδίζεσθαι; Καὶ τοῦτο. Πρὸς δικαιοσύνην οὐκ οὖν ἡμῖν τούτων κείσεται, ὦ Εὐθύδημε. Δεινὸν γὰρ ἂν εἴη, ἔφη. Τί δὲ, ἐάν τις στρατηγὸς αἱρεθεὶς, ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; Οὐ δῆτα, ἔφη. Δίκαια δὲ ποιεῖν οὐ φήσομεν; Καὶ μάλα. Τί δ' ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; Δίκαιον, ἔφη, καὶ τοῦτο. Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; Καὶ μάλα, ἔφη. ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπελάμβανον πρὸς τοὺς φίλους μόνον ταῦτ' ἐρωτᾶν. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, πάντα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; Ἔοικεν, ἔφη. Βούλει οὖν, ἔφη, ταῦτα οὕτω θέντες, διορισώμεθα πάλιν, πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους, ἄδικον. ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἀπλούστατον εἶναι; Πάνυ μὲν οὖν, ἔφη ὁ Εὐθύδημος. Τί οὖν, ἔφη ὁ Σωκράτης, ἐάν τις στρατηγὸς ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσῃ συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ παύσῃ τὰς ἀθυμίας τοῦ στρατεύματος, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; Δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. Ἐὰν δέ τις υἱὸν ἑαυτοῦ, δεόμενον φαρμακείας, καὶ μὴ προσιέμενον φάρμακον, ἐξαπατήσας, ὡς σιτίον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως ὑγιᾶ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ

αὐ-

αὐτό. Τί δὲ ἄν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτὸν, κλέψῃ ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; Καὶ τοῦτο, νὴ Δί', ἔφη, πρὸς τὴν δικαιοσύνην. Λέγεις, ἔφη, σὺ οὖν πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἀπλοΐζεσθαι. Μὰ Δί' οὐ δῆτα, ἔφη, ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. Δεῖ γέ τοι, ἔφη ὁ Σωκράτης, ἐξεῖναι πολὺ μᾶλλον ἢ μὴ ὀρθῶς τιθέναι. Τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ, ἵνα μηδὲ τοῦτο παραλείπωμεν ἄσκεπτον, πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ ἄκων; Ἀλλ', ὦ Σώκρατες, οὐκέτι μὲν ἔγωγε πιστεύω οἷς ἀποκρίνομαι. καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην. ὅμως δὲ εἰρήσθω μοι ἀδικώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος. Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμάτων; Ἔμοιγε. Πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; Ὃς ἂν ἑκὼν, ἔγωγε. δύναιτο γὰρ ἂν, ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. Οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων, γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων, ἀγράμματος; Πῶς γὰρ οὔ; Τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἶδεν, ἢ ὁ ἄκων; Δῆλον ὅτι ὁ ἑκών. Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῂς εἶναι; Ναί. Δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; Φαίνεται. δοκῶ δέ μοι καὶ ταῦτα οὐκ οἶδ' ὅπως λέγειν. Τί δὲ δή; ὃς ἂν βουλόμενος τἀληθῆ λέγειν, μηδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν, τοτὲ μὲν πρὸς ἕω, τοτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν, τοτὲ μὲν πλείω, τοτὲ δ' ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ τοιοῦτος; Δῆλος νὴ Δί' εἶναι, ὅτι ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν. Οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; Ἔγωγε. Πότερον διὰ σοφίαν ἢ δι' ἀμαθίαν; Δῆλον ὅτι δι' ἀμαθίαν. Ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν;

Οὐ

Οὐ δῆτα. Ἀλλ' ἆρα διὰ τὴν τοῦ τεκταίνεσθαι; Οὐδὲ διὰ ταύτην. Ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; Οὐδὲ δι' ἓν τούτων, ἔφη, ἀλλὰ καὶ τοὐναντίον· οἱ γὰρ πλεῖστοι τῶν γε τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. Ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτο ἐστίν; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν. Ἀλλὰ νὴ τοὺς θεοὺς, ἔφη, ὦ Σώκρατες, πάνυ ᾤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι τὰ προσήκοντα ἀνδρὶ καλοκαγαθίας ὀρεγομένῳ. νῦν δὲ πῶς οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ μὲν τὰ προπεπονημένα οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνασθαι δυνάμενον ὑπὲρ ὧν μάλιστα χρὴ εἰδέναι, ἄλλην δὲ ὁδὸν οὐδεμίαν ἔχοντα, ἣν ἂν πορευόμενος βελτίων γενοίμην; Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἤδη πώποτε ἀφίκου; Καὶ δίς γε νὴ Δί', ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ, Γνῶθι σαυτόν; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν ὅστις εἴης; Μὰ Δί' οὐ δῆτα, ἔφη· καὶ γὰρ δὴ πάνυ τοῦτό γε ᾤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ᾔδειν, εἴγε μηδ' ἐμαυτὸν ἐγίγνωσκον. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται πότερον εὐπειθής ἐστιν ἢ δυσπειθής, καὶ πότερον ἰσχυρός ἐστιν ἢ ἀσθενής, καὶ πότερον ταχὺς ἢ βραδύς, καὶ τἆλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ὁ ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν αὑτοῦ δύναμιν; Οὕτως ἐμοί γε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν ἀγνοεῖν ἑαυτόν. Ἐκεῖνο δὲ οὐ φανερὸν, ἔφη, ὅτι διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκουσιν ἅτε δύνανται καὶ ἃ μή· καὶ ἃ μὲν ἐπί-

στανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν. ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται, καὶ τὰ κακὰ φυλάττονται. οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε τοὺς ἄλλους ἀνθρώπους, καὶ τἆλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ, τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι. καὶ οἱ μὲν εἰδότες ὅ, τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπὲρ αὐτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυτῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ πάντα ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. οἱ δὲ μὴ εἰδότες ἃ ποιοῦσι, κακῶς δὲ αἱρούμενοι, καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι γίγνονται, καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. Καὶ ὁ Εὐθύδημος, ὡς πάνυ μοι δοκεῖ, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτὸν, τοῦτο πρός σε ἀποβλέπω εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις. Νὴ Δί', ἔφη. εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ἴθι δὴ, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι αὐτά. Ἀλλ' οὐ χαλεπὸν, ἔφη. πρῶτον μὲν γὰρ αὐτὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν, κακόν· ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν

καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα, τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα, ἀγαθά, τὰ δὲ πρὸς τὸ νοσεῖν, κακά. Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν ὅταν μὲν ἀγαθοῦ τινὸς αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν, ἀγαθοῦ; Ὅταν νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς καὶ ναυτιλίας βλαβερᾶς καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μεταχόντες ἀπόλλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. Ἀληθῆ λέγεις. Ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, οὐ μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. Οὐδὲν μὰ Δία φαίνεται, κατά γε τοῦτον τὸν λόγον. ἀλλ' ἥγε τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν. ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὢν ἢ ἀμαθής; Τί δέ; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας, ὅτι ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν, ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη; καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε, καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἀπενεχθεὶς εἰς τοὺς βαρβάρους, πάλιν ἐκεῖ ἐδούλευε; Λέγεται νὴ Δί', ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπώλετο. Λέγεται καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀναρπάστους πρὸς βασιλέα γεγονέναι, καὶ ἐκεῖ δουλεύειν; Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. Εἴγε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ ἀμφιλόγων ἀγαθῶν συντιθείη. Τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, ἔφη, εἴγε μὴ προσθήσομεν αὐτῷ κάλλος, ἢ ἰσχύν, ἢ πλοῦτον, ἢ δόξαν, ἢ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλὰ νὴ Δία προσθήσομεν, ἔφη. πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη; Νὴ Δί', ἔφη, προσθήσομεν ἄρα ἐξ ὧν πολλά, καὶ χα-

λεπὰ συμβαίνει τοῖς ἀνθρώποις. πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες, οὐ μικροῖς κακοῖς περιπίπτουσι, πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται, πολλοὶ δὲ διὰ δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. Ἀλλὰ μὴν, ἔφη, εἴγε μηδὲ τὸ εὐδαιμονίζειν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδ' ὅ, τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ εἰδέναι. Ἀλλὰ ταῦτα μὲν, ἔφη ὁ Σωκράτης, ἴσως διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, οὐδ' ἔσκεψαι. ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευάζῃ προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί ἐστιν. Πάντως δήπου, ἔφη. Δοκεῖ οὖν σοὶ δυνατὸν εἶναι δημοκρατίαν εἰδέναι μὴ εἰδότα δῆμον; Μὰ Δί' οὐκ ἔμοιγε. Καὶ τί νομίζεις δῆμον εἶναι; Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. Καὶ τοὺς πένητας ἄρα οἶσθα; Πῶς γὰρ οὔ; Ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; Οὐδέν γε ἧττον ἢ καὶ τοὺς πένητας. Ποίους δὲ πένητας, καὶ ποίους πλουσίους καλεῖς; Τοὺς μὲν, οἶμαι, μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν, πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους. Καταμεμάθηκας οὖν ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; Καὶ νὴ Δί', ἔφη ὁ Εὐθύδημος. ὀρθῶς γάρ με ἀναμιμνήσκεις. οἶδα γὰρ καὶ τυράννους τινὰς οἳ δι' ἔνδειαν ὥσπερ οἱ ἀπορώτατοι ἀναγκάζονται ἀδικεῖν. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴγε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. Καὶ ὁ Εὐθύδημος ἔφη, Ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν δηλονότι ἡ ἐμὴ φαυλότης· καὶ φροντίζω μὴ κράτιστον ᾖ μοι σιγᾶν· κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. Καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι. Πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκέτι αὐτῷ προσῄεσαν, οὓς καὶ βλακωτέρους

τέρους

τέρους ἐνόμιζεν. Ὁ δ' Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη· καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη. ἔνια δὲ καὶ ἐμιμεῖτο ὧν ἐκεῖνος ἐπετήδευεν. ὁ δ' ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα ἐξηγεῖτο ἅ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπιτηδεύειν κράτιστα εἶναι. τὸ μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους, ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι. Πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δέ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο παρεγενόμην. Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἤδη ποτέ σοι ἐπῆλθεν ἐνθυμηθῆναι ὡς ἐπιμελῶς οἱ θεοὶ ὧν οἱ ἄνθρωποι δέονται κατεσκευάκασι; Καὶ ὅς, μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε. Ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; Νὴ Δί', ἔφη. ὅ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι, κάλλιστον ἀναπαυτήριον. Πάνυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. Οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νύξ, διὰ τὸ σκοτεινὴ εἶναι, ἀσαφεστέρα ἐστίν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν, ἃ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει, καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν. Ἔστι ταῦτα, ἔφη. Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς νυκτὸς ἀλλὰ καὶ τοῦ μηνὸς τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δ', ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα. Πάνυ, ἔφη, καὶ ταῦτα φι-

λανθρωπα. Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον ὥστε καὶ φυτεύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέφουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά· καὶ ἐπειδὴ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν. Καὶ τοῦτο, ἔφη, προνοητικόν. Τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται. ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται. Ὑπερβάλλει, ἔφη, καὶ τοῦτο φιλανθρωπίᾳ. Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέναι τὰ μὲν ἁδρύνοντα, τὰ δὲ ξηραίνοντα ὧν καιρὸς διελήλυθεν· καὶ ταῦτα διαπραξάμενον, μηκέτι ἐγγυτέρω προσιέναι, ἀλλ᾽ ἀποτρέπεσθαι, φυλαττόμενον μή τι ἡμᾶς μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ· καὶ ὅταν αὖ πάλιν ἀπιὼν γένηται ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν ὅτι εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν αὖ τρέπεσθαι καὶ προσχωρεῖν, καὶ ἐν ταῦθα τοῦ οὐρανοῦ ἀναστρέφεσθαι ἔνθα ἂν μάλιστα ἡμᾶς ὠφελοίη. Νὴ τὸν Δί᾽, ἔφη, καὶ ταῦτα παντάπασιν ἔοικεν ἀνθρώπων ἕνεκα γιγνόμενα. Τὸ δ᾽ αὖ, ἐπειδὴ καὶ τοῦτο φανερὸν ὅτι οὐκ ἂν ὑπενέγκοιμεν οὔτε τὸ καῦμα οὔτε τὸ ψῦχος, εἰ ἐξαπίνης γίγνοιτο, οὕτω μὲν κατὰ μικρὸν προσιέναι τὸν ἥλιον, οὕτω δὲ κατὰ μικρὸν ἀπιέναι ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισταμένους. Ἐγὼ μέν, ἔφη ὁ Εὐθύδημος, ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τί ἐστι τοῖς θεοῖς ἔργον ἢ ἀνθρώπους θεραπεύειν· ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἄλλα ζῶα τούτων μετέχει. Οὐ γὰρ καὶ τοῦτ᾽, ἔφη ὁ Σωκράτης, φανερόν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε καὶ οἰῶν καὶ ἵππων καὶ βοῶν καὶ ὄνων καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω

τῶν

τῶν φυτῶν. τρέφονται γοῦν καὶ χρηματίζονται οὐδὲν ἧττον τούτων ἢ ἀπ' ἐκείνων. πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσι, πάντες δὲ τιθασεύοντες, καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. Ὁμογνωμονῶ σοὶ καὶ τοῦτ' ἔφη. Ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅ,τι ἂν βούλωνται. Τὸ δ' ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων ἐστὶν, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν. Τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ περὶ ὧν αἰσθανόμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα. Τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα. Παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοὶ, πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι. Τὸ δὲ καὶ εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν διὰ μαντικῆς τοῖς πυνθανομένοις, φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας ᾗ ἂν ἄριστα γίγνοιντο. Σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν, ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις χρῆσθαι, εἴγε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ, προσημαίνουσί σοι, ἅ, τε χρὴ ποιεῖν καὶ ἃ μή. Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ γνώσῃ, ἂν μὴ ἀναμένῃς ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι, σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν. Οἵ τε γὰρ ἄλλοι ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τὸ ἐμφανὲς ἰόντες διδόασιν. καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιῆ καὶ ἀγήρατα παρέχων, θᾶτ-

τὸν δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦντα, οὗτος τὰ μέγιστα μὲν πράττων ὁρᾶται, τόδε δὲ οἰκονομῶν, ἀόρατος ἡμῖν ἐστιν. ἐννόει δ' ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος, οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν· ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας. κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται, δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ, πάντων κρατεῖ. ὁρᾶται δ' οὔτ' ἐπιών, οὔτε κατασκήψας, οὔτε ἀπιών. καὶ ἄνεμοι, αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι, φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. Ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων τοῦ θείου μετέχει. ὅτι μὲν γὰρ βασιλεύει ἐν ἡμῖν φανερόν, ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γινομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾶν τὸ δαιμόνιον. Ἐγὼ μέν, ὦ Σώκρατες (ἔφη ὁ Εὐθύδημος) ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου, σαφῶς οἶδα· ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι. Ἀλλὰ μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ Εὐθύδημε. ὁρᾷς γὰρ ὅτι ὁ ἐν Δελφοῖς θεός, ὅταν τις αὐτὸν ἐπερωτᾷ πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται, Νόμῳ πόλεως. νόμος δὲ δήπου πανταχοῦ ἐστι κατὰ δύναμιν ἱεροῖς θεοὺς ἀρέσκεσθαι. πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεούς, ἢ ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν; ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι. ὅταν γάρ τις τοῦτο ποιῇ, φανερὸς δήπου ἐστὶ τότε οὐ τιμῶν θεούς. χρὴ οὖν μηδὲν ἐλλείποντα κατὰ δύναμιν τιμᾶν τοὺς θεούς, θαρρεῖν τε καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά. οὐ γὰρ παρ' ἄλλων γ' ἄν τις μείζω ἐλπίζων σωφρονοίη ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων, οὐδ' ἂν ἄλλως μᾶλλον ἢ εἰ τούτοις ἀρέσκοι. ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς; τοιαῦτα μέντοι λέγων τε καὶ αὐτὸς ποιῶν, εὐσεβεστέρους τε καὶ σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν. ἀλλὰ μὴν καὶ πε-

ρὶ

ρὶ δικαίου γε, οὐκ ἀπεκρύπτετο ἣν εἶχε γνώμην· ἀλλὰ καὶ ἔργῳ ἀπεδείκνυτο, ἰδίᾳ τε πᾶσι νομίμως τε καὶ ὠφελίμως χρώμενος, καὶ κοινῇ ἄρχουσί τε ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος, καὶ κατὰ πόλιν καὶ ἐν ταῖς στρατιαῖς οὕτως, ὥστε διάδηλος εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν· καὶ ὅτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος, οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι. ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι. καὶ ὅτε οἱ τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους τι, οὐκ ἐπείθετο. τοῖς τε γὰρ νέοις ἀπαγορευόντων αὐτῶν μὴ διαλέγεσθαι, καὶ προσταξάντων ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολιτῶν ἀγαγεῖν τινα ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπείσθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάττεσθαι. καὶ ὅτε τὴν ὑπὸ Μελήτου γραφὴν ἔφευγε, τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι, καὶ κολακεύειν, καὶ δεῖσθαι παρὰ τοὺς νόμους, καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δικαστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι· ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν, εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν, ἢ παρανομῶν ζῆν. καὶ ἔλεγε δὲ οὕτως, καὶ πρὸς ἄλλους πολλάκις. Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου, τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε, παρεγένετο τῷ Σωκράτει, λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη, τὸ εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ χαλκέα, ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι. φασὶ δέ τινες καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι, πάντα μεστὰ εἶναι τῶν διδαξόντων. ἐὰν δέ τις βούληται, ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον, ἢ υἱόν, ἢ οἰκέτην διδάξασθαι, μὴ εἶναι ὅποι ἂν ἐλθὼν τύχοι τούτου. Καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐτόν, ἔτι γὰρ σύ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα

τὰ

τὰ αὐτὰ λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; καὶ ὁ Σωκράτης, ὃ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. σὺ δ᾽ ἴσως διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέ ποτε τὰ αὐτὰ λέγεις. ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι, οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστίν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν, εἰ τὰ δὶς πέντε, δέκα ἐστίν, οὐ τὰ αὐτὰ νῦν ἃ καὶ πρότερον ἀποκρίνῃ; περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σύ, καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω. περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σύ, οὔτ᾽ ἂν ἄλλος δύναιτ᾽ ἂν εἰπεῖν. Νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δ᾽ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δ᾽ αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ᾽ ὅπως ἂν ἀπολειφθείην σου πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος. Ἀλλὰ μὰ Δί᾽, ἔφη, οὐκ ἀκούσῃ πρίν γ᾽ ἂν αὐτὸς ἀποφήνῃ ὅ, τι νομίζεις τὸ δίκαιον εἶναι. ἀρκεῖ γὰρ ὅτι τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δὲ οὐδενὶ θέλων ὑπέχειν λόγον, οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. Τί δέ, ὦ Ἱππία, ἔφη, οὐκ ᾔσθησαι ὅτι ἐγὼ ἃ δοκεῖ μοι δίκαια εἶναι, οὐδὲν παύομαι ἀποδεικνύμενος; Καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ᾽ ἔργῳ ἀποδείκνυμαι. ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; Πολύ γε νὴ Δί᾽, ἔφη. δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσι, δίκαια δὲ πράττων οὐδεὶς ἄδικος ἂν εἴη. Ἤισθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος, ἢ συκοφαντοῦντος, ἢ φίλους ἢ πόλιν εἰς στάσιν ἐμβάλλοντος; ἢ ἄλλο τι ἄδικον πράττοντος; Οὐκ ἔγωγ᾽, ἔφη. Τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγῇ; Δῆλος εἶ, ἔφη, ὦ Σώκρατες, καὶ

νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην ὅ, τι νομίζεις τὸ δίκαιον. οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις. Ἀλλ' ᾤμην ἔγωγ', ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ. φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγ', ἔφη. οὐ γὰρ αἰσθάνομαί σου ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις. Νόμους δὲ πόλεως, ἔφη, γιγνώσκεις; Ἔγωγ', ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι ἅ, τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι, ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων. Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ δίκαια μὲν πράττει ὁ τούτοις πειθόμενος, ἄδικα δ' ὁ τούτοις ἀπειθῶν. Πάνυ μὲν οὖν. Οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος, ὁ δὲ τὰ ἄδικα, ἄδικος. Πῶς γὰρ οὔ; Ὁ μὲν ἄρα νόμιμος, δίκαιός ἐστιν ὁ δὲ ἄνομος, ἄδικος. Καὶ ὁ Ἱππίας, Νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι, ἢ τὸ πείθεσθαι αὐτοῖς; οὕς τε πολλάκις αὐτοὶ θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; Καὶ γὰρ πόλεμον, ἔφη ὁ Σωκράτης, πολλάκις ἀράμεναι αἱ πόλεις, πάλιν εἰρήνην ποιοῦνται. Καὶ μάλα, ἔφη. Διάφορον οὖν τι οἴει ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι καταλύοιντο αὖ οἱ νόμοι, ἢ εἰ τοὺς πολεμίους εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' αὖ εἰρήνη; ἢ καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον, ἔφη ὁ Σωκράτης, καταμεμάθηκας, ὅτι οὐδὲν αὖ διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ. τῶν δὲ ἀρχόντων ἐν ταῖς πόλεσιν οὐκ οἶσθα ὅτι οἵτινες αὖ τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι; καὶ

πόλις

πόλις ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει; καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν. ἀλλὰ μὴν καὶ ὁμόνοια γε μεγιστόν τε ἀγαθὸν δοκεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστάκις ἐν αὐταῖς αἵ τε γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν, οὐδ' ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται. ἄνευ δὲ ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη, οὔτε οἶκος καλῶς οἰκηθείη. ἰδίᾳ δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο, πῶς δ' ἂν μᾶλλον τιμῷτο ἢ εἰ τοῖς νόμοις πείθοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο; ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειε παρακαταθέσθαι ἢ χρήματα ἢ υἱοὺς ἢ θυγατέρας; τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνος δ' ἂν μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς, ἢ οἰκεῖοι, ἢ οἰκέται, ἢ φίλοι, ἢ πολῖται, ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον ἢ τῷ νομίμῳ σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τῷ δ' ἂν μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμονίαν, ἢ φρουραρχίαν, ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι χάριν κομιεῖσθαι μᾶλλον ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις εὐεργετήσειεν ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι, ἢ τῷ ἧττον ἐχθρὸς, ἢ τῷ τοιούτῳ; τῷ δ' ἄν τις ἧττον πολεμήσειεν ἢ ᾧ ἂν μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δ' ἐχθρὸς, καὶ ᾧ πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ, καὶ πολέμιοι; ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἐπιδείκνυμι νόμιμόν τε καὶ δίκαιον εἶναι. σὺ δ' εἰ τἀναν-

τία

τία γιγνώσκεις, δίδασκε. Καὶ ὁ Ἱππίας, ἀλλὰ μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου. Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τούς γ' ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταυτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν; ἔφη· οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν δυνηθεῖεν, οὔτε ὁμόφωνοί εἰσι. Τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους; Ἐγὼ μὲν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται τοὺς θεοὺς σέβειν. Οὐκοῦν καὶ γονέας τιμᾶν πανταχοῦ νομίζεται; Καὶ τοῦτο, ἔφη. Οὐκοῦν καὶ μήτε γονέας παισὶ μίγνυσθαι, μήτε παῖδας γονεῦσιν; Οὐκέτι μοὶ δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. Τί δή; ἔφη. Ὅτι αἰσθάνομαί τινας, ἔφη, παραβαίνοντας αὐτόν. Καὶ γὰρ ἄλλα πολλὰ, ἔφη, παρανομοῦσιν. ἀλλ' οὖν δίκην γέτοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἣν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν, ὥσπερ τοὺς ὑπ' ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δίκην διδόναι, οἱ μὲν, λανθάνοντες, οἱ δὲ, βιαζόμενοι. Καὶ ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι; Τὴν μεγίστην νὴ Δί', ἔφη. τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι; Πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, οὕς γε οὐδὲν κωλύει, ἀγαθοὺς αὐτοὺς ὄντας, ἐξ ἀγαθῶν παιδοποιεῖσθαι; Ὅτι νὴ Δί', ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν. ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων, ἢ τῶν παρηκμακότων; Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ εἰκὸς ὅμοια εἶναι. Πότερα οὖν, ἔφη, βελτίω; Δῆλον ὅτι, ἔφη, τὰ τῶν ἀκμαζόντων. Τὰ τῶν μὴ ἀκμαζόν-

ζόν-

ζόιτων ἄρα οὐ σπουδαῖα. Οὐκ εἰκὸς μὰ Δί', ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι. Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν οἵ γε παιδοποιούμενοι, ὡς οὐ δεῖ παιδοποιοῦνται; Ἔμοιγε δοκεῖ, ἔφη. Τίνες οὖν ἄλλοι, ἔφη, κακῶς ἂν παιδοποιοῖντο εἴ γε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο. Τί δέ; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; Νόμιμον, ἔφη. παραβαίνεται δὲ καὶ τοῦτο. Οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες, δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοῦτο δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσίν; οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν. διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι. νὴ τὸν Δία ὦ Σώκρατες, ἔφη, θεοῖς ταῦτα πάντα ἔοικε. τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι, τὰς τιμωρίας ἔχειν, βελτίονος, ἢ κατ' ἄνθρωπον, νομοθέτου δοκεῖ μοι εἶναι. πότερον οὖν Ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; οὐκ ἄλλα μὰ Δί', ἔφη. σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ, δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. Τοιαῦτα λέγων τε καὶ πράττων, δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας. ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς αὑτὸν μάλιστα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. ἀεὶ μὲν οὖν τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός τε διετέλει μεμνημένος, καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων. Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα. Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν;

θερίαν;

θείαν; Ὡς οἷόν τέ γε μάλιστα, ἔφη. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα, ἔφη. Ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα, εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; Παντάπασί γε, ἔφη. Παντάπασιν ἄρα σοὶ δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; Νὴ τὸν Δί', ἔφη, εἰκότως. Πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; Οὐδὲν ἧττον ἔμοιγ' (ἔφη) δοκοῦσι ταῦτα ἀναγκάζεσθαι ἢ ἐκεῖνα κωλύεσθαι. Ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατὸν νὴ Δί' (ἔφη) κακίστους. Δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; Ἐγὼ μὲν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; Ἔμοιγε δοκεῖ, ἔφη. Σοφίαν δὲ, τὸ μέγιστον ἀγαθὸν, οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία, εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα, ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίγνεται τοῦτ', ἔφη. Σωφροσύνης δὲ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία, σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ τοῦτ', ἔφη. Τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; Οὔκουν ἔγωγ', ἔφη. Τοῦ δ' ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; Οὐδὲν, ἔφη. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Οὐ-

ποιεῖ καὶ τὸ τῶν ἐναντίων τὸ αἴτιον εἰκὸς ἄριστον εἶναι; Εἰκὸς γάρ, ἔφη. Ἔοικεν ἄρ', ἔφη, ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἡ ἐγκράτεια εἶναι, Εἰκότως γάρ, ἔφη, ὦ Σώκρατες. Ἐκεῖνο δέ, ὦ Εὐθύδημε, ἤδη πώποτε ἐνεθυμήθης; Ποῖον; ἔφη. Ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν, ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. Πῶς, ἔφη; Ὥσπερ ἡ μὲν ἀκρασία, οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν, οὔτε δίψαν, οὔτε ἀφροδισίων ἐπιθυμίαν, οὔτε ἀγρυπνίαν, δι' ὧν μόνων ἐστὶν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, καὶ περιμείναντας καὶ ἀνασχομένους ἕως ἂν ταῦτα ὡς ἔνι ἥδιστα γένηται, κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι· ἡ δ' ἐγκράτεια, μόνη ποιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς δι' ὧν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται· οἱ μὲν γὰρ ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτὰ, οἱ δ' ἀκρατεῖς οὐδενὸς μετέχουσι. τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς; Καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου, ὅστις γὰρ τὰ μὲν κράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; Ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγ-

μά-

μάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. Καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι. ἐκ τούτου γὰρ γίνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους. Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη θαυμαστὸν εἶναι, αὐτούς τε σφάλλεσθαι, καὶ ἄλλους σφάλλειν. ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι τί ἕκαστον εἴη τῶν ὄντων οὐδεπώποτε ἔληγε. πάντα μὲν οὖν ᾗ διωρίζετο, πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δὲ καὶ τὸν τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω. πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; Καὶ ὅς, Κάλλιστον νὴ Δί', ἔφη. Ἔχεις οὖν εἰπεῖν ὁποῖός τις ὁ εὐσεβής ἐστιν; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν. Ἔξεστι δὲ ὃν ἄν τις βούληται τρόπον τοὺς θεοὺς τιμᾶν; Οὐκ· ἀλλὰ νόμοι εἰσὶ καθ' οὓς δεῖ τοῦτο ποιεῖν. Οὐκοῦν ὁ τοὺς νόμους τούτους ποιῶν εἰδείη ἂν ὡς δεῖ τοὺς θεοὺς τιμᾶν; Οἶμαι ἔγωγ', ἔφη. Ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾶν, οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν ἢ ὡς οἶδεν; Οὐ γὰρ οὖν, ἔφη. Ἄλλως δέ τις θεοὺς τιμᾷ ἢ ὡς οἴεται δεῖν; Οὐκ οἶμαι, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδώς, νομίμως ἂν τοὺς θεοὺς τιμῴη. Πάνυ μὲν οὖν. Οὐκοῦν ὅγε νομίμως τιμῶν, ὡς δεῖ τιμᾷ; Πῶς γὰρ οὔ; Ὁ δέ γε ὡς δεῖ τιμῶν, εὐσεβής ἐστι; Πάνυ μὲν οὖν, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδώς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη.

Οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γε, ἔφη. Τί δέ; οἱ μὴ διημαρτηκότες ἆρα κακῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἴομαι, ἔφη. Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; Εἰκός γε, ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοι εἰσὶν, οἱ δὲ διαμαρτάνοντες τούτου, δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη. Βασιλείαν δὲ καὶ τυραννίδα, ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ, ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ νόμους τῶν πόλεων ἀρχὴν, βασιλείαν ἡγεῖτο. τὴν δὲ, ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ᾽ ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. Καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δ᾽ ἐκ τιμημάτων, πλουτοκρατίαν. ὅπου δ᾽ ἐκ πάντων, δημοκρατίαν. εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι, μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ᾽ ἄνευ ἀποδείξεως, ἤτοι σοφώτερον φάσκων εἶναι ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτερον, ἢ ἀνδρειότερον, ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν ἂν πάντα τὸν λόγον ὧδέ πως, φῂς σὺ ἀμείνω πολίτην εἶναι ὃν σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; Φημὶ γὰρ οὖν. Τί οὖν οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψάμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν τοῦτο. Οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; Πάνυ μὲν οὖν, ἔφη. Ἐν δέ γε πολέμῳ. ὁ καθυπερτέραν τῶν ἀντιπάλων. Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ ἆρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκότως γε. Οὐκοῦν καὶ ἐν δημηγορίᾳ ὁ στάσεις τε παύων, καὶ ὁμόνοιαν ἐμποιῶν; Ἔμοιγε δοκεῖ. Οὕτω δὲ τῶν λόγων ἐπαναγομένων, καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές. ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. τοιγαροῦν πολὺ μάλιστα ὧν ἐγὼ οἶδα, ὅτε λέγοι τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀ-

δυσ-

δυνατεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους. ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι. ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω. πάντων μὲν γὰρ ὧν ἐγὼ οἶδα μάλιστα ἔμελεν αὐτῷ εἰδέναι ὅτου τὶς ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ. ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ, τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν· ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς. ἐδίδασκε δὲ καὶ μέχρις ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα γεωμετρείαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν, ἢ παραδοῦναι, ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξασθαι. οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι. τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων γεωμετρείαν μανθάνειν ἀπεδοκίμαζεν. ὅ, τι μὲν γὰρ ὠφελοίη ταῦτα οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν· ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν, καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν. ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι, μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν, ἕνεκα πορείας τε, καὶ πλοῦ καὶ φυλακῆς· καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ' ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας. καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν παρά τε τῶν νυκτοθηρῶν καὶ κυβερνητῶν καὶ ἄλλων πολλῶν οἷς ἐπιμελὲς ταῦτα εἰδέναι. τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα καὶ τοὺς πλάνητάς τε καὶ ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς

γῆς, καὶ τὰς περιόδους, καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν· καίτοι καὶ τούτων γε ἀνήκοος ἦν, ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον, καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν. ὅλως δὲ τῶν οὐρανίων ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται, φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν. οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι, οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν, κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι. ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει ὡς τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν· καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν. ὑπὸ δὲ τοῦ πυρὸς οὔ. ἠγνόει δὲ ὅτι καὶ τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται. φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πολὺν χρόνον ἀντέχει· ὁ δὲ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότερος ὢν διαμένει. ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν, καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν, μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεπεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι. προέτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν εἰδότων μανθάνοντας ὅσα ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου τί βρῶμα ἢ τί πόμα ἢ ποῖος πόνος συμφέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ' ἂν διάγοι. τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ ἔργον ἔφη εἶναι εὑρεῖν ἰατρὸν τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ. εἰ δέ τις μᾶλλον ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν ὠφελεῖσθαι βούλοιτο, συνεβού-

βούλοιτο μαντικῆς ἐπιμελεῖσθαι. τὸν γὰρ εἰδότα δι' ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσιν οὐδέποτ' ἔρημον ἔφη γίγνεσθαι συμβουλῆς θεῶν. Εἰ δέ τις, ὅτι φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν, ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω πρῶτον μὲν ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον· εἶτα ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ βίου, καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται, ἀπέλιπεν. ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος, εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα καὶ ἐλευθεριώτατα καὶ δικαιότατα εἰπών, καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ ἀνδρωδέστατα ἐνεγκών. ὁμολογεῖται γὰρ οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι, διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ ἀποθνήσκειν ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ. καὶ τὸν χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς ἢ τὸν ἔμπροσθεν χρόνον. καίτοι τὸν ἔμπροσθέν γε πάντων ἀνθρώπων μάλιστα ἐθαυμάζετο ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως ζῆν, καὶ πῶς ἄν τις κάλλιον ἢ οὕτως ἀποθάνοι; ἢ ποῖος ἂν εἴη θάνατος καλλίων ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ καλλίστου; ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονεστάτου; Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα περὶ αὐτοῦ. ἔφη γάρ, ἤδη Μελίτου γεγραμμένου αὐτὸν τὴν γραφήν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον ἢ περὶ τῆς δίκης διαλεγομένου, λέγειν αὐτῷ ὡς χρὴ σκοπεῖν ὅ, τι ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν, Οὐ γὰρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέναι; Ἐπεὶ δὲ αὐτὸν ἤρετο ὅπως, εἰπεῖν αὐτὸν ὅτι οὐδὲν ἄλλο

ποιῶν διαγεγένηται ἢ διασκοπῶν μὲν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια, καὶ τῶν ἀδίκων ἀπεχόμενος· ἥνπερ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι. αὐτὸς δὲ πάλιν εἰπεῖν, Οὐχ ὁρᾷς ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθεσθέντες ἀπέκτειναν, πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν; Ἀλλὰ νὴ τὸν Δία, φάναι αὐτόν, ὦ Ἑρμόγενες, ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας, ἠναντιώθη τὸ δαιμόνιον. Καὶ αὐτὸς εἰπεῖν, Θαυμαστὰ λέγεις. Τὸν δέ, Θαυμάζεις, φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον εἶναι ἐμὲ τελευτᾷν τὸν βίον ἤδη; οὐκ οἶσθ' ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς ἄριστα ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰσθανομένους ὅτι βελτίους γίγνονται. ἃ ἐγὼ μέχρι τοῦδε τοῦ χρόνου ᾐσθανόμην ἐμαυτῷ συμβαίνοντα, καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων, καὶ πρὸς τοὺς ἄλλους παραθεωρῶν ἐμαυτόν, οὕτω διατετέλεκα περὶ ἐμαυτοῦ γιγνώσκων. καὶ οὐ μόνον ἐγώ, ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες περὶ ἐμοῦ διατελοῦσιν, οὐ διὰ τὸ φιλεῖν ἐμέ, καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους, ἀλλὰ διόπερ καὶ αὐτοὶ ἂν οἴωνται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι. εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾷν τε καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν· καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρων γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος. αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέστερον ζῆν; ἀλλὰ μὴν εἴγε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο. εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν τὸ ἑτέρους μὴ δύνασθαι

περὶ

περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι, μήτε ποιῆσαι; ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δ' ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν. οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων, οὐδὲ χείρω ἐποίησα· βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. Τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διελέχθη, καὶ πρὸς τοὺς ἄλλους. τῶν δὲ Σωκράτην γιγνωσκόντων οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δὴ τοιοῦτος ὢν ἐδόκει, οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δὲ ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ, ἐγκρατὴς δὲ ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δὲ ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλὰ αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντα ἐξελέγξαι, καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν· ἐδόκει τοιοῦτος εἶναι οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος. εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλων ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω.

ΠΛΑ'-

ζόιτων ἄρα οὐ σπουδαῖα. Οὐκ εἰκός μὰ Δί', ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι. Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν οἵγε παιδοποιούμενοι, ὡς οὐ δεῖ παιδοποιοῦνται; Ἔμοιγε δοκεῖ, ἔφη. Τίνες οὖν ἄλλοι, ἔφη, κακῶς ἂν παιδοποιοῖντο εἴγε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο. Τί δέ; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; Νόμιμον, ἔφη. παραβαίνεται δὲ καὶ τοῦτο. Οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες, δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς, ἀγαθοὶ φίλοι εἰσίν; οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν. διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι. νὴ τὸν Δία ὦ Σώκρατες, ἔφη, θεοῖς ταῦτα πάντα ἔοικε. τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι, τὰς τιμωρίας ἔχειν, βελτίονος, ἢ κατ' ἄνθρωπον, νομοθέτου δοκεῖ μοι εἶναι. πότερον οὖν Ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; οὐκ ἄλλα μά Δί', ἔφη. σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν, εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς ἄρα, ὦ Ἱππια, τὸ αὐτὸ, δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. Τοιαῦτα λέγων τε καὶ πράττων, δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας. ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἠσκηκὼς αὑτὸν μάλιστα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. ἀεὶ μὲν οὖν τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός τε διετέλει μεμνημένος, καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων.

Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα. Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευ-

θερίαν; Ὡς οἷόν τέ γε μάλιστα, ἔφη. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα, ἔφη. Ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πράττειν τὰ βέλτιστα, εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; Παντάπασί γε, ἔφη. Παντάπασιν ἄρα σοὶ δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; Νὴ τὸν Δί', ἔφη, εἰκότως. Πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρατεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; Οὐδὲν ἧττον ἔμοιγ' (ἔφη) δοκοῦσι ταῦτα ἀναγκάζεσθαι ἢ ἐκεῖνα κωλύεσθαι. Ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατὸν νὴ Δί' (ἔφη) κακίστους. Δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; Ἐγὼ μὲν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; Ἔμοιγε δοκεῖ, ἔφη. Σοφίαν δὲ, τὸ μέγιστον ἀγαθὸν, οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία, εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμανθάνειν αὐτὰ κωλύειν, ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα, ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίγνεται τοῦτ', ἔφη. Σωφροσύνης δὲ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία, σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ τοῦτ', ἔφη. Τοῦ δ' ἐπιμελεῖσθαι ὧν προσήκει οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; Οὔκουν ἔγωγ', ἔφη. Τοῦ δ' ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐκείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον εἶναι; Οὐδὲν, ἔφη. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Οὐ-

κοῦν

μάτων, καὶ λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι. Καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους· ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι διαλέγοντας κατὰ γένη τὰ πράγματα· δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι. ἐκ τούτου γὰρ γίνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους. Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας οὐδὲν ἔφη θαυμαστὸν εἶναι, αὐτούς τε σφάλλεσθαι, καὶ ἄλλους σφάλλειν. ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι τί ἕκαστον εἴη τῶν ὄντων οὐδεπώποτε ἔληγε. πάντα μὲν οὖν ᾗ διωρίζετο, πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δὲ καὶ τὸν τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω. πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; Καὶ ὅς, Κάλλιστον νὴ Δί', ἔφη. Ἔχεις οὖν εἰπεῖν ὁποῖός τις ὁ εὐσεβής ἐστιν; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν. Ἔξεστι δὲ ὃν ἄν τις βούληται τρόπον τοὺς θεοὺς τιμᾶν; Οὔκ· ἀλλὰ νόμοι εἰσὶ καθ' οὓς δεῖ τοῦτο ποιεῖν. Οὐκοῦν ὁ τοὺς νόμους τούτους ποιῶν εἰδείη ἂν ὡς δεῖ τοὺς θεοὺς τιμᾶν; Οἶμαι ἔγωγ', ἔφη. Ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾶν, οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν ἢ ὡς οἶδεν; Οὐ γὰρ οὖν, ἔφη. Ἄλλως δέ τις θεοὺς τιμᾷ ἢ ὡς οἴεται δεῖν; Οὐκ οἶμαι, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδώς, νομίμως ἂν τοὺς θεοὺς τιμῴη; Πάνυ μὲν οὖν. Οὐκοῦν ὅγε νομίμως τιμῶν, ὡς δεῖ τιμᾷ; Πῶς γὰρ οὔ; Ὁ δέ γε ὡς δεῖ τιμῶν, εὐσεβής ἐστι; Πάνυ μὲν οὖν, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδώς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη.

Ἐμοὶ γοῦν, ἔφη, δοκεῖ. Ἀνθρώποις τε ἄρα ἔξεστιν ὃν ἄν τις τρόπον βούληται χρῆσθαι; Οὔκ· ἀλλὰ καὶ παρὰ τούτοις ὁ εἰδὼς ἃ ἐστι νόμιμα καθ' ἃ δεῖ πρὸς ἀλλήλους χρῆσθαι, νόμιμος ἂν εἴη. Οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι ἀλλήλοις, ὡς δεῖ χρῶνται; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵγε ὡς δεῖ χρώμενοι, καλῶς χρῶνται; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵγε τοῖς ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττουσι τὰ ἀνθρώπεια πράγματα. Εἰκός γ', ἔφη. Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι, δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα καλεῖται; Ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. Οἱ ἄρα ποιοῦντες ἃ οἱ νόμοι κελεύουσι, δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵγε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσιν; Οἶμαι ἔγωγ', ἔφη. Οἴει οὖν τινὰς πείθεσθαι τοῖς νόμοις, μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; Οὐκ ἔγωγ', ἔφη. Εἰδότας δὲ ἃ δεῖ ποιεῖν οἴει τινὰς οἴεσθαι δεῖν μὴ ποιεῖν ταῦτα; Οὐκ οἴομαι, ἔφη. Οἶδας δέ τινας ἄλλα ποιοῦντας ἢ ἃ οἴονται δεῖν; Οὐκ ἔγωγ', ἔφη. Οἱ ἄρα τὰ περὶ τοὺς ἀνθρώπους νόμιμα εἰδότες, τὰ δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵγε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσι; Τίνες γὰρ ἄλλοι; ἔφη. Ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα, ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; Ἔμοιγε δοκεῖ, ἔφη. Σοφίαν δὲ τί ἂν φήσαιμεν εἶναι; Εἰπέ μοι, πότερα σοὶ δοκοῦσιν οἱ σοφοί, ἃ ἐπίστανται, ταῦτα σοφοὶ εἶναι, ἢ εἰσί τινες ἃ μὴ ἐπίστανται σοφοί; Ἃ ἐπίστανται δηλονότι, ἔφη· πῶς γὰρ ἄν τις ἅγε μὴ ἐπίσταιτο, ταῦτα σοφὸς εἴη; Ἆρ' οὖν οἱ σοφοί, ἐπιστήμῃ σοφοί εἰσιν; Τίνι γάρ, ἔφη, ἄλλῳ τις ἂν εἴη σοφὸς εἴγε μὴ ἐπιστήμῃ; Ἄλλο δέ τι σοφίαν οἴει εἶναι ἢ ᾧ σοφοί εἰσιν; Οὐκ ἔγωγε. Ἐπιστήμη ἄρα σοφία ἐστίν; Ἔμοιγε δοκεῖ. Ἆρ' οὖν δοκεῖ σοι ἀνθρώπῳ δυνατὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; Οὐδὲ μὰ Δί' ἔμοιγε πολλοστὸν μέρος αὐτῶν. Πάντα μὲν ἄρα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶ-

ναι. Μὰ Δί' οὐ δῆτα, ἔφη. Ὃ ἄρα ἐπίσταται ἕκαστος, τοῦτο καὶ σοφός ἐστιν, Ἔμοιγε δοκεῖ. Ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω ζητητέον ἐστί; Πῶς, ἔφη; Δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι; Οὐκ ἔμοιγε. Τί δέ; τὸ ἄλλῳ ὠφέλιμον, οὐ δοκεῖ σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι; Καὶ μάλα, ἔφη. Ἄλλο δ' ἄν τι φαίης ἀγαθὸν εἶναι ἢ τὸ ὠφέλιμον; Οὐκ ἔγωγ' ἔφη. Τὸ ἄρα ὠφέλιμον, ἀγαθόν ἐστιν ὅτῳ ἂν ὠφέλιμον ᾖ; Δοκεῖ μοι, ἔφη. Τὸ δὲ καλὸν ἔχοιμεν ἄν πως ἄλλως εἰπεῖν, ἤ, εἰ ἔστιν, ὀνομάζεις καλὸν ἢ σῶμα ἢ σκεῦος, ἢ ἄλλ' ὁτιοῦν ὃ οἶσθα πρὸς πάντα καλὸν ὄν; Μὰ Δί' οὐκ ἔγωγ' ἔφη. Ἆρ' οὖν πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; Πάνυ μὲν οὖν, ἔφη. Καλὸν δὲ πρὸς ἄλλο τι ἐστὶν ἕκαστον ἢ πρὸς ὃ ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; Οὐδὲ πρὸς ἓν ἄλλο, ἔφη. Τὸ χρήσιμον ἄρα καλόν ἐστι πρὸς ὃ ἂν ᾖ χρήσιμον; Ἔμοιγε δοκεῖ, ἔφη. Ἀνδρείαν δέ, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι. Κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. Χρήσιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρείαν; Μὰ Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. Ἆρ' οὖν δοκεῖ σοι πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; Ἥκιστά γ', ἔφη. Οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα, διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοι εἰσί; Νὴ Δί', ἔφη. πολλοὶ γὰρ ἂν οὕτω γε τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. Τί δὲ οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; Ἔτι τε νὴ Δία ἧττον, ἔφη. Ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας, ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακούς, δειλούς; Πάνυ μὲν οὖν, ἔφη. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; Οὐκ· ἀλ-ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἄρα, τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους, ἔφη; Ἆρ' οὖν ἕκαστοι χρῶνται ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως, ἔφη; Ἆρα οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι, ἴσασιν ὡς δεῖ χρῆσθαι; Οὐ δήπου γε, ἔφη.

Οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γε, ἔφη. Τί δέ; οἱ μὴ διημαρτηκότες ἄρα κακῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἴομαι, ἔφη. Οἱ ἄρα κακῶς χρώμενοι διημαρτήκασιν; Εἰκός γε, ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοι εἰσὶν, οἱ δὲ διαμαρτάνοντες τούτου, δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη. Βασιλείαν δὲ καὶ τυραννίδα, ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ, ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ νόμους τῶν πόλεων ἀρχὴν, βασιλείαν ἡγεῖτο. τὴν δὲ, ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ᾽ ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δ᾽ ἐκ τιμημάτων, πλουτοκρατίαν. ὅπου δ᾽ ἐκ πάντων, δημοκρατίαν. εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι, μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ᾽ ἄνευ ἀποδείξεως, ἤτοι σοφώτερον φάσκων εἶναι ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτερον, ἢ ἀνδρειότερον, ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν ἂν πάντα τὸν λόγον ὧδέ πως, φὴς σὺ ἀμείνω πολίτην εἶναι ὃν σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; Φημὶ γὰρ οὖν. Τί οὖν οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψάμεθα, τί ἐστιν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν τοῦτο. Οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; Πάνυ μὲν οὖν, ἔφη. Ἐν δέ γε πολέμῳ. ὁ καθυπερτέραν τῶν ἀντιπάλων. Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ ἄρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκότως γε. Οὐκοῦν καὶ ἐν δημηγορίᾳ ὁ στάσεις τε παύων, καὶ ὁμόνοιαν ἐμποιῶν; Ἔμοιγε δοκεῖ. Οὕτω δὲ τῶν λόγων ἐπαναγομένων, καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές. ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομίζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. τοιγαροῦν πολὺ μάλιστα ὧν ἐγὼ οἶδα, ὅτε λέγοι τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. ἔφη δὲ καὶ Ὅμηρον τῷ Ὀδυσ-

δυνατεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους. ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι. ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω. πάντων μὲν γὰρ ὧν ἐγὼ οἶδα μάλιστα ἔμελεν αὐτῷ εἰδέναι ὅτου τὶς ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ. ὧν δὲ προσήκει ἀνδρὶ καλῷ κἀγαθῷ εἰδέναι, ὅ, τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν· ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπισταμένους ἦγεν αὐτούς. ἐδίδασκε δὲ καὶ μέχρις ὅτου δέοι ἔμπειρον εἶναι ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν, ἢ παραδοῦναι, ἢ διανεῖμαι, ἢ ἔργον ἀποδείξασθαι. οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι. τὸ δὲ μέχρι τῶν δυσξυνέτων διαγραμμάτων γεωμετρίαν μανθάνειν ἀπεδοκίμαζεν. ὅ, τι μὲν γὰρ ὠφελοίη ταῦτα οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν· ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν, καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν. ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι, μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν, ἕνεκα πορείας τε, καὶ πλοῦ καὶ φυλακῆς· καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ᾽ ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας. καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν παρά τε τῶν νυκτοθηρῶν καὶ κυβερνητῶν καὶ ἄλλων πολλῶν οἷς ἐπιμελὲς ταῦτα εἰδέναι. τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα καὶ τοὺς πλανήτας τε καὶ ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς

γῆς, καὶ τὰς περιόδους, καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν· καίτοι καὶ τούτων γε ἀνήκοος ἦν, ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον, καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν. ὅλως δὲ τῶν οὐρανίων ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται, φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν. οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶναι, οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν, κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι. ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει ὡς τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν· καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν. ὑπὸ δὲ τοῦ πυρὸς οὔ. ἠγνόει δὲ ὅτι καὶ τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται. φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πολὺν χρόνον ἀντέχει· ὁ δὲ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότερος ὢν διαμένει. ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν, καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν, μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεπεσκόπει καὶ συνδιεξῄει τοῖς συνοῦσι. προέτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν εἰδότων μανθάνοντας ὅσα ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου τί βρῶμα ἢ τί πόμα ἢ ποῖος πόνος συμφέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ' ἂν διάγοι. τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ ἔργον ἔφη εἶναι εὑρεῖν ἰατρὸν τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ. εἰ δέ τις μᾶλλον ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν ὠφελεῖσθαι βούλοιτο, συνε-

βού-


βούλοιτο μαντικῆς ἐπιμελεῖσθαι. τὸν γὰρ εἰδότα δι' ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσιν οὐδέποτ' ἔρημον ἔφη γίγνεσθαι συμβουλῆς θεῶν. Εἰ δέ τις, ὅτι φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν, ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω πρῶτον μὲν ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον· εἶτα ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ βίου, καὶ ἐν ᾧ πάντες τὴν διάνοιαν μειοῦνται, ἀπέλιπεν. ἀντὶ δὲ τούτου τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος, εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα καὶ ἐλευθεριώτατα καὶ δικαιότατα εἰπών, καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πρᾳότατα καὶ ἀνδρωδέστατα ἐνεγκών. ὁμολογεῖται γὰρ οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι, διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι, τὸν δὲ νόμον μηδένα ἐᾶν δημοσίᾳ ἀποθνήσκειν ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ· καὶ τὸν χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς ἢ τὸν ἔμπροσθεν χρόνον. καίτοι τῶν ἔμπροσθέν γε πάντων ἀνθρώπων μάλιστα ἐθαυμάζετο ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως ζῆν, καὶ πῶς ἄν τις κάλλιον ἢ οὕτως ἀποθάνοι; ἢ ποῖος ἂν εἴη θάνατος καλλίων ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ καλλίστου; ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονεστάτου; Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα περὶ αὐτοῦ· ἔφη γάρ, ἤδη Μελίτου γεγραμμένου αὐτὸν τὴν γραφήν, αὐτὸς ἀκούων αὐτοῦ πάντα μᾶλλον ἢ περὶ τῆς δίκης διαλεγομένου, λέγειν αὐτῷ ὡς χρὴ σκοπεῖν ὅ, τι ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν, Οὐ γὰρ δοκῶ σοι τοῦτο μελετῶν διαβεβιωκέναι; Ἐπεὶ δὲ αὐτὸν ἤρετο ὅπως, εἰπεῖν αὐτὸν ὅτι οὐδὲν ἄλλο

ποιῶν διαγεγένηται, ἢ διασκοπῶν μὲν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια, καὶ τῶν ἀδίκων ἀπεχόμενος· ἥνπερ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι. αὐτὸς δὲ πάλιν εἰπεῖν, Οὐχ ὁρᾷς ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθεσθέντες ἀπέκτειναν, πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν; Ἀλλὰ νὴ τὸν Δία, φάναι αὐτόν, ὦ Ἑρμόγενες, ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας, ἠναντιώθη τὸ δαιμόνιον. Καὶ αὐτὸς εἰπεῖν, Θαυμαστὰ λέγεις. Τὸν δὲ, Θαυμάζεις, φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον εἶναι ἐμὲ τελευτᾶν τὸν βίον ἤδη; οὐκ οἶσθ' ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην ἂν οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς ἄριστα ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰσθανομένους ὅτι βελτίους γίγνονται. ἃ ἐγὼ μέχρι τοῦδε τοῦ χρόνου ᾐσθανόμην ἐμαυτῷ συμβαίνοντα, καὶ τοῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων, καὶ πρὸς τοὺς ἄλλους παραθεωρῶν ἐμαυτὸν, οὕτω διατετέλεκα περὶ ἐμαυτοῦ γιγνώσκων. καὶ οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες περὶ ἐμοῦ διατελοῦσιν, οὐ διὰ τὸ φιλεῖν ἐμὲ, καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους, ἀλλὰ διόπερ καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι. εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾶν τε καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν· καὶ ὧν πρότερον βελτίων ἦν, τούτων χείρων γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος. αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέστερον ζῆν; ἀλλὰ μὴν εἴγε ἀδίκως ἀποθανοῦμαι, τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο. εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν τὸ ἑτέρους μὴ δύνασθαι

περὶ

περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι, μήτε ποιῆσαι; ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δ' ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν. οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων, οὐδὲ χείρω ἐποίησα· βελτίους δὲ ποιεῖν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. Τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διελέχθη, καὶ πρὸς τοὺς ἄλλους. τῶν δὲ Σωκράτην γιγνωσκόντων οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δὴ τοιοῦτος ὢν ἐδόκει, οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δὲ ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ, ἐγκρατὴς δὲ ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δὲ ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι, ἀλλὰ αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντα ἐξελέγξαι, καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν· ἐδόκει τοιοῦτος εἶναι οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος. εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλων ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω.

ΠΛΑ-



ΠΛΑ'ΤΩΝΟΣ ΔΙΑ'ΛΟΓΟΙ.

ΕΥ'ΘΥ'ΦΡΩΝ, Η῍ ΠΕΡΙ` ΟʹΣΙʹΟΥ ΠΕΙΡΑΣΤΙΚΟʹΣ.

ΤΑ` ΤΟΥ῀ ΔΙΑΛΟʹΓΟΥ ΠΡΟʹΣΩΠΑ,

Εὐθύφρων, καὶ Σωκράτης.

ΤΙ' νεώτερον ὦ Σώκρατες γέγονεν, ὅτι σὺ τὰς ἐν Λυκείῳ καταλιπὼν διατριβὰς, ἐνθάδε νῦν διατρίβεις, περὶ τὴν τοῦ βασιλέως στοάν; οὐ γάρ που καὶ σοὶ δίκη τις οὖσα τυγχάνει πρὸς τὸν βασιλέα, ὥσπερ ἐμοί. Σω. Οὔτοι δὴ Ἀθηναῖοί γε, ὦ Εὐθύφρον, δίκην αὐτὴν καλοῦσιν, ἀλλὰ γραφήν. Ευ. Τί φῄς; γραφήν σε τὶς ὡς ἔοικε γέγραπται. οὐ γάρ που ἐκεῖνό γε καταγνώσομαι, ὡς σύ γε ἕτερον. Σω. Οὐ γὰρ οὖν. Ευ. Ἀλλά σε ἄλλος; Σω. Πάνυ γε. Ευ. Τίς οὗτος; Σω. Οὐδ᾽ αὐτὸς πάνυ τοι γιγνώσκω ὦ Εὐθύφρον, τὸν ἄνδρα. νέος γάρ τίς μοι φαίνεται καὶ ἀγνώς. ὀνομάζουσι μέντοι αὐτὸν, ὡς ἐγᾦμαι, Μέλιτον. ἔστι δὲ τὸν δῆμον Πιτθεὺς, εἴ τιν᾽ ἐν νῷ ἔχεις Πιτθέα Μέλιτον, οἷον τετανότριχα, καὶ οὐ πάνυ εὐγένειον, ἐπίγρυπον δέ. Ευ. Οὐκ ἐννοῶ ὦ Σώκρατες. ἀλλὰ δὴ τίνα γραφήν σε γέγραπται; Σω. Ἥντινα, οὐκ ἀγεννῆ ἔμοιγε δοκεῖ. τὸ γὰρ νέον ὄντα, τοσοῦτον πρᾶγμα ἐγνωκέναι, οὐ φαῦλόν ἐστιν. ἐκεῖνος γὰρ ὥς φησιν, οἶδε τίνα τρόπον οἱ νέοι διαφθείρονται. καὶ τίνες οἱ διαφθείροντες αὐτούς. καὶ κινδυνεύει σοφός τις εἶναι, καὶ τὴν ἐμὴν ἀμαθίαν κατιδὼν, ὡς διαφθείροντος τοὺς ἡλικιώτας αὐτοῦ, ἔρ-

χε-

χεται κατηγορήσων ὥσπερ πρὸς μητέρα πρὸς τὴν πόλιν. καὶ φαίνεταί μοι τῶν πολιτικῶν μόνος ἄρχεσθαι ὀρθῶς. ὀρθῶς γάρ ἐστι τῶν νέων πρῶτον ἐπιμεληθῆναι, ὅπως ἔσονται ὅτι ἄριστοι. ὥσπερ γεωργὸν ἀγαθὸν τῶν νέων φυτῶν εἰκὸς πρῶτον ἐπιμεληθῆναι. μετὰ δὲ τοῦτο καὶ τῶν ἄλλων. καὶ δὴ καὶ Μέλιτος ἴσως πρῶτον μὲν ἡμᾶς ἐκκαθαίρει, τοὺς τῶν νέων τὰς βλάστας διαφθείροντας, ὥς φησιν. ἔπειτα μετὰ τοῦτο δηλονότι τῶν πρεσβυτέρων ἐπιμεληθεὶς, πλείστων καὶ μεγίστων ἀγαθῶν αἴτιος τῇ πόλει γενήσεται, ὥστε εἰκὸς συμβῆναι, ἐκ τοιαύτης ἀρχῆς ἀρξαμένῳ. Εὐ. Βουλοίμην ἂν ὦ Σώκρατες. ἀλλ' ὀρρωδῶ μὴ τοὐναντίον γένηται. ἀτεχνῶς γάρ μοι δοκεῖ ἀφ' ἑστίας ἄρχεσθαι κακουργεῖν τὴν πόλιν, ἐπιχειρῶν ἀδικεῖν σέ. καί μοι λέγε τί καὶ ποιοῦντά σέ φησι, διαφθείρειν τοὺς νέους; Σω. Ἄτοπα ὦ θαυμάσιε ὡς οὕτω γ' ἀκοῦσαι. φησὶ γὰρ ποιητήν εἶναί με θεῶν. καὶ ὡς καινοὺς ποιοῦντα θεοὺς, τοὺς δ' ἀρχαίους οὐ νομίζοντα, ἐγράψατο τούτων αὐτῶν ἕνεκα, ὥς φησι. Εὐ. Μανθάνω ὦ Σώκρατες, ὅτι δὴ σὺ τὸ δαιμόνιον φῂς σαυτῷ ἑκάστοτε γίγνεσθαι. ὡς οὖν καινοτομοῦντος σου περὶ τὰ θεῖα, γέγραπται ταύτην τὴν γραφήν. καὶ ὡς διαβαλῶν δὴ ἔρχεται εἰς τὸ δικαστήριον. εἰδὼς ὅτι εὐδιάβολα τὰ τοιαῦτα πρὸς τοὺς πολλούς. καὶ ἐμοῦ γάρ τοι ὅταν τι λέγω ἐν τῇ ἐκκλησίᾳ περὶ τῶν θείων, προλέγων αὐτοῖς τὰ μέλλοντα, καταγελῶσιν ὡς μαινομένου, καί τοι οὐδὲν ὅ, τι οὐκ ἀληθὲς εἴρηκα, ὧν προεῖπον. ἀλλ' ὅμως φθονοῦσιν ἡμῖν πᾶσι τοῖς τοιούτοις. ἀλλ' οὐδὲν αὐτῶν χρὴ φροντίζειν, ἀλλ' ὁμόσε ἰέναι. Σω. Ὦ φίλε Εὐθύφρον. ἀλλὰ τὸ μὲν καταγελασθῆναι, ἴσως οὐδὲν πρᾶγμα. Ἀθηναίοις γάρ τοι ὡς ἐμοὶ δοκεῖ, οὐ σφόδρα μέλει, ἄν τινα δεινὸν οἴωνται εἶναι. μὴ μέν τοι διδασκαλικὸν τῆς αὐτοῦ σοφίας. ὃν δ' ἂν, καὶ ἄλλους οἴωνται ποιεῖν τοιούτους, θυμοῦνται εἴτ' οὖν φθόνῳ ὡς σὺ λέγεις, εἴτε δι' ἄλλο τι. Εὐ. Τούτου οὖν πέρι, ὅπως ποτὲ πρὸς ἐμὲ ἔχουσιν, οὐ πάνυ ἐπιθυμῶ πειραθῆναι. Σω. Ἴσως γάρ σὺ μὲν δοκεῖς σπάνιον σεαυτὸν παρέχειν, καὶ διδάσκειν οὐκ ἐθέλειν τὴν σεαυτοῦ σοφίαν. ἐγὼ δὲ φοβοῦμαι, μὴ ὑπὸ

φιλανθρωπίας δοκῶ αὐτοῖς ὅ, τι περ ἔχω ἐκκεχυμένως παντὶ ἀνδρὶ λέγειν, οὐ μόνον ἄνευ μισθοῦ, ἀλλὰ καὶ προστιθεὶς ἂν ἡδέως, εἴ τις μου ἐθέλει ἀκούειν. εἰ μὲν οὖν ὃ νῦν δὴ ἔλεγον μέλλοιέν μου καταγελᾶν, ὥσπερ σὺ φὴς σαυτοῦ, οὐδὲν ἂν εἴη ἀηδὲς, παίζοντας καὶ γελῶντας ἐν τῷ δικαστηρίῳ διαγαγεῖν. εἰ δὲ σπουδάσονται, τοῦτ' ἤδη ὅπῃ ἀποβήσεται, ἄδηλον, πλὴν ὑμῖν τοῖς μάντεσιν. Εὐ. Ἀλλ' οὐδὲν ἴσως ἔσται ὦ Σώκρατες πρᾶγμα, ἀλλὰ σύ τε κατὰ νοῦν ἀγωνιῇ τὴν δίκην. οἶμαι δὲ καὶ ἐμὲ τὴν ἐμήν. Σω. Ἔστι δὲ δή σοι ὦ Εὐθύφρον, τίς ἡ δίκη; φεύγεις αὐτὴν, ἢ διώκεις; Εὐ. Διώκω. Σω. Τίνα; Εὐ. Ὃν διώκων αὖ δοκῶ μαίνεσθαι. Σω. Τί δὲ πετόμενόν τινα διώκεις; Εὐ. Πολλοῦ γε δεῖ πέτεσθαι, ὅς γε δὴ τυγχάνει ὢν εὖ μάλα πρεσβύτης. Σω. Τίς οὗτος; Εὐ. Ὁ ἐμὸς πατήρ. Σω. Ὁ σὸς ὦ βέλτιστε; Εὐ. Πάνυ μὲν οὖν. Σω. Ἔστι δὲ δὴ τί τὸ ἔγκλημα, καὶ τίνος ἡ δίκη; Εὐ. Φόνου ὦ Σώκρατες. Σω. Ἡράκλεις. ἦπου ὦ Εὐθύφρον ἀγνοεῖται ὑπὸ τῶν πολλῶν, ὅπῃ ποτὲ ὀρθῶς ἔχει. οὐ γὰρ οἶμαί γε τοῦ ἐπιτυχόντος εἶναι ὀρθῶς αὐτὸ πρᾶξαι. ἀλλὰ πόῤῥω που ἤδη σοφίας ἐλαύνοντος. Εὐ. Πόῤῥω μέν τοι νὴ Δία ὦ Σώκρατες. Σω. Ἔστι δὲ δὴ τῶν οἰκείων τὶς ὁ τεθνειὼς ὑπὸ τοῦ σοῦ πατρός; ἢ δηλαδή; οὐ γὰρ ἄν που ὑπέρ γε ἀλλοτρίου ἐπεξῄεισθα τῷ πατρὶ φόνου αὐτῷ. Εὐ. Γελοῖον ὦ Σώκρατες, ὅτι οἴει τὶ διαφέρειν, εἴτε ἀλλότριος εἴτε οἰκεῖος ὁ τεθνειώς. ἀλλ' οὐ τοῦτο μόνον δεῖ φυλάττειν, εἴτε ἐν δίκῃ ἔκτεινεν ὁ κτείνας, εἴτε μή. καὶ εἰ μὲν ἐν δίκῃ, ἐᾶν. εἰ δὲ μὴ, ἐπεξιέναι, ἐάν περ ὁ κτείνας συνέστιός σοι καὶ ὁμοτράπεζος ᾖ. ἴσον γὰρ τὸ μίασμα γίνεται, ἐὰν ξυνῇς τῷ τοιούτῳ ξυνειδὼς, καὶ μὴ ἀφοσιοῖς σεαυτόν τε καὶ ἐκεῖνον, τῇ δίκῃ ἐπεξιών. ἐπεὶ ὅ, γε ἀποθανὼν, πελάτης τὶς ἦν ἐμός. καὶ ὡς ἐγεωργοῦμεν ἐν τῇ Νάξῳ, ἐθήτευεν ἐκεῖ παρ' ἡμῖν. παροινήσας οὖν καὶ ὀργισθεὶς τῶν οἰκετῶν τινὶ τῶν ἡμετέρων, ἀποσφάττει αὐτόν. ὁ οὖν πατὴρ συνδήσας τοὺς πόδας καὶ τὰς χεῖρας αὐτοῦ, καταβαλὼν εἰς τάφρον τινὰ, πέμπει δεῦρο ἄνδρα πεύ-

σόμε-

σόμενον τοῦ ἐξηγητοῦ ὅ, τι χρὴ ποιεῖν. ἐν δὲ τούτῳ τῷ χρόνῳ, τοῦ δεδεμένου ὠλιγώρει τε καὶ ἠμέλει, ὡς ἀνδροφόνου, καὶ οὐδὲν ὂν πρᾶγμα, εἰ καὶ ἀποθάνοι, ὅπερ οὖν καὶ ἔπαθεν. ὑπὸ γὰρ λιμοῦ καὶ ῥίγους καὶ τῶν δεσμῶν ἀποθνήσκει, πρὶν τὸν ἄγγελον παρὰ τοῦ ἐξηγητοῦ ἀφικέσθαι. ταῦτα δὴ οὖν καὶ ἀγανακτεῖ ὅ, τε πατὴρ καὶ οἱ ἄλλοι οἰκεῖοι, ὅτι ἐγὼ ὑπὲρ τοῦ ἀνδροφόνου, τῷ πατρὶ φόνου ἐπεξέρχομαι, οὔτε ἀποκτείναντι, ὥς φασιν ἐκεῖνοι, οὔτ' εἰ ὅτι μάλιστ' ἀπέκτεινεν, ἀνδροφόνου γε ὄντος τοῦ ἀποθανόντος, οὐ δεῖν φροντίζειν ὑπὲρ τοῦ τοιούτου. ἀνόσιον γὰρ εἶναι τὸ υἱὸν πατρὶ φόνου ἐπεξιέναι, κακῶς εἰδότες ὦ Σώκρατες τὸ θεῖον, ὡς ἔχει τοῦ ὁσίου τε πέρι, καὶ τοῦ ἀνοσίου. Σω. Σὺ δὲ δὴ πρὸς διὸς ὦ Εὐθύφρον οὑτωσὶ ἀκριβῶς οἴει ἐπίστασθαι περὶ τῶν θείων, ὅπῃ ἔχῃ, καὶ τῶν ὁσίων τε καὶ ἀνοσίων, ὥστε τούτων οὕτω πραχθέντων, ὡς σὺ λέγεις, οὐ φοβῇ δικαζόμενος τῷ πατρὶ, ὅπως μὴ αὖ σὺ ἀνόσιον πρᾶγμα τυγχάνῃς πράττων; Εὐ. Οὐδὲν γὰρ ἄν μοι ὄφελος ὦ Σώκρατες εἴη, οὐδέ τῳ ἂν διαφέροι Εὐθύφρων τῶν πολλῶν ἀνθρώπων, εἰ μὴ τὰ τοιαῦτα πάντα ἀκριβῶς εἰδείην. Σω. Ἆρ' οὖν μοι ὦ θαυμάσιε Εὐθύφρον κράτιστόν ἐστι μαθητῇ σῷ γενέσθαι, καὶ πρὸ τῆς γραφῆς τῆς πρὸς Μέλιτον αὐτὰ ταῦτα προκαλεῖσθαι αὐτὸν λέγοντι, ὅτι ἔγωγε καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ τὰ θεῖα περὶ πολλοῦ ἐποιούμην εἰδέναι, καὶ νῦν, ἐπειδή με ἐκεῖνος αὐτοσχεδιάζοντά φησι, καὶ καινοτομοῦντα περὶ τῶν θείων ἐξαμαρτάνειν, μαθητὴς γέγονα σός. καὶ εἰ μὲν ὦ Μέλιτε φαίην ἂν, Εὐθύφρονα ὁμολογεῖς σοφὸν εἶναι τὰ τοιαῦτα, καὶ ὀρθῶς νομίζειν, καὶ ἐμὲ ἡγοῦ, καὶ μὴ δικάζου. εἰ δὲ μὴ, ἐκείνῳ τῷ διδασκάλῳ λάχε δίκην πρότερον ἢ ἐμοὶ, ὡς τοὺς πρεσβυτέρους διαφθείροντι, ἐμέ τε καὶ τὸν αὐτοῦ πατέρα, ἐμὲ μὲν, διδάσκοντι. ἐκεῖνον δὲ, νουθετοῦντι καὶ κολάζοντι. καὶ ἐὰν μή μοι πείθηται, μὴ δὲ ἀφίῃ τῆς δίκης, ἢ ἀντ' ἐμοῦ γράφηταί σε, αὐτὰ ταῦτα λέγειν ἐν τῷ δικαστηρίῳ, ἃ προυκαλούμην αὐτόν. Εὐ. Ναὶ μὰ δία ὦ Σώκρατες, εἰ ἄρα ἐμὲ ἐπιχειρήσειε γράφεσθαι, εὕ-

ροιμ' ἂν, ὡς οἶμαι, ὅπῃ σαθρός ἐστι. καὶ πολὺ ἂν ἡμῖν πρότερον περὶ ἐκείνου λόγος γένοιτο ἐν τῷ δικαστηρίῳ, ἢ περὶ ἐμοῦ.

Σω. Καὶ ἐγώ τοι ὦ φίλε ἑταῖρε, ταῦτα γιγνώσκων, μαθητὴς ἐπιθυμῶ γενέσθαι σός, εἰδὼς ὅτι καὶ ἄλλος πού τις, καὶ ὁ Μέλιτος οὗτος, σὲ μὲν οὐδὲ δοκεῖ ὁρᾶν, ἐμὲ δὲ οὕτως ὀξέως, ἀτεχνῶς καὶ ῥᾳδίως κατεῖδεν, ὥστε ἀσεβείας ἐγράψατο. νῦν οὖν πρὸς Διὸς λέγε μοι, ὃ νῦν σαφῶς εἰδέναι διισχυρίζου. ποῖον δή τι τὸ εὐσεβὲς φῂς εἶναι, καὶ τὸ ἀσεβὲς, καὶ περὶ φόνου, καὶ περὶ τῶν ἄλλων. ἢ οὐ ταυτόν ἐστιν ἐν πάσῃ πράξει, τὸ ὅσιον αὐτὸ αὑτῷ, καὶ τὸ ἀνόσιον αὖ, τοῦ μὲν ὁσίου παντὸς ἐναντίον, αὐτὸ δὲ αὑτῷ ὅμοιον, καὶ ἔχον μίαν τινὰ ἰδέαν κατὰ τὴν ἀνοσιότητα, πᾶν ὅ, τι περ ἂν μέλλοι ἀνόσιον εἶναι;

Ευ. Πάντως δήπου ὦ Σώκρατες. Σω. Λέγε δή, τί φῂς εἶναι τὸ ὅσιον, καὶ τί τὸ ἀνόσιον; Ευ. Λέγω τοίνυν, ὅτι τὸ μὲν ὅσιόν ἐστιν, ὅπερ ἐγὼ νῦν ποιῶ, τῷ ἀδικοῦντι, ἢ περὶ φόνους, ἢ περὶ ἱερῶν κλοπὰς, ἤ τι ἄλλο τῶν τοιούτων ἐξαμαρτάνοντι ἐπεξιέναι. ἐάν τε πατὴρ ὢν τυγχάνῃ, ἐάν τε μήτηρ, ἐάν τε ἄλλος ὁστισοῦν. τὸ δὲ μὴ ἐπεξιέναι, ἀνόσιον. ἐπεὶ ὦ Σώκρατες θέασαι, ὡς μέγα σοι ἐρῶ τεκμήριον τοῦ νόμου, ὅτι οὕτως ἔχει, ὃ καὶ ἄλλοις ἤδη εἶπον, ὅτι ταῦτα ὀρθῶς ἂν εἴη οὕτω γιγνόμενα, μὴ ἐπιτρέπειν τῷ ἀσεβοῦντι, μὴ δ' ἂν ὁστισοῦν τυγχάνῃ ὤν. αὐτοὶ γὰρ οἱ ἄνθρωποι τυγχάνουσι νομίζοντες τὸν Δία τῶν θεῶν ἄριστον καὶ δικαιότατον, καὶ τοῦτον ὁμολογοῦσι τὸν αὑτοῦ πατέρα δῆσαι, ὅτι τοὺς ὑεῖς κατέπινεν οὐκ ἐν δίκῃ, καὶ ἐκεῖνόν γε αὖ τὸν αὑτοῦ πατέρα ἐκτεμεῖν, δι' ἕτερα τοιαῦτα. ἐμοὶ δὲ χαλεπαίνουσι, ὅτι τῷ πατρὶ ἐπεξέρχομαι ἀδικοῦντι. καὶ οὕτως αὐτοὶ ἑαυτοῖς τὰ ἐναντία λέγουσι περί τε τῶν θεῶν, καὶ περὶ ἐμοῦ. Σω. Ἆρά γε ὦ Εὐθύφρον τοῦτ' ἔστιν, οὗ ἕνεκα τὴν γραφὴν φεύγω. ὅτι τὰ τοιαῦτα ἐπειδάν τις περὶ τῶν θεῶν λέγῃ, δυσχερῶς πως ἀποδέχομαι, δι' ἃ δή, ὡς ἔοικε, φησί τις με ἐξαμαρτάνειν. νῦν οὖν εἰ καὶ σοὶ ταῦτα συνδοκεῖ, τῷ εὖ εἰδότι περὶ τῶν τοιούτων,

ἀνάγ-

ἀνάγκη δὴ, ὡς ἔοικε, καὶ ἡμῖν ξυγχωρεῖν. τί γὰρ καὶ φήσομεν, οἵ γε καὶ αὐτοὶ ὁμολογοῦμεν περὶ αὐτῶν μηδὲν εἰδέναι; ἀλλά μοι εἰπὲ πρὸς φιλίου, σὺ ὡς ἀληθῶς ἡγῇ ταῦτα οὕτως γεγονέναι; Εὐ. Καὶ ἔτι γε τούτων θαυμασιώτερα ὦ Σώκρατες, ἃ οἱ πολλοὶ οὐκ ἴσασι. Σω. Καὶ πόλεμον ἄρα ἡγῇ σὺ εἶναι τῷ ὄντι ἐν τοῖς θεοῖς πρὸς ἀλλήλους, καὶ ἔχθρας δεινὰς καὶ μάχας καὶ ἄλλα τοιαῦτα πολλὰ, οἷα λέγεται ὑπὸ τῶν ποιητῶν, καὶ ὑπὸ τῶν ἀγαθῶν γραφέων; τά, τε ἄλλα ἱερὰ ἡμῖν καταπεποίκιλται. καὶ δὴ καὶ τοῖς μεγάλοις παναθηναίοις ὁ πέπλος μεστὸς τῶν τοιούτων ποικιλμάτων ἀνάγεται εἰς τὴν ἀκρόπολιν ταῦτα ἀληθῆ φῶμεν εἶναι ὦ Εὐθύφρον; Εὐ. Μὴ μόνα γε ὦ Σώκρατες. ἀλλ᾽ ὅπερ ἄρτι εἶπον, καὶ ἄλλα σοι ἐγὼ πολλὰ, ἐάν περ βούλῃ περὶ τῶν θείων διηγήσομαι. ἃ σὺ ἀκούων, εὖ οἶδ᾽, ὅτι ἐκπλαγήσῃ. Σω. Οὐκ ἂν θαυμάζοιμι. ἀλλὰ ταῦτα μέν μοι εἰσαῦθις ἐπὶ σχολῆς διηγήσῃ. νυνὶ δὲ ὅπερ ἄρτι σε ἠρόμην, πειρῶ σαφέστερον εἰπεῖν. οὐ γάρ με ὦ ἑταῖρε τὸ πρότερον ἱκανῶς ἐδίδαξας, ἐρωτήσαντα τὸ ὅσιον ὅ, τί ποτε εἴη. ἀλλά μοι εἶπες, ὅτι τοῦτο τυγχάνει ὅσιον ὄν, ὃ σὺ νῦν ποιεῖς, φόνου ἐπεξιὼν τῷ πατρί. Εὐ. Καὶ ἀληθῆ γε ἔλεγον ὦ Σώκρατες. Σω. Ἴσως. ἀλλὰ γὰρ ὦ Εὐθύφρον καὶ ἄλλα πολλὰ φῂς εἶναι ὅσια; Εὐ. Καὶ γάρ ἐστι. Σω. Μέμνησαι οὖν, ὅτι οὐ τοῦτό σοι διεκελευόμην, ἕν τι ἢ δύο με διδάξαι τῶν πολλῶν ὁσίων. ἀλλ᾽ ἐκεῖνο αὐτὸ τὸ εἶδος, ᾧ πάντα τὰ ὅσια, ὅσιά ἐστιν. ἔφησθα γάρ που μιᾷ ἰδέᾳ τά τε ἀνόσια, ἀνόσια εἶναι, καὶ τὰ ὅσια, ὅσια. ἢ οὐ μνημονεύεις; Εὐ. Ἔγωγε. Σω. Ταύτην τοίνυν με αὐτὴν δίδαξον τὴν ἰδέαν, τίς ποτε ἐστιν, ἵνα εἰς ἐκείνην ἀποβλέπων, καὶ χρώμενος αὐτῇ παραδείγματι, ὃ μὲν ἂν τοιοῦτον ᾖ, ὧν ἂν ἢ σὺ ἢ ἄλλος τις πράττῃ, φῶ ὅσιον εἶναι. ὃ δ᾽ ἂν μὴ τοιοῦτον, μὴ φῶ. Εὐ. Ἀλλ᾽ εἰ οὕτω βούλει ὦ Σώκρατες, καὶ οὕτω σοι φράσω. Σω. Ἀλλὰ μὴν βούλομαί γε. Εὐ. Ἔστι τοίνυν τὸ μὲν τοῖς θεοῖς προσφιλὲς, ὅσιον. τὸ δὲ μὴ προσφιλὲς, ἀνόσιον. Σω. Παγκάλως ὦ Εὐθύφρον, καὶ ὡς ἐγὼ

ἐζή-

ἐζήτουν ἀποκρίνασθαί σε, οὕτω νῦν ἀπεκρίνω. εἰ μέντοι ὡς ἀληθῶς, τοῦτο οὔπω οἶδα. ἀλλὰ σὺ δηλονότι ἐπεκδιδάξεις ὡς ἔστιν ἀληθῆ ἃ λέγεις. Εὐ. Πάνυ μὲν οὖν. Σω. Φέρε δὴ ἐπισκεψώμεθα τί λέγομεν, τὸ μὲν θεοφιλές τε, καὶ ὁ θεοφιλὴς ἄνθρωπος ὅσιος. τὸ δὲ θεομισὲς, καὶ ὁ θεομισὴς ἀνόσιος. οὐ ταυτὸν δ' ἐστὶν, ἀλλὰ τὸ ἐναντιώτατον τὸ ὅσιον τῷ ἀνοσίῳ. οὐχ οὕτως; Εὐ. Οὕτω μὲν οὖν. Σω. Καὶ εὖγε φαίνεται εἰρῆσθαι; Εὐ. Δοκῶ ὦ Σώκρατες, εἴρηται γάρ. Σω. Οὐκοῦν καὶ ὅτι στασιάζουσιν οἱ θεοὶ καὶ διαφέρονται ἀλλήλοις ὦ Εὐθύφρον, καὶ ἔχθρα ἐστὶν ἐν αὐτοῖς πρὸς ἀλλήλους, καὶ τοῦτο εἴρηται; Εὐ. Εἴρηται γάρ. Σω. Ἔχθραν δὲ καὶ ὀργὰς ὦ ἄριστε ἡ περὶ τίνων διαφορὰ ποιεῖ, ὧδε δὲ σκοπῶμεν. ἆρα ἂν εἰ διαφεροίμεθα ἐγώ τε καὶ σὺ περὶ ἀριθμοῦ ὁπότερα πλείω, ἡ περὶ τούτων διαφορὰ ἐχθροὺς ἂν ἡμᾶς ποιῇ καὶ ὀργίζεσθαι ἀλλήλοις, ἢ ἐπὶ λογισμὸν ἐλθόντες περίγε τῶν τοιούτων, ταχὺ ἂν ἀπαλλαγείημεν; Εὐ. Πάνυ γε. Σω. Οὐκοῦν καὶ περὶ τοῦ μείζονος καὶ τοῦ ἐλάττονος, εἰ διαφεροίμεθα, ἐπὶ τὸ μετρεῖν ἐλθόντες, ταχὺ παυσαίμεθ' ἂν τῆς διαφορᾶς; Εὐ. Ἔστι ταῦτα. Σω. Καὶ ἐπίγε τὸ ἱστάναι ἐλθόντες ὡς ἐγῷμαι, περὶ τοῦ βαρυτέρου τε καὶ κουφοτέρου διακριθείημεν ἄν; Εὐ. Πῶς γὰρ οὔ; Σω. Περὶ τίνος δὲ δὴ διενεχθέντες, καὶ ἐπὶ τίνα κρίσιν οὐ δυνάμενοι ἀφικέσθαι, ἐχθροί τε ἂν ἀλλήλοις εἴημεν, καὶ ὀργιζοίμεθα; ἴσως οὐ πρόχειρόν σοι ἐστίν. ἀλλ' ἐμοῦ λέγοντος σκόπει, εἰ τάδ' ἐστι, τό, τε δίκαιον καὶ τὸ ἄδικον καὶ καλὸν καὶ αἰσχρὸν, καὶ ἀγαθὸν καὶ κακὸν, ἆρ' οὐ ταῦτά ἐστι περὶ ὧν διενεχθέντες, καὶ οὐ δυνάμενοι ἐπὶ ἱκανὴν κρίσιν αὐτῶν ἐλθεῖν, ἐχθροὶ ἀλλήλοις γιγνόμεθα, ὅταν γιγνώμεθα, καὶ ἐγὼ καὶ σὺ, καὶ οἱ ἄλλοι ἄνθρωποι πάντες; Εὐ. Ἀλλ' ἔστιν αὕτη ἡ διαφορὰ ὦ Σώκρατες, καὶ περὶ τούτων. Σω. Τί δὲ οἱ θεοὶ ὦ Εὐθύφρον, οὐκ εἴπερ τι διαφέρονται, δι' αὐτὰ ταῦτα διαφέροιντ' ἄν; Εὐ. Πολλὴ ἀνάγκη. Σω. Καὶ τῶν θεῶν ἄρα ὦ γενναῖε Εὐθύφρον ἄλλοι ἄλλα δίκαια ἡγοῦνται κατὰ τὸν σὸν λόγον, καὶ

καλὰ

καλὰ καὶ αἰσχρὰ, καὶ ἀγαθὰ καὶ κακά. οὐ γὰρ ἄν που ἐστασίαζον ἀλλήλοις, εἰ μὴ περὶ τούτων διεφέροντο· ἢ γάρ; Εὐ. Ὀρθῶς λέγεις. Σω. Οὐκοῦν ἅπερ καλὰ ἡγοῦνται ἕκαστοι καὶ ἀγαθὰ καὶ δίκαια, ταῦτα καὶ φιλοῦσι; τὰ δὲ ἐναντία τούτων, καὶ μισοῦσιν; Εὐ. Πάνυ γε. Σω. Ταῦτα δέ γε ὡς σὺ φὴς, οἱ μὲν δίκαια ἡγοῦνται, οἱ δὲ ἄδικα. περὶ ἃ καὶ ἀμφισβητοῦντες, στασιάζουσί τε καὶ πολεμοῦσιν ἀλλήλοις. ἆρ' οὐχ οὕτως; Εὐ. Οὕτω. Σω. Ταυτὰ ἄρα ὡς ἔοικε μισεῖται ὑπὸ τῶν θεῶν, καὶ φιλεῖται, καὶ θεομισῆ τε καὶ θεοφιλῆ ταῦτ' ἂν εἴη. Εὐ. Ἔοικε. Σω. Καὶ ὅσια ἄρα καὶ ἀνόσια τὰ αὐτὰ ἂν εἴη, ὦ Εὐθύφρον, τούτῳ τῷ λόγῳ. Εὐ. Κινδυνεύει. Σω. Οὐκ ἄρα ὃ ἠρόμην ἀπεκρίνω ὦ θαυμάσιε. οὐ γὰρ τοῦτό γε ἠρώτων, ὃ τυγχάνει ταυτὸν ὂν ὅσιόν τε καὶ ἀνόσιον. ὃ δ' ἂν θεοφιλὲς ᾖ, καὶ θεομισές ἐστιν, ὡς ἔοικεν. ὥστε ὦ Εὐθύφρον, ὃ σὺ νῦν ποιεῖς τὸν πατέρα κολάζων, οὐδὲν θαυμαστὸν εἰ τοῦτο δρῶν, τῷ μὲν Διῒ προσφιλὲς ποιεῖς, τῷ δὲ Κρόνῳ καὶ τῷ Οὐρανῷ ἐχθρόν. καὶ τῷ μὲν Ἡφαίστῳ φίλον, τῇ δὲ Ἥρᾳ ἐχθρὸν, καὶ εἴ τις ἄλλος θεῶν ἕτερος ἑτέρῳ διαφέρεται περὶ αὐτοῦ καὶ ἐκείνοις κατὰ ταυτά. Εὐ. Ἀλλ' οἶμαι ὦ Σώκρατες περί γε τούτου τῶν θεῶν οὐδένα ἕτερον ἑτέρῳ διαφέρεσθαι, ὡς οὐ δεῖ δίκην διδόναι ἐκεῖνον, ὃς ἂν ἀδίκως τινὰ ἀποκτείνῃ. Σω. Τί δαί; ἀνθρώπων ὦ Εὐθύφρον ἤδη τινὸς ἤκουσας ἀμφισβητοῦντος, ὡς τὸν ἀδίκως ἀποκτείνοντα, ἢ ἄλλο ἀδίκως ποιοῦντα ὁτιοῦν, οὐ δεῖ διδόναι δίκην; Εὐ. Οὐδὲν μὲν οὖν παύονται ταῦτα ἀμφισβητοῦντες καὶ ἄλλοθι καὶ ἐν τοῖς δικαστηρίοις. ἀδικοῦντες γὰρ πάμπολλα, πάντα ποιοῦσι καὶ λέγουσι, φεύγοντες τὴν δίκην. Σω. Ἦ καὶ ὁμολογοῦσιν ὦ Εὐθύφρον ἀδικεῖν, καὶ ὁμολογοῦντες, ὅμως οὐ δεῖν φασι σφᾶς διδόναι δίκην; Εὐ. Οὐδαμῶς τοῦτό γε. Σω. Οὐκ ἄρα πᾶν γε ποιοῦσι καὶ λέγουσι. τοῦτο γὰρ οἶμαι οὐ τολμῶσι λέγειν, οὐδ' ἀμφισβητεῖν, ὡς οὐκ εἴπερ ἀδικοῦσί γε δοτέον δίκην. ἀλλ' οἶμαι οὔ φασιν ἀδικεῖν. ἢ γάρ; Εὐ. Ἀληθῆ λέγεις. Σω. Οὐκ ἄρα ἐκεῖνό γε ἀμφισβητοῦσιν, ὡς οὐ

τὸν ἀδικοῦντα διδόναι δίκην, ἀλλ' ἐκεῖνο ἴσως ἀμφισβητοῦσι, τὸ τίς ἐστιν ὁ ἀδικῶν, καὶ τί δρῶν, καὶ πότε. Εὐ. Ἀληθῆ λέγεις. Σω. Οὐκοῦν ταυτά γε ταῦτα καὶ οἱ θεοὶ πεπόνθασιν, εἴπερ στασιάζουσί τε περὶ τῶν δικαίων καὶ ἀδίκων, ὡς ὁ σὸς ἐστὶ λόγος. καὶ οἱ μέν φασιν ἀλλήλους ἀδικεῖν, οἱ δὲ οὔ φασιν. ἐπεὶ ἐκεῖνό γε δή που ὦ θαυμάσιε οὐδεὶς οὔτε θεῶν οὔτε ἀνθρώπων τολμᾷ λέγειν, ὡς οὐ τῷ γε ἀδικοῦντι δοτέον δίκην. Εὐ. Ναὶ τοῦτο μὲν ἀληθὲς λέγεις ὦ Σώκρατες, τό γε κεφάλαιον. Σω. Ἀλλ' ἕκαστόν γε οἶμαι ὦ Εὐθύφρον τῶν πραχθέντων ἀμφισβητοῦσιν οἱ ἀμφισβητοῦντες καὶ ἄνθρωποι καὶ θεοί, εἴπερ ἀμφισβητοῦσι θεοὶ πράξεώς τινος πέρι διαφερόμενοι, καὶ οἱ μὲν, δικαίως φασὶν αὐτὴν πεπρᾶχθαι. οἱ δὲ, ἀδίκως. ἆρ' οὐχ οὕτω; Εὐ. Πάνυ γε. Σω. Ἴθι τοίνυν ὦ φίλε Εὐθύφρον δίδαξον καὶ ἐμὲ, ἵνα σοφώτερος γένωμαι, τί σοι τεκμήριόν ἐστιν, ὡς πάντες θεοὶ ἡγοῦνται ἐκεῖνον ἀδίκως τεθνάναι, ὃς ἂν θητεύων ἀνδροφόνος γενόμενος, ξυνδεθεὶς ὑπὸ τοῦ δεσπότου τοῦ ἀποθανόντος, φθάσῃ τελευτήσας διὰ τὰ δεσμὰ, πρὶν τὸν συνδήσαντα παρὰ τῶν ἐξηγητῶν περὶ αὐτοῦ πυθέσθαι, τί χρὴ ποιεῖν. καὶ ὑπὲρ τοῦ τοιούτου δὴ ὀρθῶς ἔχει, ἐπεξιέναι καὶ ἐπισκήπτεσθαι φόνου τὸν υἱὸν τῷ πατρὶ; ἴθι περὶ τούτων πειρῶ τί μοι σαφὲς ἐνδείξασθαι, ὡς παντὸς μᾶλλον πάντες θεοὶ ἡγοῦνται ὀρθῶς ἔχειν ταύτην τὴν πρᾶξιν. κἄν μοι ἱκανῶς ἐνδείξῃ, ἐγκωμιάζων σε ἐπὶ σοφίᾳ, οὐδέ ποτε παύσομαι. Εὐ. Ἀλλ' ἴσως οὐκ ὀλίγον ἔργον ἐστὶν ὦ Σώκρατες. ἐπεὶ πάνυ γε σαφῶς ἔχοιμι ἄν ἐπιδεῖξαί σοι. Σω. Μανθάνω, ὅτι σοι δοκῶ τῶν δικαστῶν δυσμαθέστερος εἶναι. ἐπεὶ ἐκείνοις γε ἐνδείξῃ δηλονότι, ὡς ἄδικά τέ ἐστι, καὶ οἱ θεοὶ πάντες τὰ τοιαῦτα μισοῦσιν. Εὐ. Πάνυ γε σαφῶς ὦ Σώκρατες, ἐάν περ ἀκούωσί γε μου λέγοντος. Σω. Ἀλλ' ἀκούσονται, ἐάν περ εὖ δοκῇς λέγειν. τόδε δέ σου ἐνενόημαι ἅμα λέγοντος, καὶ πρὸς ἐμαυτὸν σκοπῶ, εἴ τις ὅτι μάλιστά με Εὐθύφρον διδάξειεν, ὡς οἱ θεοὶ ἅπαντες τὸν τοιοῦτον θάνατον ἡγοῦνται ἄδικον εἶναι, τί μᾶλ-

λον ἐγὼ μεμάθηκα παρ' Εὐθύφρονος, τί ποτ' ἐςὶ τὸ ὅσιόν τε ϗ τὸ ἀνόσιον. θεομισὲς μὲν γὰρ τῦτο τὸ ἔργον ὡς ἔοικεν εἴη ἄν. ἀλλὰ γὰρ ὐ τύτῳ ἐφάνη ἄρτι ὡρισμένα, τὸ ὅσιον ϗ μή. τὸ γὰρ θεομισὲς ὂν καὶ θεοφιλὲς ἐφάνη. ὥς τε τύτυ μὲν ἀφίημί σε ὦ Εὔθυφρον, καὶ εἰ βύλει πάντες αὐτὸ ἡγείσθωσαν θεοὶ ἄδικον, καὶ πάντες μισύντων ἀλλ' ἆρα τῦτο νιῦ ἐπανορθύμεθα ἐν τῷ λόγῳ, ὡς ὃ μὲν ἂν πάντες οἱ θεοὶ μισῶσιν, ἀνόσιόν ἐςιν. ὃ δ' ἂν φιλῶσιν, ὅσιον. ὃ δ' ἂν οἱ μὲν φιλῶσιν, οἱ δὲ μισῶσιν, ὐδέτερα, ἢ ἀμφότερα ἆρ' ὕτω βύλει ἡμῖν ὡρίσθαι νιῦ περὶ τῦ ὁσίυ ϗ τῦ ἀνοσίυ; Εὐ. Τί γὰρ κωλύει ὦ Σώκρατες; Σω. Οὐδὲν ἐμέ γε ὦ Εὐθύφρον, ἀλλὰ σὺ δὴ τὸ σὸν σκόπει, εἰ τῦτο ὑποθέμενος, ὕτω ῥᾶςά με διδάξεις, ὃ ὑπέςχυ. Εὐ. Ἀλλ' ἔγωγε φαίλω ἂν, τῦτο εἶναι τὸ ὅσιον, ὃ ἂν πάντες θεοὶ φιλῶσι· ϗ τὸ ἐναντίον, ὃ ἂν πάντες θεοὶ μισῶσιν, ἀνόσιον. Σω. Οὐκοιῦ ἐπισκοπῶμεν αὖ τῦτο ὦ Εὐθύφρον, εἰ καλῶς λέγεται; ἢ ἐῶμεν, ϗ ὕτως ἡμῶν τε αὐτῶν ἀποδεχώμεθα, καὶ τῶν ἄλλων, ἐὰν μόνον φῆ τίς τι ἔχειν ὕτω, ξυγχωρῦντες ἔχειν, ἢ σκεπτέον τί λέγει ὁ λέγων; Εὐ. Σκεπτέον. οἶμαι μέν τοι ἔγωγε τοῦτο νιυὶ καλῶς λέγεσθαι. Σω. Τάχ' ὦ 'γαθὲ βέλτιον εἰσόμεθα. ἐννόησον γὰρ τὸ τοιόνδε. ἆρα τὸ ὅσιον ὅτι ὅσιόν ἐςι, φιλεῖται ὑπὸ τῶν θεῶν, ἢ ὅτι φιλεῖται, ὅσιόν ἐςιν; Εὐ. Οὐκ οἶδ' ὅ, τι λέγεις ὦ Σώκρατες. Σω. Ἀλλ' ἐγὼ πειράσομαι σαφέςερον φράσαι. λέγομέν τι φερόμενον ϗ φέρον, ϗ ἀγόμενον ϗ ἄγον, ϗ ὁρώμενον ϗ ὁρῶν; ϗ πάντα τὰ τοιαῦτα μανθάνεις ὅτι ἕτερα ἀλλήλων ἐςί, ϗ ᾗ ἕτερα; Εὐ. Ἔγωγέ μοι δοκῶ μανθάνειν. Σω. Οὐκοιῦ ϗ φιλύμενόν τί ἐςι, ϗ τύτυ ἕτερον τὸ φιλοιῦ; Εὐ. Πῶς γὰρ οὔ; Σω. Λέγε δή μοι πότερον τὸ φερόμενον διότι φέρεται, φερόμενόν ἐςιν, ἢ δι' ἄλλο τι; Εὐ. Οὐκ, ἀλλὰ διὰ τῦτο. Σω. Καὶ τὸ ἀγόμενον δὴ διότι ἄγεται, ϗ τὸ ὁρώμενον διότι ὁρᾶται; Εὐ. Πάνυγε. Σω. Οὐκ ἄρα διότι ὁρώμενόν γέ ἐςι, διὰ τῦτο ὁρᾶται, ἀλλὰ τὐναντίον διότι ὁρᾶται, διὰ τῦτο ὁρώμενον.

οὐδὲ διότι ἀγόμενόν ἐστι, διὰ τοῦτο ἄγεται, ἀλλὰ διότι ἄγεται,
διὰ τοῦτο ἀγόμενον. οὐδὲ διότι φερόμενον φέρεται, ἀλλὰ διότι φέ-
ρεται, φερόμενον. ἆρα κατάδηλον ὦ Εὐθύφρον, ὃ βούλομαι
λέγειν; βούλομαι δὲ τόδε, ὅτι εἴτι γίγνεται, ἢ εἴτι πάσχει τι,
οὐχ ὅτι γιγνόμενόν ἐστι, γίγνεται· ἀλλ' ὅτι γίγνεται, γιγνό-
μενόν ἐστιν. οὐδ' ὅτι πάσχον ἐστὶ, πάσχει. ἀλλ' ὅτι πάσχει, πά-
σχον ἐστίν. ἢ οὐ ξυγχωρεῖς οὕτως; Εὐ. Ἔγωγε. Σω. Οὐκοῦν καὶ
τὸ φιλούμενον, ἢ γιγνόμενόν τί ἐστιν, ἢ πάσχον τί ὑπό του; Εὐ.
Πάνυγε. Σω. Καὶ τοῦτο ἄρα οὕτως ἔχει, ὥσπερ τὰ πρότερα οὐχ
ὅτι φιλούμενόν ἐστι φιλεῖται ὑφ' ὧν φιλεῖται, ἀλλ' ὅτι φιλεῖται,
φιλούμενον. Εὐ. Ἀνάγκη. Σω. Τί δὴ οὖν λέγομεν περὶ τοῦ
ὁσίου ὦ Εὐθύφρον; ἆρ' ὅτι φιλεῖται ὑπὸ θεῶν πάντων, ὡς ὁ
σὸς λόγος; Εὐ. Ναί. Σω. Ἆρα διὰ τοῦτο, ὅτι ὅσιόν ἐστιν, ἢ δι'
ἄλλο τι; Εὐ. Οὐκ. ἀλλὰ διὰ τοῦτο. Σω. Διότι ἄρα ὅσιόν ἐστι,
φιλεῖται, ἀλλ' οὐχ ὅτι φιλεῖται, διὰ τοῦτο ὅσιόν ἐστιν; Εὐ. Ἔοι-
κε. Σω. Ἀλλὰ μὲν δὴ διότι φιλεῖται ὑπὸ τῶν θεῶν, φιλούμενόν
ἐστι καὶ θεοφιλές; Εὐ. Πῶς γὰρ οὔ; Σω. Οὐκ ἄρα τὸ θεοφιλὲς
ὅσιόν ἐστιν ὦ Εὐθύφρον, οὐδὲ τὸ ὅσιον θεοφιλὲς, ὡς σὺ λέγεις.
ἀλλ' ἕτερον τοῦτο τούτου. Εὐ. Πῶς δὴ σὺ ὦ Σώκρατες; Σω. Ὅτι
ὁμολογοῦμεν, τὸ μὲν ὅσιον διὰ τοῦτο φιλεῖσθαι, ὅτι ὅσιόν ἐστιν.
ἀλλ' οὐ διότι φιλεῖται, ὅσιον εἶναι. ἦ γάρ; Εὐ. Ναί. Σω. Τὸ
δέ γε θεοφιλὲς, ὅτι φιλεῖται ὑπὸ τῶν θεῶν, αὐτῷ τούτῳ τῷ φι-
λεῖσθαι θεοφιλὲς εἶναι, ἀλλ' οὐχ ὅτι θεοφιλὲς, διὰ τοῦτο φιλεῖσ-
θαι; Εὐ. Ἀληθῆ λέγεις. Σω. Ἀλλ' εἴγε ταυτὸν ὦ φίλε ἦν Εὐ-
θύφρον τὸ θεοφιλὲς, καὶ τὸ ὅσιον, εἰ μὲν διὰ τὸ ὅσιον εἶναι, ἐφι-
λεῖτο τὸ ὅσιον, καὶ διὰ τὸ θεοφιλὲς εἶναι, ἐφιλεῖτο ἂν τὸ θεοφι-
λές. εἰ δὲ διὰ τὸ φιλεῖσθαι ὑπὸ θεῶν τὸ θεοφιλὲς, θεοφιλὲς ἦν,
καὶ τὸ ὅσιον ἂν, διὰ τὸ φιλεῖσθαι, ὅσιον ἦν. νῦν δὲ ὁρᾷς ὅτι ἐναν-
τίως ἔχετον, ὡς παντάπασιν ἑτέρω ὄντε ἀλλήλων. τὸ μὲν
γὰρ, ὅτι φιλεῖταί ἐστιν, οἷον φιλεῖσθαι. τὸ δ', ὅτι ἐστὶν οἷον
φιλεῖσθαι, διὰ τοῦτο φιλεῖται. καὶ κινδυνεύεις ὦ Εὐθύφρον,
ἐρω-

ἐρωτώμενος τὸ ὅσιον ὅ, τι ποτὲ ἐστι, τὴν μὲν οὐσίαν μοι αὐτοῦ οὐ βούλεσθαι δηλῶσαι, πάθος δέ τι περὶ αὐτοῦ λέγειν. ὅτι πέπονθε τοῦτο τὸ ὅσιον, φιλεῖσθαι ὑπὸ πάντων τῶν θεῶν. ὅ, τι δὲ ὄν, οὔπω εἶπες. εἰ οὖν σοι φίλον, μή με ἀποκρύψῃ, ἀλλὰ πάλιν εἰπὲ ἐξ ἀρχῆς, τί ποτε ὂν τὸ ὅσιον εἴτε φιλεῖται ὑπὸ τῶν θεῶν, εἴτε ὅ, τι δὴ πάσχει, οὐ γὰρ περὶ τούτου διοσόμεθα. ἀλλ᾽ εἰπὲ προθύμως, τί ἐστι τό, τε ὅσιον καὶ ἀνόσιον; Εὐ. Ἀλλ᾽ ὦ Σώκρατες, οὐκ ἔχω ἔγωγε ὅπως σοι εἴπω ὃ νοῶ. περιέρχεται γάρ πως ἀεὶ ἡμῖν ὃ ἂν προθώμεθα, καὶ οὐκ ἐθέλει μένειν, ὅπου ἂν ἱδρυσώμεθα αὐτό. Σω. Τοῦ ἡμετέρου προγόνου ὦ Εὐθύφρον, ἔοικεν εἶναι Δαιδάλου τὰ ὑπὸ σοῦ λεγόμενα. καὶ εἰ μὲν αὐτὰ ἐγὼ ἔλεγον καὶ ἐτιθέμην, ἴσως ἄν με ἐπέσκωπτες, ὡς ἄρα καὶ ἐμοὶ κατὰ τὴν ἐκείνου συγγένειαν τὰ ἐν τοῖς λόγοις ἔργα ἀποδιδράσκει, καὶ οὐκ ἐθέλει μένειν ὅπου ἄν τις αὐτὰ θῇ. νῦν δὲ, σαὶ γὰρ αἱ ὑποθέσεις εἰσὶν, ἄλλου δή τινος δεῖ σκώμματος. οὐ γὰρ ἐθέλουσί σοι μένειν, ὡς καὶ αὐτῷ σοι δοκεῖ. Εὐ. Ἐμοὶ δὲ δοκεῖ σχεδὸν τι τοῦ αὐτοῦ σκώμματος ὦ Σώκρατες, δεῖσθαι τὰ λεγόμενα. τὸ γὰρ περιιέναι αὐτοῖς τοῦτο καὶ μὴ μένειν ἐν ταυτῷ, οὐκ ἔγω γέ εἰμι ὁ ἐντιθείς. ἀλλὰ σύ μοι δοκεῖς ὁ Δαίδαλος. ἐπεὶ ἐμοῦ γε ἕνεκα, ἔμενεν ἂν ταῦτα οὕτω. Σω. Κινδυνεύω ἄρα ὦ ἑταῖρε ἐκείνου τοῦ ἀνδρὸς δεινότερος γεγονέναι τὴν τέχνην τοσούτῳ, ὅσῳ ὁ μὲν, τὰ αὑτοῦ μόνον ἐποίει οὐ μένοντα. ἐγὼ δὲ πρὸς τοῖς ἐμαυτοῦ ὡς ἔοικε, καὶ τὰ ἀλλότρια. καὶ δῆτα τοῦτό μοι τῆς τέχνης ἐστὶ κομψότατον, ὅτι ἄκων εἰμὶ σοφός. ἐβουλόμην γὰρ ἄν μοι τοὺς λόγους μένειν, καὶ ἀκινήτους ἱδρῦσθαι μᾶλλον, ἢ πρὸς τῇ Δαιδάλου σοφίᾳ τὰ Ταντάλου χρήματα γενέσθαι. καὶ τούτων μὲν ἅδην. ἐπειδὴ δέ μοι δοκεῖς σὺ τρυφᾷν, αὐτός σοι ξυμπροθυμήσομαι δεῖξαι, ὅπως ἄν με διδάξῃς περὶ τοῦ ὁσίου, καὶ μὴ προαποκάμῃς. ἴδε γὰρ εἰ οὐκ ἀναγκαῖόν σοι δοκεῖ δίκαιον εἶναι πᾶν τὸ ὅσιον. Εὐ. Ἔμοιγε. Σω. Ἆρ᾽ οὖν καὶ πᾶν τὸ δίκαιον, ὅσιον; ἢ τὸ μὲν ὅσιον πᾶν, δίκαιον. τὸ δὲ δίκαιον οὐ πᾶν ὅσιον, ἀλλὰ τὸ μὲν αὐτοῦ ὅσιον, τὸ

δέ τι καὶ ἄλλο; Εὐ. Οὐχ ἕπομαι ὦ Σώκρατες τοῖς λεγομένοις. Σω. Καὶ μὴν νεώτερός γ' ἐμοῦ εἶ οὐκ ἔλαττον ἢ ὅσῳ σοφώτερος. ἀλλ' ὃ λέγω τρυφᾷς ὑπὸ πλούτου τῆς σοφίας. ἀλλ' ὦ μακάριε ξύντεινε σαυτόν. καὶ γὰρ οὐδὲ χαλεπὸν κατανοῆσαι ὃ λέγω. λέγω γὰρ δὴ τὸ ἐναντίον, ἢ ὁ ποιητὴς ἐποίησεν ὁ ποιήσας. Ζῆνα δὲ τόνθ' ἕρξαντα, καὶ ὃς τάδε πάντ' ἐφύτευσεν, οὐκ ἐθέλεις εἰπεῖν. ἵνα γὰρ δέος ἔνθα καὶ αἰδώς· ἐγὼ οὖν τούτῳ διαφέρομαι τῷ ποιητῇ, εἴπω σοι ὅπῃ; Εὐ. Πάνυ γε. Σω. Οὐ δοκεῖ μοι εἶναι ἵνα δέος, ἔνθα καὶ αἰδώς. πολλοὶ γάρ μοι δοκοῦσι καὶ νόσους, καὶ πενίας, καὶ ἄλλα πολλὰ τοιαῦτα δεδιότες, δεδιέναι μὲν, αἰδεῖσθαι δὲ μηδὲν ταῦτα ἃ δεδίασιν. οὐ καὶ σοὶ δοκεῖ; Εὐ. Πάνυ γε. Σω. Ἀλλ' ἵνα γε αἰδώς, ἔνθα καὶ δέος εἶναι. ἐπεὶ ἔστιν ὅστις αἰδούμενός τι πρᾶγμα καὶ αἰσχυνόμενος, οὐ πεφόβηταί τε καὶ δέδοικεν ἅμα δόξαν πονηρίας; Εὐ. Δέδοικε μὲν οὖν. Σω. Οὐκ ἄρα ὀρθῶς ἔχει λέγειν, ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς. ἀλλ' ἵνα μὲν αἰδώς, ἔνθα καὶ δέος οὐ μέντοι γε, ἵνα γε δέος, πανταχοῦ αἰδώς. ἐπὶ πλέον γὰρ οἶμαι δέος, αἰδοῦς. μόριον γὰρ δέους, αἰδώς ὥσπερ ἀριθμοῦ, περιττόν. ὥστε οὐχ ἵναπερ ἀριθμός, ἔνθα καὶ περιττόν. ἵνα δὲ περιττὸν, ἔνθα καὶ ἀριθμός. ἕπῃ γάρ που νῦν γε; Εὐ. Πάνυ γε. Σω. Τὸ τοιοῦτον τοίνυν καὶ ἐκεῖ λέγων ἠρώτων, ἆρα ἵνα δίκαιον, ἔνθα καὶ ὅσιον. ἢ ἵνα μὲν ὅσιον, ἔνθα καὶ δίκαιον. ἵνα δὲ δίκαιον, οὐ πανταχοῦ ὅσιον. μόριον γὰρ τοῦ δικαίου, τὸ ὅσιον. οὕτω φῶμεν, ἢ ἄλλως σοι δοκεῖ; Εὐ. Οὐκ, ἀλλ' οὕτω. φαίνῃ γάρ μοι ὀρθῶς λέγειν. Σω. Ὅρα δὴ τὸ μετὰ τοῦτο εἰ γὰρ μέρος τὸ ὅσιον τοῦ δικαίου, δεῖ δὴ ἡμᾶς ὡς ἔοικεν ἐξευρεῖν τὸ ποῖον μέρος ἂν εἴη τοῦ δικαίου τὸ ὅσιον. εἰ μὲν οὖν σύ με ἠρώτας τί τῶν νῦν δὴ, οἷον, ποῖον μέρος ἐστὶν ἀριθμοῦ τὸ ἄρτιον, καὶ τίς ὢν τυγχάνει οὗτος ὁ ἀριθμός, εἶπον ἂν ὅτι ὃς ἂν μὴ σκαληνὸς ᾖ, ἀλλ' ἰσοσκελής. ἢ οὐ δοκεῖ σοι; Εὐ. Ἔμοιγε. Σω. Πειρῶ δὴ καὶ σὺ ἐμὲ οὕτω διδάξαι, τὸ ποῖον μέρος τοῦ δικαίου ὅσιόν ἐστιν, ἵνα

καὶ

καὶ Μελίτῳ λέγωμεν, μηκέθ' ἡμᾶς ἀδικεῖν, μὴ δὲ ἀσεβείας γράφεσθαι, ὡς ἱκανῶς ἤδη παρὰ σοῦ μεμαθηκότας, τά τε εὐσεβῆ καὶ ὅσια, καὶ τὰ μή. Εὐ. Τοῦτο τοίνυν ἔμοιγε δοκεῖ ὦ Σώκρατες τὸ μέρος τοῦ δικαίου εἶναι, εὐσεβές τε καὶ ὅσιον, τὸ περὶ τὴν τῶν θεῶν θεραπείαν. τὸ δὲ περὶ τὴν τῶν ἀνθρώπων, τὸ λοιπὸν εἶναι τοῦ δικαίου μέρος. Σω. Καὶ καλῶς γέ μοι ὦ Εὐθύφρον φαίνῃ λέγειν. ἀλλὰ σμικροῦ τινος ἔτι ἐνδεής εἰμι. τὴν γὰρ θεραπείαν οὔπω ξυνίημι, ἥν τινα ὀνομάζεις. οὐ γάρ που λέγεις, οἷαίπερ καὶ αἱ περὶ τὰ ἄλλα θεραπεῖαί εἰσι, τοιαύτην καὶ περὶ θεοὺς λέγομεν γάρ που. οἷον φαμὲν, ἵππους οὐ πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ ἱππικός. ἦ γάρ; Εὐ. Πάνυγε. Σω. Ἡ γάρ που ἱππικὴ, ἵππων θεραπεία. Εὐ. Ναί. Σω. Οὐδέ γε κύνας πᾶς ἐπίσταται θεραπεύειν, ἀλλ' ὁ κυνηγετικός; Εὐ. Οὕτω. Σω. Ἡ γάρ που κυνηγετικὴ, κυνῶν θεραπεία. ἡ δέ γε βοηλατικὴ, βοῶν Εὐ. Πάνυγε Σω. Ἡ δὲ δὴ ὁσιότης τε καὶ εὐσέβεια θεῶν θεραπεία ὦ Εὐθύφρον, οὕτω λέγεις; Εὐ. Ἔγωγε Σω. Οὐκοῦν θεραπεία τε πᾶσα ταυτὸν διαπράττεται. οἷον, τοιόνδε ἐπ' ἀγαθῷ τινὶ ἔσται καὶ ὠφελείᾳ τοῦ θεραπευομένου, ὥσπερ ὁρᾷς δὴ ὅτι οἱ ἵπποι ὑπὸ τῆς ἱππικῆς θεραπευόμενοι ὠφελοῦνται καὶ βελτίους γίγνονται. ἢ οὐ δοκοῦσί σοι; Εὐ. Ἔμοιγε. Σω. Καὶ οἱ κύνες γέ που ὑπὸ τῆς κυνηγετικῆς, καὶ οἱ βόες ὑπὸ τῆς βοηλατικῆς, καὶ τἆλλα πάντα ὡσαύτως. ἢ ἐπὶ βλάβῃ οἴει τοῦ θεραπευομένου τὴν θεραπείαν εἶναι; Εὐ. Μὰ δὴ οὐκ ἔγωγε. Σω. Ἀλλ' ἐπ' ὠφελείᾳ; Εὐ. Πῶς δ' οὔ; Σω. Ἡ οὖν καὶ ὁσιότης θεραπεία οὖσα θεῶν, ὠφέλειά τε ἐστι θεῶν, καὶ βελτίους τοὺς θεοὺς ποιεῖ; καὶ σὺ τοῦτο ξυγχωρήσαις ἂν, ὡς ἐπειδάν τι ὅσιον ποιῇς, βελτίω τινὰ τῶν θεῶν ἀπεργάζῃ; Εὐ. Μὰ Δί' οὐκ ἔγωγε. Σω. Οὐδὲ γὰρ ἐγὼ ὦ Εὐθύφρον, οἶμαί σε τοῦτο λέγειν, πολλοῦ καὶ δέω. ἀλλὰ τούτου δὴ ἕνεκα καὶ ἀνηρόμην, τίνα ποτὲ λέγεις τὴν θεραπείαν τῶν θεῶν, οὐχ ἡγούμενός σε τοιαύτην λέγειν. Εὐ. Καὶ ὀρθῶς γε ὦ Σώκρατες, οὐ γὰρ τοιαύτην λέγω. Σω. Εἶεν, ἀλλὰ τίς δὴ θεῶν θερα-


ποία εἴη ἂν ἡ ὁσιότης; Εὐ. Ἥνπερ ὦ Σώκρατες, οἱ δοῦλοι τοὺς δεσπότας θεραπεύουσι. Σω. Μανθάνω. ὑπηρετική τις ἂν ὡς ἔοικεν εἴη θεοῖς. Εὐ. Πάνυ μὲν οὖν. Σω. Ἔχοις ἂν οὖν εἰπεῖν ἡ ἰατροῖς ὑπηρετικὴ, εἰς τίνος ἔργου ἀπεργασίαν τυγχάνει οὖσα ὑπηρετική. οὐκ εἰς ὑγιείας οἴει; Εὐ. Ἔγωγε. Σω. Τί δὲ; ἡ ναυπηγοῖς ὑπηρετικὴ, εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετική ἐστι; Εὐ. Δηλονότι ὦ Σώκρατες εἰς πλοίου. Σω. Καὶ ἡ οἰκοδόμοις γέ που εἰς οἰκίας; Εὐ. Ναί. Σω. Εἰπὲ δὴ ὦ ἄριστε. ἡ δὲ θεοῖς ὑπηρετικὴ, εἰς τίνος ἔργου ἀπεργασίαν ὑπηρετικὴ ἂν εἴη; δῆλον γὰρ ὅτι σὺ οἶσθα, ἐπειδή περ τά γε θεῖα κάλλιστα φῂς εἰδέναι ἀνθρώπων. Εὐ. Καὶ ἀληθῆ γε λέγω ὦ Σώκρατες. Σω. Εἰπὲ δὴ πρὸς διὸς, τί ποτ' ἐστὶν ἐκεῖνο τὸ πάγκαλον ἔργον, ὃ οἱ θεοὶ ἀπεργάζονται ἡμῖν ὑπηρέταις χρώμενοι; Εὐ. Πολλὰ καὶ καλὰ ὦ Σώκρατες. Σω. Καὶ γὰρ οἱ στρατηγοὶ ὦ φίλε. ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ῥᾳδίως ἂν εἴποις, ὅτι νίκην ἐν τῷ πολέμῳ ἀπεργάζονται. ἢ οὔ; Εὐ. Πῶς δ' οὔ; Σω. Πολλά γε οἶμαι καὶ καλὰ καὶ οἱ γεωργοί. ἀλλ' ὅμως τὸ κεφάλαιον αὐτῶν ἐστὶ τῆς ἀπεργασίας, ἡ ἐκ τῆς γῆς τροφή. Εὐ. Πάνυγε. Σω. Τί δὲ δὴ, τῶν πολλῶν καὶ καλῶν, ἃ οἱ θεοὶ ἀπεργάζονται, τί τὸ κεφάλαιόν ἐστι τῆς ἀπεργασίας; Εὐ. Καὶ ὀλίγον σοι πρότερον εἶπον ὦ Σώκρατες ὅτι πλείονος ἔργου ἐστὶν ἀκριβῶς ταῦτα πάντα ὡς ἔχει μαθεῖν. τόδε μέν τοι σοι ἁπλῶς λέγω ὅτι ἐὰν μὲν κεχαρισμένα τίς ἐπίστηται τοῖς θεοῖς λέγειν τε καὶ πράττειν, εὐχόμενός τε καὶ θύων, ταῦτ' ἐστὶ τὰ ὅσια. καὶ σώζει τὰ τοιαῦτα τούς τε ἰδίους οἴκους, καὶ τὰ κοινὰ τῶν πόλεων. τὰ δ' ἐναντία τῶν κεχαρισμένων, ἀσεβῆ. ἃ δὴ καὶ ἀνατρέπει ἅπαντα καὶ ἀπόλλυσι. Σω. Ἦ πολύ μοι διὰ βραχυτέρων ὦ Εὐθύφρον, εἰ ἐβούλου εἶπες ἂν, τὸ κεφάλαιον ὧν ἠρώτων. ἀλλὰ γὰρ ὡς οὐ πρόθυμός με εἶ διδάξαι δῆλος εἶ. καὶ γὰρ νῦν ἐπειδὴ ἐπ' αὐτῷ ἦσθα, ἀπετράπου. ὃ εἰ ἀπεκρίνω, ἴσως ἂν ἤδη παρὰ σοῦ τὴν ὁσιότητα ἐμεμαθήκειν. νῦν δὴ, ἀνάγκη γὰρ τὸν ἐρωτῶντα τῷ ἐρωτωμένῳ ἀκολουθεῖν, ὅπῃ ἂν ἐκεῖνος ὑπάγῃ. τί δὴ

αὖ

αὖ λέγεις τὸ ὅσιον εἶναι, καὶ τὴν ὁσιότητα; οὐχὶ ἐπιστήμην τινὰ τοῦ θύειν τε καὶ εὔχεσθαι; Εὐ. Ἔγωγε. Σω. Οὐκοῦν τὸ θύειν δωρεῖσθαί ἐστι τοῖς θεοῖς; τὸ δ' εὔχεσθαι, αἰτεῖν τοὺς θεούς; Εὐ. Καὶ μάλα ὦ Σώκρατες. Σω. Ἐπιστήμη ἄρα αἰτήσεως καὶ δόσεως θεοῖς ὁσιότης ἂν εἴη, ἐκ τούτου τοῦ λόγου. Εὐ. Πάνυ καλῶς ὦ Σώκρατες, ξυνῆκας ὃ εἶπον. Σω. Ἐπιθυμητὴς γάρ εἰμι ὦ φίλε τῆς σῆς σοφίας, καὶ προσέχω τὸν νοῦν αὐτῇ, ὥστε οὐ χαμαὶ πεσεῖται, ὅ, τι ἂν εἴποις. ἀλλά μοι λέξον τίς αὕτη ἡ ὑπηρεσία ἐστὶ τοῖς θεοῖς. αἰτεῖν τέ φῂς αὐτοὺς καὶ διδόναι ἐκείνοις; Εὐ. Ἔγωγε. Σω. Ἆρ' οὖν οὐ τό γε ὀρθῶς αἰτεῖν ἂν εἴη, ὧν δεόμεθα παρ' ἐκείνων ταῦτα αὐτοὺς αἰτεῖν; Εὐ. Ἀλλὰ τί; Σω. Καὶ αὖ τὸ διδόναι ὀρθῶς, ὧν ἐκεῖνοι τυγχάνουσιν δεόμενοι παρ' ἡμῶν, ταῦτα ἐκείνοις αὖ ἀντιδωρεῖσθαι. οὐ γάρ που τεχνικόν γ' ἂν εἴη, δωροφορεῖν διδόντα τινὶ ταῦτα, ὧν οὐδὲν δεῖται. Εὐ. Ἀληθῆ λέγεις ὦ Σώκρατες. Σω. Ἐμπορικὴ, ἄρα τις ἂν εἴη ὦ Εὐθύφρον τέχνη ἡ ὁσιότης, θεοῖς καὶ ἀνθρώποις παρ' ἀλλήλων. Εὐ. Ἐμπορικὴ, εἰ οὕτως ἥδιόν σοι ὀνομάζειν. Σω. Ἀλλ' οὐδὲν ἥδιον ἔμοιγε, εἰ μὴ τυγχάνει ἀληθὲς ὄν. φράσον δή μοι, τίς ἡ ὠφέλεια τοῖς θεοῖς οὖσα ἀπὸ τῶν δώρων, ὧν παρ' ἡμῶν λαμβάνουσιν; ἃ μὲν γὰρ διδόασι, παντὶ δῆλον. οὐδὲν γάρ ἐστιν ἡμῖν ἀγαθὸν ὅ, τι ἂν μὴ ἐκεῖνοι δῶσιν. ἃ δὲ παρ' ἡμῶν λαμβάνουσι, τί ὠφελοῦνται; ἢ τοσοῦτον αὐτῶν πλεονεκτοῦμεν κατὰ τὴν ἐμπορίαν, ὥστε πάντα τὰ ἀγαθὰ παρ' αὐτῶν λαμβάνομεν, ἐκεῖνοι δὲ παρ' ἡμῶν οὐδέν; Εὐ. Ἀλλ' οἴει ὦ Σώκρατες, τοὺς θεοὺς ὠφελεῖσθαι ἀπὸ τούτων ἃ παρ' ἡμῶν λαμβάνουσι; Σω. Ἀλλὰ τί δήποτ' ἂν εἴη ταῦτα ὦ Εὐθύφρον τὰ παρ' ἡμῶν δῶρα τοῖς θεοῖς; Εὐ. Τί δ' οἴει ἄλλο, ἢ τιμή τε καὶ γέρας, καὶ ὅπερ ἐγὼ ἄρτι ἔλεγον, χάρις; Σω. Κεχαρισμένον ἄρα ἐστὶν ὦ Εὐθύφρον τὸ ὅσιον, ἀλλ' οὐχὶ ὠφέλιμον, οὐδὲ φίλον τοῖς θεοῖς. Εὐ. Οἶμαι ἔγωγε πάντων γε μάλιστα φίλον. Σω. Τοῦτο ἄρ' ἐστὶν αὖ ὡς ἔοικε τὸ ὅσιον, τὸ τοῖς θεοῖς φίλον. Εὐ. Μάλιστά γε.

Σω. Θαυμάσῃ οὖν ταῦτα λέγων, ἐάν σοι οἱ λόγοι φαίνωνται μὴ μένοντες ἀλλὰ βαδίζοντες, καὶ ἐμὲ αἰτιάσῃ τὸν Δαίδαλον, βαδίζοντας αὐτοὺς ποιεῖν, αὐτὸς ὢν πολὺ τεχνικώτερος τοῦ Δαιδάλου, καὶ κύκλῳ περιιόντας ποιῶν. ἢ οὐκ αἰσθάνῃ ὅτι ὁ λόγος ἡμῖν περιελθὼν, πάλιν εἰς ταυτὸν ἥκει; μέμνησαι γάρ που ἔτι ἐν τῷ πρόσθεν τό, τε ὅσιον καὶ τὸ θεοφιλὲς οὐ ταυτὸν ἡμῖν ἐφάνη, ἀλλ᾽ ἕτερα ἀλλήλων. ἢ οὐ μέμνησαι; Εὐ. Ἔγωγε. Σω. Νῦν οὖν οὐκ ἐννοεῖς ὅτι τὸ τοῖς θεοῖς φίλον φῂς ὅσιον εἶναι. τοῦτο δ᾽ ἄλλο τι ἢ θεοφιλὲς γίγνεται, ἢ οὔ; Εὐ. Πάνυ γε. Σω. Οὐκοῦν ἢ ἄρτι οὐ καλῶς ὡμολογοῦμεν, ἢ εἰ τότε καλῶς, νῦν οὐκ ὀρθῶς τιθέμεθα. Εὐ. Ἔοικε. Σω. Ἐξ ἀρχῆς ἄρα ἡμῖν σκεπτέον πάλιν τί ἐστιν ὅσιον. ὡς ἐγὼ, πρὶν ἂν μάθω, ἑκὼν εἶναι οὐκ ἀποδειλιάσω. ἀλλὰ μή με ἀτιμάσῃς, ἀλλὰ παντὶ τρόπῳ προσχὼν τὸν νοῦν ὅτι μάλιστα νῦν εἰπὲ τὴν ἀλήθειαν. οἶσθα γὰρ εἴπερ τίς ἄλλος ἀνθρώπων. καὶ οὐκ ἀφετέος ἂν εἴης ὥσπερ ὁ Πρωτεὺς, πρὶν ἂν εἴπῃς. εἰ γὰρ μὴ ᾔδησθα σαφῶς τό, τε ὅσιον καὶ τὸ ἀνόσιον, οὐκ ἔστιν ὅπως ἄν ποτε ἐπεχείρησας ὑπὲρ ἀνδρὸς θητὸς ἄνδρα πρεσβύτην πατέρα διωκάθειν φόνου. ἀλλὰ καὶ τοὺς θεοὺς ἂν ἔδεισας παρακινδυνεύειν μὴ οὐκ ὀρθῶς αὐτὸ ποιήσεις, καὶ τοὺς ἀνθρώπους ᾐσχύνθης. νῦν δὲ εὖ οἶδα, ὅτι σαφῶς οἴει εἰδέναι τό, τε ὅσιον καὶ μή. εἰπὲ οὖν ὦ βέλτιστε Εὐθύφρον, καὶ μὴ ἀποκρύψῃ, ὅ, τι αὐτὸ ἡγῇ. Εὐ. Εἰσαῦθις τοίνυν ὦ Σώκρατες. νῦν γὰρ σπεύδω που, καί μοι ὥρα ἀπιέναι. Σω. Οἷα ποιεῖς ὦ ἑταῖρε; ἀπ᾽ ἐλπίδος με καταβαλὼν μεγάλης ἀπέρχῃ ἣν εἶχον ὡς παρὰ σοῦ μαθὼν τά τε ὅσια καὶ μὴ, καὶ τῆς πρὸς Μέλιτον γραφῆς ἀπαλλάξομαι, ἐνδειξάμενος ἐκείνῳ ὅτι σοφὸς ἤδη παρ᾽ Εὐθύφρονος τὰ θεῖα γέγονα. καὶ ὅτι οὐκ ἔτι ὑπ᾽ ἀγνοίας αὐτοσχεδιάζω, οὐδὲ καινοτομῶ περὶ αὐτά. καὶ δὴ καὶ τὸν ἄλλον βίον, ὅτι ἄμεινον βιωσοίμην.

ΚΡΙΤΩ-



ΚΡΙΤΩΝ, Ἢ ΠΕΡΙ ΔΟΞΗΣ ἈΛΗΘΟΥ͂Σ ΚΑῚ ΔΙΚΑΙ´ΟΥ.

ΤᾺ ΤΟΥ͂ ΔΙΑΛΟ´ΓΟΥ ΠΡΟ´ΣΩΠΑ.

Σωκράτης, Κρίτων. Ἠθικός.

Τί τηνικάδε ἀφῖξαι ὦ Κρίτων; ἢ οὐ πρωῒ ἔτι ἐστί; Κρ. Πάνυ μὲν οὖν. Σω. Πηνίκα μάλιστα; Κρ Ὄρθρος βαθύς. Σω. Θαυμάζω ὅπως ἠθέλησέ σοι ὁ τοῦ δεσμωτηρίου φύλαξ ὑπακοῦσαι. Κρ. Συνήθης ἤδη μοι ἐστὶν ὦ Σώκρατες, διὰ τὸ πολλάκις δεῦρο φοιτᾶν, καί τι εὐεργέτηται ὑπ' ἐμοῦ. Σω. Ἄρτι δὲ ἥκεις, ἢ πάλαι; Κρ Ἐπιεικῶς πάλαι. Σω. Εἶτα πῶς οὐκ εὐθὺς ἐπήγειράς με, ἀλλὰ σιγῇ παρακάθησαι; Κρ. Οὐ μὰ τὸν Δία ὦ Σώκρατες. οὐδ' ἂν αὐτὸς ἤθελον ἐν τοσαύτῃ τε ἀγρυπνίᾳ καὶ λύπῃ εἶναι ἀλλὰ καὶ σοῦ πάλαι θαυμάζω, αἰσθανόμενος ὡς ἡδέως καθεύδεις. καὶ ἐπίτηδές σε οὐκ ἤγειρον, ἵνα ὡς ἥδιστα διάγῃς. καὶ πολλάκις μὲν δή σε καὶ πρότερον ἐν παντὶ τῷ βίῳ εὐδαιμόνισα τοῦ τρόπου. πολὺ δὲ μάλιστα ἐν τῇ νῦν παρεστώσῃ ξυμφορᾷ, ὡς ῥᾳδίως αὐτὴν καὶ πρᾴως φέρεις. Σω Καὶ γὰρ ἂν ὦ Κρίτων, πλημμελὲς εἴη, ἀγανακτεῖν τηλικοῦτον ὄντα, εἰ δεῖ ἤδη τελευτᾶν. Κρ. Καὶ ἄλλοι ὦ Σώκρατες, τηλικοῦτοι ἐν τοιαύταις ξυμφοραῖς ἁλίσκονται. ἀλλ' οὐδὲν αὐτοῖς ἐπιλύεται ἡ ἡλικία, τὸ μὴ οὐχὶ ἀγανακτεῖν τῇ παρούσῃ τύχῃ Σω. Ἔστι ταῦτα, ἀλλὰ τί δὴ οὕτω πρωῒ ἀφῖξαι; Κρ Ἀγγελίαν ὦ Σώκρατες φέρων χαλεπὴν, οὐ σοὶ, ὡς ἐμοὶ φαίνεται, ἀλλ' ἐμοὶ, καὶ τοῖς σοῖς ἐπιτηδείοις πᾶσι, καὶ χαλε-

πὴν

πλὴν καὶ βαρεῖαν, ἣν ἐγὼ ὡς ἐμοὶ δοκῶ, ἐν τοῖς βαρυτάτοις ἂν ἐνέγκαιμι. Σω. Τίνα ταύτην; ἢ τὸ πλοῖον ἀφῖκται ἐκ Δήλου, οὗ δεῖ ἀφικομένου τεθνάναι με. Κρ. Οὔτοι δὴ ἀφῖκται, ἀλλὰ δοκεῖ μέν μοι ἥξειν τήμερον, ἐξ ὧν ἀπαγγέλλουσιν ἥκοντές τινες ἀπὸ Σουνίου, καὶ καταλιπόντες ἐκεῖ αὐτό. δῆλον οὖν ἐκ τούτων τῶν ἀγγέλων, ὅτι ἥξει τήμερον. καὶ ἀνάγκη δὴ εἰσαύριον ἔσται ὦ Σώκρατες, τὸν βίον σε τελευτᾶν. Σω. Ἀλλ' ὦ Κρίτων τύχῃ ἀγαθῇ, εἰ ταύτῃ τοῖς θεοῖς φίλον, ταύτῃ ἔστω. οὐ μέντοι οἶμαι ἥξειν αὐτὸ τήμερον. Κρ. Πόθεν τοῦτο τεκμαίρῃ; Σω. Ἐγώ σοι ἐρῶ. τῇ γάρ που ὑστεραίᾳ δεῖ με ἀποθνήσκειν, ἢ ᾗ ἂν ἔλθοι τὸ πλοῖον. φασὶ δέ γέ τοι δὴ οἱ τούτων κύριοι. οὐ τοίνυν τῆς ἐπιούσης ἡμέρας οἶμαι αὐτὸ ἥξειν, ἀλλὰ τῆς ἑτέρας. τεκμαίρομαι δὲ ἔκ τινος ἐνυπνίου ὃ ἑώρακα ὀλίγον πρότερον, ταύτης τῆς νυκτός. καὶ κινδυνεύεις ἐν καιρῷ τινὶ οὐκ ἐγεῖραί με. Κρ. Ἦν δὲ δὴ τί τὸ ἐνύπνιον; Σω. Ἐδόκει τίς μοι γυνὴ προσελθοῦσα, καλὴ καὶ εὐειδής, λευκὰ ἱμάτια ἔχουσα, καλέσαι με καὶ εἰπεῖν, ὦ Σώκρατες, ἤματί κεν τριτάτῳ Φθίην ἐρίβωλον ἵκοιο. Κρ. Ὡς ἄτοπον τὸ ἐνύπνιον ὦ Σώκρατες; Σω. Ἐναργὲς μὲν οὖν ὡς ἐμοὶ δοκεῖ ὦ Κρίτων. Κρ. Λίαν γε ὡς ἔοικεν. ἀλλ' ὦ δαιμόνιε Σώκρατες, ἔτι καὶ νῦν ἐμοὶ πείθου, καὶ σώθητι. ὡς ἐμοί, ἐὰν σὺ ἀποθάνῃς, οὐδεμία ξυμφορά ἐστιν ἄλλη, ἀλλὰ χωρὶς μὲν σοῦ ἐστερῆσθαι τοιούτου ἐπιτηδείου, οἷον ἐγὼ οὐδένα μήποτε εὑρήσω ἔτι δὲ καὶ πολλοῖς δόξω, οἳ ἐμὲ καὶ σὲ μὴ σαφῶς ἴσασιν, ὡς οἷός τε ὢν σε σώζειν, εἰ ἀναλίσκειν χρήματα ἀμελήσαιμι εἰ ἤθελον. καίτοι τίς ἂν αἰσχίων εἴη ταύτης δόξα, ἢ δοκεῖν χρήματα περὶ πλείονος ποιεῖσθαι, ἢ φίλους; οὐ γὰρ πείσονται οἱ πολλοί, ὡς σὺ αὐτὸς οὐκ ἠθέλησας ἀπιέναι ἐνθένδε, ἡμῶν προθυμουμένων. Σω. Ἀλλὰ τί ἡμῖν ὦ μακάριε Κρίτων, οὕτω τῆς τῶν πολλῶν δόξης μέλει; οἱ γὰρ ἐπιεικέστατοι, ὧν μᾶλλον ἄξιον φροντίζειν, ἡγήσονται αὐτὰ οὕτω πεπρᾶχθαι ὥσπερ ἂν πραχθῇ. Κρ. Ἀλλ' ὁρᾷς δή, ὅτι ἀνάγ-

κη

κη ὦ Σώκρατες, καὶ τῆς τῶν πολλῶν δόξης μέλειν. αὐτὰ δὲ δῆλα τὰ παρόντα νυνί, ὅτι οἷοί τε εἰσὶν οἱ πολλοὶ οὐ τὰ σμικρότατα τῶν κακῶν ἐξεργάζεσθαι, ἀλλὰ σχεδὸν τὰ μέγιστα, ἐὰν τις ἐν αὐτοῖς διαβεβλημένος ᾖ. Σω. Εἰ γὰρ ὤφελον ὦ Κρίτων οἷοί τε εἶναι οἱ πολλοὶ τὰ μέγιστα κακὰ ἐξεργάζεσθαι, ἵνα οἷοί τε ἦσαν, καὶ ἀγαθὰ τὰ μέγιστα, καὶ καλῶς εἶχε. νῦν δὲ οὐδέτερα οἷοί τε. οὔτε γὰρ φρόνιμον, οὔτε ἄφρονα δυνατοὶ ποιῆσαι. ποιοῦσι δὲ τοῦτο ὅ, τι ἂν τύχωσι. Κρ. Ταῦτα μὲν δὴ οὕτως ἐχέτω. τάδε δὲ ὦ Σώκρατες εἰπέ μοι. ἆρά γε μὴ ἐμοῦ προμηθῇ, καὶ τῶν ἄλλων ἐπιτηδείων, μὴ ἐὰν σὺ ἐνθένδε ἐξέλθῃς, οἱ συκοφάνται ἡμῖν πράγματα παρέχωσιν, ὡς σὲ ἐνθένδε ἐκκλέψασι, καὶ ἀναγκασθῶμεν, ἢ καὶ πᾶσαν τὴν οὐσίαν ἀποβαλεῖν, ἢ συχνὰ χρήματα, ἢ καὶ ἄλλο τι πρὸς τούτοις παθεῖν; εἰ γάρ τοι τοιοῦτον φοβῇ, ἔασον αὐτὸ χαίρειν. ἡμεῖς γάρ που δίκαιοι ἐσμὲν σώσαντές σε κινδυνεύειν τοῦτον τὸν κίνδυνον, καὶ ἐὰν δέῃ ἔτι τούτου μείζω. ἀλλ' ἐμοὶ πείθου, καὶ μὴ ἄλλως ποίει. Σω. Καὶ ταῦτα προμηθοῦμαι ὦ Κρίτων, καὶ ἄλλα πολλά. Κρ. Μὴ τοίνυν ταῦτα φοβοῦ. καὶ γὰρ οὐδὲ πολὺ τἀργύριόν ἐστιν, ὃ θέλουσι λαβόντες τινὲς σῶσαί σε, καὶ ἐξαγαγεῖν ἐνθένδε. ἔπειτα οὐχ ὁρᾷς τούτους τοὺς συκοφάντας, ὡς εὐτελεῖς, καὶ οὐδὲν ἂν δέοι ἐπ' αὐτοὺς πολλοῦ ἀργυρίου; σοὶ δὲ ὑπάρχει μὲν τὰ ἐμὰ χρήματα, ὡς ἐγῷμαι ἱκανά. ἔπειτα καὶ εἴ τι ἐμοῦ κηδόμενος, οὐκ οἴει δεῖν ἀναλίσκειν τὰ ἐμά, ξένοι οὗτοι ἐνθάδε ἕτοιμοι ἀναλίσκειν. εἷς δὲ καὶ κεκόμικεν ἐπ' αὐτὸ τοῦτο ἀργύριον ἱκανόν, Σιμμίας ὁ Θηβαῖος ἕτοιμος δὲ καὶ Κέβης, καὶ ἄλλοι πολλοὶ πάνυ. ὥστε ὅπερ λέγω, μήτε ταῦτα φοβούμενος ἀποκάμῃς σῶσαι σαυτόν, μήτε ὃ ἔλεγες ἐν τῷ δικαστηρίῳ δυσχερές σοι γενέσθω, ὅτι οὐκ ἂν ἔχοις ἐξελθὼν ὅ, τι χρῷο σαυτῷ. πολλαχοῦ μὲν γὰρ καὶ ἄλλοσε ὅποι ἂν ἀφίκῃ, ἀγαπήσουσί σε. ἂν δὲ βούλῃ εἰς Θετταλίαν ἰέναι, εἰσὶν ἐμοὶ ἐκεῖ ξένοι, οἵ σε περὶ πολλοῦ ποιήσονται, καὶ ἀσφάλειάν σοι παρέξονται, ὥστε σε μηδένα λυπεῖν τῶν κατὰ Θετ-

ταλίαν.

ταλίαν. ἔτι δὲ ὦ Σώκρατες οὐδὲ δίκαιόν μοι δοκεῖς ἐπιχειρεῖν πρᾶγμα, σαυτὸν προδοῦναι, ἐξὸν σωθῆναι, καὶ τοιαῦτα σπεύδειν περὶ σεαυτὸν γενέσθαι, ἅπερ ἂν καὶ οἱ ἐχθροί σου σπεύσαιέν τε καὶ ἔσπευσαν, σὲ διαφθεῖραι βουλόμενοι. πρὸς δὲ τούτοις, καὶ τοὺς υἱεῖς τοὺς σαυτοῦ ἔμοιγε δοκεῖς προδιδόναι, οὕς σοι ἐξὸν καὶ ἐκθρέψαι καὶ ἐκπαιδεῦσαι, οἰχήσῃ καταλιπὼν, καὶ τὸ σὸν μέρος, ὅ, τι ἂν τύχωσι, τοῦτο πράξουσι. τεύξονται δὲ ὡς τὸ εἰκὸς τοιούτων, οἷάπερ εἴωθε γίγνεσθαι ἐν ταῖς ὀρφανίαις περὶ τοὺς ὀρφανούς. ἢ γὰρ οὐ χρὴ ποιεῖσθαι παῖδας, ἢ ξυνδιαταλαιπωρεῖν, καὶ τρέφοντα καὶ παιδεύοντα. σὺ δέ μοι δοκεῖς τὰ ῥαθυμότατα αἱρεῖσθαι. χρὴ δὲ ἅπερ ἂν ἀνὴρ ἀγαθὸς, καὶ ἀνδρεῖος ἕλοιτο, ταῦτα αἱρεῖσθαι, φάσκοντά γε δὴ ἀρετῆς διὰ παντὸς τοῦ βίου ἐπιμελεῖσθαι. ὡς ἔγωγε καὶ ὑπὲρ σοῦ, καὶ ὑπὲρ ἡμῶν τῶν σῶν ἐπιτηδείων αἰσχύνομαι, μὴ δόξῃ ἅπαν τὸ πρᾶγμα τὸ περὶ σὲ, ἀνανδρείᾳ τινὶ τῇ ἡμετέρᾳ πεπρᾶχθαι, καὶ ἡ εἴσοδος τῆς δίκης εἰς τὸ δικαστήριον ὡς εἰσῆλθες, ἐξὸν μὴ εἰσελθεῖν, καὶ αὐτὸς ὁ ἀγὼν τῆς δίκης ὡς ἐγένετο, καὶ τὸ τελευταῖον δὴ τουτὶ, ὥσπερ κατάγελως τῆς πράξεως κακίᾳ τινὶ καὶ ἀνανδρείᾳ τῇ ἡμετέρᾳ διαπεφευγέναι ἡμᾶς δοκεῖν, οἵτινες σὲ οὐδὲ ἐσώσαμεν, οὐδὲ σὺ σαυτὸν, οἷόν τε ὂν καὶ δυνατόν, εἴ τι καὶ σμικρὸν ἡμῶν ὄφελος ἦν. ταῦτ' οὖν ὦ Σώκρατες, ὅρα μὴ ἅμα τῷ κακῷ, καὶ αἰσχρὰ ᾖ σοί τε καὶ ἡμῖν, ἀλλὰ βουλεύου. μᾶλλον δὲ, οὐδὲ βουλεύεσθαι ἔτι ὥρα, ἀλλὰ βεβουλεῦσθαι. μία δὲ βουλή. τῆς γὰρ ἐπιούσης νυκτὸς πάντα ταῦτα δεῖ πεπρᾶχθαι. εἰ δὲ περιμενοῦμεν, ἀδύνατον καὶ οὐκέτι οἷόν τε. ἀλλὰ παντὶ τρόπῳ ὦ Σώκρατες, πείθου μοι, καὶ μηδαμῶς ἄλλως ποίει. ΣΩ. Ὦ φίλε Κρίτων, ἡ προθυμία σου πολλοῦ ἀξία, εἰ μετά τινος ὀρθότητος εἴη. εἰ δὲ μὴ, ὅσῳ μείζων, τοσούτῳ χαλεπωτέρα. σκοπεῖσθαι οὖν χρὴ ἡμᾶς, εἴτε ταῦτα πρακτέον, εἴτε μὴ, ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι, ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ

μένῳ βέλτιστος φαίνηται, τοὺς δὴ λόγους, οὓς ἐν τῷ ἔμπροσθεν ἔλεγον, οὐ δύναμαι νῦν ἐκβαλεῖν, ἐπειδή μοι ἥδε ἡ τύχη γέγονεν, ἀλλὰ σχεδόν τι ὅμοιοι φαίνονταί μοι, καὶ τοὺς αὐτοὺς πρεσβεύω, καὶ τιμῶ, οὕσπερ καὶ πρότερον. ὧν ἐὰν μὴ βελτίω ἔχωμεν λέγειν ἐν τῷ παρόντι, εὖ ἴσθι, ὅτι οὐ μή σοι ξυγχωρήσω, οὐδ᾽ ἂν πλείω τῶν νῦν παρόντων ἡ τῶν πολλῶν δύναμις, ὥσπερ παῖδας ἡμᾶς μορμολύττηται, δεσμοὺς καὶ θανάτους ἐπιπέμπουσα, καὶ χρημάτων ἀφαιρέσεις. Κρ. Πῶς οὖν ἂν μετριώτατα σκοποίμεθα αὐτά; Σω. Εἰ πρῶτον μὲν τοῦτον τὸν λόγον ἀναλάβοιμεν, ὃν σὺ λέγεις περὶ τῶν δοξῶν. πότερον καλῶς ἐλέγετο ἑκάστοτε, ἢ οὔ; ὅτι ταῖς μὲν δεῖ τῶν δοξῶν προσέχειν τὸν νοῦν, ταῖς δ᾽ οὔ. ἢ πρὶν μὲν ἐμὲ δεῖν ἀποθνήσκειν, καλῶς ἐλέγετο· νῦν δὲ, κατάδηλος ἄρα ἐγένετο, ὅτι ἄλλως ἕνεκα λόγου ἐλέγετο. ἦν δὲ παιδιὰ καὶ φλυαρία ὡς ἀληθῶς. ἐπιθυμῶ δ᾽ ἔγωγε ἐπισκέψασθαι ὦ Κρίτων, κοινῇ μετὰ σοῦ, εἴ τι μοι ἀλλοιότερος φανεῖται, ἐπειδή γε ὧδε ἔχω, ἢ ὁ αὐτός; καὶ ἐάσομεν χαίρειν, ἢ πεισόμεθα αὐτῷ. ἐλέγετο δέ πως ὡς ἐγῷμαι ἑκάστοτε ὧδε ὑπὸ τῶν οἰομένων τὶ λέγειν, ὥσπερ νῦν δὴ ἐγὼ ἔλεγον· ὅτι τῶν δοξῶν ἃς οἱ ἄνθρωποι δοξάζουσι, δέοι τὰς μὲν περὶ πολλοῦ ποιεῖσθαι, τὰς δὲ μή. τοῦτο πρὸς θεῶν ὦ Κρίτων, οὐ δοκεῖ καλῶς σοι λέγεσθαι; σὺ γὰρ ὅσα γε τἀνθρώπεια, ἐκτὸς εἶ τοῦ μέλλειν ἀποθνήσκειν αὔριον, καὶ οὐκ ἄν σε παρακρούει ἡ παροῦσα ξυμφορά, σκόπει δή. οὐχ ἱκανὸς δοκεῖ σοι λέγεσθαι, ὅτι οὐ πάσας χρὴ τὰς δόξας τῶν ἀνθρώπων τιμᾶν· ἀλλὰ τὰς μὲν, τὰς δ᾽ οὔ. οὐδὲ πάντων, ἀλλὰ τῶν μὲν, τῶν δ᾽ οὔ. τί φῄς; ταῦτα οὐχὶ καλῶς λέγεται; Κρ. Καλῶς. Σω. Οὐκοῦν τὰς μὲν χρηστὰς τιμᾶν, τὰς δὲ πονηρὰς μή; Κρ. Ναί. Σω. Χρησταὶ δὲ οὐχ αἱ τῶν φρονίμων; πονηραὶ δὲ, αἱ τῶν ἀφρόνων; Κρ. Πῶς δ᾽ οὔ; Σω. Φέρε δὴ πῶς αὖ τὰ τοιαῦτα ἐλέγετο; γυμναζόμενος ἀνὴρ καὶ τοῦτο πράττων, πότερον παντὸς ἀνδρὸς ἐπαίνῳ καὶ ψόγῳ καὶ δόξῃ τὸν νοῦν προσέχει, ἢ ἑνὸς μόνου ἐκείνου, ὃς ἂν τυγ-

χάνοι

χάνοι ἰατρὸς, ἢ παιδοτρίβης ὤν; Κρ. Ἑνὸς μόνου. Σω. Οὐκοῦν φοβεῖσθαι χρὴ τοὺς ψόγους, καὶ ἀσπάζεσθαι τοὺς ἐπαίνους τοὺς τοῦ ἑνὸς ἐκείνου, ἀλλὰ μὴ τοὺς τῶν πολλῶν; Κρ. δηλαδή. Σω. Ταύτῃ ἄρα αὐτῷ πρακτέον καὶ γυμναστέον, καὶ ἐδεστέον γε καὶ ποτέον, ᾗ ἂν τῷ ἑνὶ δοκῇ τῷ ἐπιστάτῃ καὶ ἐπαΐοντι μᾶλλον, ἢ ᾗ ξύμπασι τοῖς ἄλλοις. Κρ. Ἔστι ταῦτα. Σω. Εἶεν. ἀπειθήσας δὲ τῷ ἑνὶ, καὶ ἀτιμάσας αὐτοῦ τὴν δόξαν καὶ τοὺς ἐπαίνους, τιμήσας δὲ τοὺς τῶν πολλῶν καὶ μηδὲν ἐπαϊόντων, ἆρα οὐδὲν κακὸν πείσεται; Κρ. Πῶς γὰρ οὔ; Σω. Τί δ' ἐστι κακὸν τοῦτο, καὶ ποῖ τείνει, καὶ εἰς τί τῶν τοῦ ἀπειθοῦντος; Κρ. Δηλονότι εἰς τὸ σῶμα. τοῦτο γὰρ διόλλυσι. Σω. Καλῶς λέγεις. οὐκοῦν καὶ τἄλλα ὦ Κρίτων οὕτως, ἵνα μὴ πάντα διΐωμεν. καὶ δὴ καὶ περὶ τῶν δικαίων καὶ ἀδίκων, καὶ αἰσχρῶν καὶ καλῶν, καὶ ἀγαθῶν καὶ κακῶν, περὶ ὧν νῦν ἡμῖν ἐστιν ἡ βουλὴ, πότερον τῇ τῶν πολλῶν δόξῃ δεῖ ἡμᾶς ἕπεσθαι, καὶ φοβεῖσθαι αὐτὴν, ἢ τῇ τοῦ ἑνὸς, εἴ τις ἐστιν ἐπαΐων, ὃν δεῖ καὶ αἰσχύνεσθαι καὶ φοβεῖσθαι μᾶλλον, ἢ ξύμπαντας τοὺς ἄλλους, ᾧ εἰ μὴ ἀκολουθήσομεν, διαφθεροῦμεν ἐκεῖνο καὶ λωβησόμεθα, ὃ τῷ μὲν δικαίῳ βέλτιον ἐγίγνετο, τῷ δὲ ἀδίκῳ ἀπώλλυτο. ἢ οὐδέν ἐστι τοῦτο; Κρ. Οἶμαι ἔγωγε ὦ Σώκρατες. Σω. Φέρε δὴ, ἐὰν τὸ ὑπὸ τοῦ ὑγιεινοῦ μὲν βέλτιον γιγνόμενον, ὑπὸ τοῦ νοσώδους δὲ διαφθειρόμενον διολέσωμεν, πειθόμενοι μὴ τῇ τῶν ἐπαϊόντων δόξῃ, ἆρα βιωτὸν ἡμῖν ἐστι διεφθαρμένου αὐτοῦ; ἔστι δέ που τοῦτο σῶμα, ἢ οὐχί; Κρ. Ναί. Σω. Ἆρ' οὖν βιωτὸν ἡμῖν ἐστι μετὰ μοχθηροῦ καὶ διεφθαρμένου σώματος; Κρ. Οὐδαμῶς. Σω. Ἀλλὰ μετ' ἐκείνου ἄρα ἐστιν ἡμῖν βιωτὸν διεφθαρμένου, ᾧ τὸ ἄδικον μὲν λωβᾶται, τὸ δὲ δίκαιον ὀνίνησιν. ἢ φαυλότερον ἡγούμεθα εἶναι τοῦ σώματος, ἐκεῖνο ὅ, τι ποτ' ἐστὶ τῶν ἡμετέρων, περὶ ὃ ἥτε ἀδικία καὶ ἡ δικαιοσύνη ἐστίν; Κρ. Οὐδαμῶς. Σω. Ἀλλὰ τιμιώτερον; Κρ. Πολύ γε. Σω. Οὐκ ἄρα ὦ βέλτιστε πάνυ ἡμῖν οὕτω φροντιστέον ὅ, τι ἐροῦσιν οἱ πολλοὶ ἡμᾶς, ἀλλ' ὅτι ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδί-

κων

κων, ὁ εἷς, καὶ αὐτὴ ἡ ἀλήθεια. ὥστε πρῶτον μὲν ταύτῃ οὐκ ὀρθῶς εἰσηγῇ, εἰσηγούμενος τῆς τῶν πολλῶν δόξης δεῖν ἡμᾶς φροντίζειν περὶ τῶν δικαίων καὶ καλῶν καὶ ἀγαθῶν, καὶ τῶν ἐναντίων. ἀλλὰ μὲν δὴ φαίη γ' ἄν τις, οἷοί τε εἰσὶν ἡμᾶς οἱ πολλοὶ ἀποκτιννύναι; δῆλα δὴ καὶ ταῦτα. Κρ. Φαίη γὰρ ἄν, ὦ Σώκρατες. Σω. Ἀληθῆ λέγεις. ἀλλ' ὦ θαυμάσιε, οὗτός γε ὁ λόγος ὃν διεληλύθαμεν, ἔμοιγε δοκεῖ ὅμοιος εἶναι τῷ προτέρως καὶ τόνδε δὴ αὖ σκόπει, εἰ ἔτι μένει ἡμῖν ἢ οὔ, ὅτι οὐ τὸ ζῆν περὶ πλείστου ποιητέον, ἀλλὰ τὸ εὖ ζῆν. Κρ. Ἀλλὰ μένει. Σω. Τὸ δὲ, εὖ καὶ καλῶς καὶ δικαίως ὅτι ταυτόν ἐστι, μένει, ἢ οὐ μένει; Κρ. Μένει. Σω. Οὐκοῦν ἐκ τῶν ὁμολογουμένων τοῦτο σκεπτέον, πότερον δίκαιον ἐμὲ ἐνθένδε πειρᾶσθαι ἐξιέναι μὴ ἀφιέντων ἀθηναίων, ἢ οὐ δίκαιον. καὶ ἐὰν μὲν φαίνηται δίκαιον, πειρώμεθα. εἰ δὲ μὴ, ἐῶμεν. ἃς δὲ σὺ λέγεις τὰς σκέψεις περί τε χρημάτων ἀναλώσεως καὶ δόξης, καὶ παίδων τροφῆς, μὴ ὡς ἀληθῶς ταῦτα ὦ Κρίτων σκέμματα ᾖ τῶν ῥᾳδίως ἀποκτιννύντων, καὶ ἀναβιωσκομένων γ' ἄν, εἰ οἷοί τε ἦσαν, οὐδενὶ ξὺν νῷ, τούτων τῶν πολλῶν. ἡμῖν δ' ἐπειδὴ ὁ λόγος οὕτω αἱρεῖ, μὴ οὐδὲν ἄλλο σκεπτέον ᾖ, ἢ ὅπερ νῦν δὴ ἐλέγομεν. πότερον δίκαια πράξομεν καὶ χρήματα τελοῦντες τούτοις τοῖς ἐμὲ ἐνθένδε ἐξάξουσι, καὶ χάριτας. καὶ αὐτοὶ ἐξάγοντές τε καὶ ἐξαγόμενοι. ἢ τῇ ἀληθείᾳ, ἀδικήσομεν πάντα ταῦτα ποιοῦντες. κἂν φαινώμεθα ἄδικα αὐτὰ ἐργαζόμενοι, μὴ οὐ δέῃ ὑπολογίζεσθαι, οὔτ' εἰ ἀποθνήσκειν δεῖ, παραμένοντας καὶ ἡσυχίαν ἄγοντας, οὔτε ἄλλο ὁτιοῦν πάσχειν πρὸ τοῦ ἀδικεῖν; Κρ. Καλῶς μέν μοι δοκεῖς λέγειν ὦ Σώκρατες. ὅρα δὲ τί δρῶμεν. Σω. Σκοπῶμεν ὦ 'γαθὲ κοινῇ. καὶ εἴπῃ ἔχεις ἀντιλέγειν ἐμοῦ λέγοντος, ἀντίλεγε, καί σοι πείσομαι. εἰ δὲ μὴ, παῦσαι ἤδη ὦ μακάριε πολλάκις μοι λέγων τὸν αὐτὸν λόγον. ὡς χρὴ ἐνθένδε ἀκόντων ἀθηναίων ἐμὲ ἀπιέναι. ὡς ἐγὼ περὶ πολλοῦ ποιοῦμαι πεῖσαί σε ταῦτα πράττειν, ἀλλὰ μὴ ἄκοντος. ὅρα δὲ δὴ τῆς σκέψεως τὴν ἀρ-

χὴν ἐάν σοι ἱκανῶς λέγηται, καὶ πειρῶ ἀποκρίνασθαι τὸ ἐρωτώμενον ᾗ ἂν μάλιστα οἴῃ. Κρ. Ἀλλὰ πειράσομαι. Σω. Οὐδενὶ τρόπῳ φαμὲν ἑκόντας ἀδικητέον εἶναι, ἢ τινὶ μὲν ἀδικητέον τρόπῳ, τινὶ δὲ οὔ; ἢ οὐδαμῶς τό γε ἀδικεῖν οὔτε ἀγαθὸν, οὔτε καλὸν, ὡς πολλάκις ἡμῖν καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ ὡμολογήθη, ὅπερ καὶ ἄρτι ἐλέγετο; ἢ πᾶσαι ἡμῖν αἱ ἐκεῖναι πρόσθεν ὁμολογίαι ἐν ταῖσδε ταῖς ὀλίγαις ἡμέραις ἐκκεχυμέναι εἰσί; καὶ πάλαι ὦ Κρίτων ἄρα τηλικοίδε γέροντες ἄνδρες πρὸς ἀλλήλους σπουδῇ διαλεγόμενοι, ἐλάθομεν ἡμᾶς αὐτοὺς, παίδων οὐδὲν διαφέροντες; ἢ παντὸς μᾶλλον οὕτως ἔχει, ὥσπερ τότε ἡμῖν ἐλέγετο, εἴτε φασὶν οἱ πολλοὶ, εἴτε μή· καὶ εἴτε δεῖ ἡμᾶς ἔτι τῶνδε χαλεπώτερα πάσχειν, εἴτε καὶ πρᾳότερα, ὅμως τό γε ἀδικεῖν τῷ ἀδικοῦντι καὶ κακὸν καὶ αἰσχρὸν τυγχάνει ὂν παντὶ τρόπῳ φαμὲν, ἢ οὔ; Κρ. Φαμέν. Σω. Οὐδαμῶς ἄρα δεῖ ἀδικεῖν; Κρ. Οὐδῆτα. Σω. Οὐδὲ ἀδικούμενον ἄρα ἀνταδικεῖν, ὡς οἱ πολλοὶ οἴονται, ἐπειδήγε οὐδαμῶς δεῖ ἀδικεῖν; Κρ. Οὐ φαίνεται. Σω. Τί δαὶ δή, κακουργεῖν δεῖ ὦ Κρίτων, ἢ οὔ; Κρ. Οὐ δεῖ δήπου ὦ Σώκρατες. Σω. Τί δὲ ἀντικακουργεῖν κακῶς πάσχοντα ὡς οἱ πολλοί φασι δίκαιον, ἢ οὐ δίκαιον; Κρ. Οὐδαμῶς. Σω. Τὸ γάρ που κακῶς ποιεῖν ἀνθρώπους, τοῦ ἀδικεῖν οὐδὲν διαφέρει. Κρ. Ἀληθῆ λέγεις. Σω. Οὔτε ἄρα ἀνταδικεῖν δεῖ, οὔτε κακῶς ποιεῖν οὐδένα ἀνθρώπων, οὐδ᾽ ἂν ὁτιοῦν πάσχῃ ὑπ᾽ αὐτῶν. Καὶ ὅρα ὦ Κρίτων ταῦτα ὁμολογῶν, ὅπως μὴ παρὰ δόξαν ὁμολογῇς· οἶδα γὰρ ὅτι ὀλίγοις τισὶ ταῦτα καὶ δοκεῖ καὶ δόξει· οἷς δ᾽ οὕτω δέδοκται, καὶ οἷς μή, τούτοις οὐκ ἔστι κοινὴ βουλή, ἀλλ᾽ ἀνάγκη τούτους ἀλλήλων καταφρονεῖν, ὁρῶντας ἀλλήλων τὰ βουλεύματα. σκόπει δὴ οὖν καὶ σὺ εὖ μάλα, πότερον κοινωνεῖς καὶ συνδοκεῖ σοι, καὶ ἀρχώμεθα ἐντεῦθεν βουλευόμενοι, ὡς οὐδέποτε ὀρθῶς ἔχοντος οὔτε τοῦ ἀδικεῖν, οὔτε τοῦ ἀνταδικεῖν, οὔτε κακῶς πάσχοντα ἀμύνεσθαι ἀντιδρῶντα κακῶς· ἢ ἀφίστασαι, καὶ οὐ κοινωνεῖς τῆς ἀρχῆς; ἐμοὶ μὲν γὰρ καὶ πάλαι

οὕτω

οὕτω καὶ νῦν ἔτι δοκεῖ. σοὶ δὲ εἴπῃ ἄλλῃ δέδοκται, λέγε καὶ δίδασκε. εἰ δὲ ἐμμένεις τοῖς πρόσθεν, τὸ μετὰ τοῦτο ἄκουε. Κρ. Ἀλλ᾽ ἐμμένω τε καὶ ξυνδοκεῖ μοι. ἀλλὰ λέγε. Σω. Λέγω δὴ αὖ τὸ μετὰ τοῦτο, μᾶλλον δὲ ἐρωτῶ. πότερον ἃ ἄν τις ὁμολογήσῃ τῳ, δίκαια ὄντα, ποιητέον ἢ ἐξαπατητέον; Κρ. Ποιητέον. Σω. Ἐκ τούτων δὴ ἄθρει. ἀπιόντες ἐνθένδε ἡμεῖς μὴ πείσαντες τὴν πόλιν, πότερον κακῶς τινὰς ποιοῦμεν; καὶ ταῦτα οὓς ἥκιστα δεῖ, ἢ οὔ; καὶ ἐμμένομεν οἷς ὡμολογήσαμεν δικαίοις οὖσιν, ἢ οὔ. Κρ. Οὐκ ἔχω ὦ Σώκρατες ἀποκρίνασθαι πρὸς ὃ ἐρωτᾷς. οὐ γὰρ ἐννοῶ. Σω. Ἀλλ᾽ ὧδε σκόπει, εἰ μέλλουσιν ἡμῖν ἐνθένδε εἴτε ἀποδιδράσκειν, εἴθ᾽ ὅπως δεῖ ὀνομάσαι τοῦτο, ἐλθόντες οἱ νόμοι καὶ τὸ κοινὸν τῆς πόλεως, ἐπιστάντες ἔροιντο. εἰπέ μοι ὦ Σώκρατες, τί ἐν νῷ ἔχεις ποιεῖν ἄλλο τι, ἢ τούτῳ τῷ ἔργῳ ᾧ ἐπιχειρεῖς διανοῇ τούς τε νόμους ἡμᾶς ἀπολέσαι, καὶ ξύμπασαν τὴν πόλιν, τὸ σὸν μέρος; ἢ δοκεῖ σοι οἷόν τε ἔτι ἐκείνην τὴν πόλιν εἶναι, καὶ μὴ ἀνατετράφθαι, ἐν ᾗ ἂν αἱ γενόμεναι δίκαι μηδὲν ἰσχύωσιν, ἀλλ᾽ ὑπὸ ἰδιωτῶν ἄκυροί τε γίγνονται καὶ διαφθείρονται; τί ἐροῦμεν ὦ Κρίτων πρὸς ταῦτα, καὶ ἄλλα τοιαῦτα; πολλὰ γὰρ ἄν τις ἔχοι ἄλλως τε καὶ ῥήτωρ εἰπεῖν ὑπὲρ τούτου τοῦ νόμου ἀπολλυμένου, ὃς τὰς δίκας τὰς δικασθείσας προστάττει κυρίας εἶναι. ἢ ἐροῦμεν πρὸς αὐτοὺς, ὅτι ἠδίκει γὰρ ἡμᾶς ἡ πόλις, καὶ οὐκ ὀρθῶς τὴν δίκην ἔκρινε; ταῦτα, ἢ τί ἐροῦμεν; Κρ. Ταῦτα νὴ Δία ὦ Σώκρατες. Σω. Τί οὖν ἂν εἴπωσιν οἱ νόμοι, ὦ Σώκρατες, ἦ καὶ ταῦτα ὡμολόγητο ἡμῖν τε καὶ σοὶ, ἐμμένειν ταῖς δίκαις, αἷς ἂν ἡ πόλις δικάζοι; εἰ οὖν αὐτῶν θαυμάζοιμεν λεγόντων, ἴσως ἂν εἴποιεν, ὅτι ὦ Σώκρατες μὴ θαύμαζε τὰ λεγόμενα, ἀλλ᾽ ἀποκρίνου. ἐπειδὴ καὶ εἴωθας χρῆσθαι τῷ ἐρωτᾶν τε καὶ ἀποκρίνεσθαι. φέρε γὰρ, τί ἐγκαλῶν ἡμῖν καὶ τῇ πόλει ἐπιχειρεῖς ἡμᾶς ἀπολλύναι; οὐ πρῶτον μέν σε ἐγεννήσαμεν ἡμεῖς, καὶ δι᾽ ἡμῶν ἔλαβε τὴν μητέρα σου ὁ πατὴρ, καὶ ἐφύτευσέ σε; φράσον οὖν, τούτοις ἡμῶν,

τοῖς νόμοις τοῖς περὶ τοὺς γάμους μέμφῃ τι, ὡς οὐ καλῶς ἔχουσιν; οὐ μέμφομαι, φαίην ἄν. ἀλλὰ τοῖς περὶ τὴν τοῦ γεννωμένου τροφήν τε καὶ παιδείαν, ἐν ᾗ καὶ σὺ ἐπαιδεύθης; ἢ οὐ καλῶς προσέταττον ἡμῶν οἱ ἐπὶ τούτῳ τεταγμένοι νόμοι, παραγγέλλοντες τῷ πατρὶ τῷ σῷ, σε ἐν μουσικῇ καὶ γυμναστικῇ παιδεύειν; καλῶς, φαίην ἄν. εἶεν, ἐπειδὴ δὲ ἐγένου τε καὶ ἐξετράφης καὶ ἐπαιδεύθης, ἔχοις ἂν εἰπεῖν πρῶτον μὲν, ὡς οὐχὶ ἡμέτερος ἦσθα καὶ ἔκγονος καὶ δοῦλος, αὐτός τε καὶ οἱ σοὶ πρόγονοι; καὶ εἰ τοῦτο οὕτως ἔχει, ἆρ᾽ ἐξ ἴσου οἴει εἶναι σοὶ τὸ δίκαιον καὶ ἡμῖν, καὶ ἅττ᾽ ἂν ἡμεῖς σε ἐπιχειρῶμεν ποιεῖν, ταῦτα καὶ σὺ ἀντιποιεῖν οἴει δίκαιον εἶναι; ἢ πρὸς μὲν ἄρα σοι τὸν πατέρα οὐκ ἐξ ἴσου ἦν τὸ δίκαιον, καὶ πρὸς δεσπότην, εἴ σοι ὢν ἐτύγχανεν, ὥστε ἅπερ πάσχεις, ταῦτα καὶ ἀντιποιεῖν, οὔτε κακῶς ἀκούοντα ἀντιλέγειν, οὔτε τυπτόμενον ἀντιτύπτειν, οὔτε ἄλλα τοιαῦτα πολλά, πρὸς δὲ τὴν πατρίδα ἄρα, καὶ τοὺς νόμους ἐξέσται σοι; ὥστε ἐάν σε ἐπιχειρῶμεν ἡμεῖς ἀπολλύναι, δίκαιον ἡγούμενοι εἶναι, καὶ σὺ δὲ ἡμᾶς τοὺς νόμους καὶ τὴν πατρίδα καθ᾽ ὅσον δύνασαι ἐπιχειρήσεις ἀνταπολλύναι, καὶ φήσεις ταῦτα ποιῶν δίκαια πράττειν, ὁ τῇ ἀληθείᾳ τῆς ἀρετῆς ἐπιμελούμενος; ἢ οὕτως εἶ σοφὸς, ὥστε λέληθέ σε ὅτι μητρός τε καὶ πατρὸς καὶ τῶν ἄλλων προγόνων ἁπάντων, τιμιώτερόν ἐστι πατρὶς, καὶ σεμνότερον καὶ ἁγιώτερον; καὶ ἐν μείζονι μοίρᾳ καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις τοῖς νοῦν ἔχουσι, καὶ σέβεσθαι δεῖ, καὶ μᾶλλον ὑπείκειν καὶ θωπεύειν πατρίδα χαλεπαίνουσαν, ἢ πατέρα. καὶ ἢ πείθειν, ἢ ποιεῖν, ἃ ἂν κελεύοι. καὶ πάσχειν, ἐάν τι προστάττῃ παθεῖν, ἡσυχίαν ἄγοντα, ἐάν τε τύπτεσθαι, ἐάν τε δεῖσθαι, ἐάν τε εἰς πόλεμον ἄγῃ τρωθησόμενον ἢ ἀποθανούμενον. ποιητέα ταῦτα, καὶ τὸ δίκαιον οὕτως ἔχει. καὶ οὐχ ὑπεικτέον, οὐδὲ ἀναχωρητέον, οὐδὲ λειπτέον τὴν τάξιν. ἀλλὰ καὶ ἐν πολέμῳ καὶ ἐν δικαστηρίῳ καὶ πανταχοῦ ποιητέον ἃ ἂν κελεύοι ἡ πόλις τε καὶ ἡ πατρίς. ἢ πείθειν αὐτὴν, ἢ τὸ δίκαιον πέφυκε. βιάζεσθαι

ἢ οὐχ ὅσιον οὔτε μητέρα, οὔτε πατέρα, πολὺ δὲ τούτων ἔτι ἧττον τὴν πατρίδα. τί φήσομεν πρὸς ταῦτα ὦ Κρίτων; ἀληθῆ λέγειν τοὺς νόμους, ἢ οὔ; Κρ. Ἔμοιγε δοκεῖ. Σω. Σκόπει τοίνυν, ὦ Σώκρατες, φαῖεν ἂν ἴσως οἱ νόμοι, εἰ ἡμεῖς ταῦτα ἀληθῆ λέγομεν, ὅτι οὐ δίκαια ἡμᾶς ἐπιχειρεῖς δρᾶν, ἃ νῦν ἐπιχειρεῖς. ἡμεῖς γάρ σε γεννήσαντες, ἐκθρέψαντες, παιδεύσαντες, μεταδόντες ἁπάντων ὧν οἷοίτε ἦμεν καλῶν, σοί τε καὶ τοῖς ἄλλοις πᾶσι πολίταις, ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων τῷ βουλομένῳ, ἐπειδὰν δοκιμάσθῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα καὶ ἡμᾶς τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ ἀπιέναι, ὅποι ἂν βούληται. καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδών ἐστιν, οὐδ' ἀπαγορεύει, ἐάν τέ τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς τε καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ που ἐλθὼν ἰέναι ἐκεῖσε, ὅποι ἂν βούληται ἔχων τὰ αὑτοῦ. ὃς δ' ἂν ὑμῶν παραμείνῃ, ὁρῶν ὃν τρόπον ἡμεῖς τάς τε δίκας δικάζομεν, καὶ τἄλλα τὴν πόλιν διοικοῦμεν, ἤδη φαμὲν τοῦτον ὡμολογηκέναι ἔργῳ ἡμῖν, ἃ ἂν ἡμεῖς κελεύωμεν, ποιήσειν ταῦτα. καὶ τὸν μὴ πειθόμενον, τριχῇ φαμὲν ἀδικεῖν, ὅτι τε γεννήταις οὖσιν ἡμῖν οὐ πείθεται, καὶ ὅτι τροφεῦσι, καὶ ὅτι ὁμολογήσας ἡμῖν πείθεσθαι, οὔτε πείθεται, οὔτε πείθει ἡμᾶς, εἰ μὴ καλῶς τι ποιοῦμεν· προτιθέντων ἡμῶν, καὶ οὐκ ἀγρίως ἐπιταττόντων ποιεῖν, ἃ ἂν κελεύωμεν, ἀλλὰ ἐφιέντων δυοῖν θάτερα, ἢ πείθειν ἡμᾶς, ἢ ποιεῖν, τούτων οὐδέτερα ποιεῖ. ταύταις δὴ φαμὲν καὶ σὲ ὦ Σώκρατες ταῖς αἰτίαις ἐνέξεσθαι, εἴπερ ποιήσεις ἃ ἐπινοεῖς, καὶ οὐχ ἥκιστα Ἀθηναίων σέ, ἀλλ' ἐν τοῖς μάλιστα. εἰ οὖν ἐγὼ εἴποιμι, διατί δή; ἴσως ἄν μου δικαίως καθάπτοιντο λέγοντες, ὅτι ἐν τοῖς μάλιστα Ἀθηναίων ἐγὼ αὐτοῖς ὡμολογηκὼς τυγχάνω ταύτην ὁμολογίαν. φαῖεν γὰρ ἄν, ὅτι ὦ Σώκρατες μεγάλα ἡμῖν τούτων τεκμήριά ἐστιν, ὅτι σοι καὶ ἡμεῖς ἠρέσκομεν, καὶ ἡ πόλις. οὐ γὰρ ἄν ποτε τῶν ἄλλων Ἀ-

θηναίων ἁπάντων διαφερόντως ἐν αὐτῇ ἐπεδήμεις, εἰμὴ σοι διαφερόντως ἤρεσκε. καὶ οὔτ' ἐπὶ θεωρίαν πώποτε ἐκ τῆς πόλεως ἐξῆλθες, ὅτι μὴ ἅπαξ εἰς Ἰσθμόν, οὔτε ἄλλοσε οὐδαμόσε, εἰμὴ ποι στρατευσόμενος. οὔτε ἄλλην ἐποιήσω ἀποδημίαν πώποτε, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι. οὐδ' ἐπιθυμία σε ἄλλης πόλεως, οὐδ' ἄλλων νόμων ἔλαβεν εἰδέναι. ἀλλὰ ἡμεῖς σοι ἱκανοὶ ἦμεν, καὶ ἡ ἡμετέρα πόλις, οὕτω σφόδρα ἡμᾶς ᾑροῦ. καὶ ὡμολόγεις καθ' ἡμᾶς πολιτεύεσθαι. τά τε ἄλλα, καὶ παῖδας ἐν αὐτῇ ἐποιήσω, ὡς ἀρεσκούσης σοι τῆς πόλεως. ἔτι τοίνυν ἐν αὐτῇ τῇ δίκῃ ἐξῆν σοι φυγῆς τιμήσασθαι εἰ ἐβούλου, καὶ ὅπερ νῦν ἀκούσης τῆς πόλεως ἐπιχειρεῖς, τότε ἑκούσης ποιῆσαι. σὺ δὲ τότε μὲν ἐκαλλωπίζου, ὡς οὐκ ἀγανακτῶν εἰ δέοι τεθνάναι σε. ἀλλ' ᾑροῦ ὡς ἔφησθα πρὸ τῆς φυγῆς θάνατον. νῦν δὲ οὔτ' ἐκείνους τοὺς λόγους αἰσχύνῃ, οὔτε ἡμῶν τῶν νόμων ἐντρέπῃ, ἐπιχειρῶν διαφθεῖραι. πράττεις τε ἅπερ ἂν δοῦλος ὁ φαυλότατος πράξειεν, ἀποδιδράσκειν ἐπιχειρῶν παρὰ τὰς ξυνθήκας τε καὶ τὰς ὁμολογίας, καθ' ἃς ἡμῖν ξυνέθου πολιτεύεσθαι. πρῶτον οὖν ἡμῖν τοῦτο αὐτὸ ἀπόκριναι, εἰ ἀληθῆ λέγομεν φάσκοντές σε ὡμολογηκέναι πολιτεύσεσθαι καθ' ἡμᾶς ἔργῳ, ἀλλ' οὐ λόγῳ. ἢ οὐκ ἀληθῆ; τί φῶμεν πρὸς ταῦτα ὦ Κρίτων, ἄλλο τι ἢ ὁμολογῶμεν; Κρ. Ἀνάγκη ὦ Σώκρατες. Σω. Ἄλλο οὖν φαῖεν ἢ ξυνθήκας τὰς πρὸς ἡμᾶς αὐτοὺς καὶ ὁμολογίας παραβαίνεις, οὐχ ὑπ' ἀνάγκης ὁμολογήσας, οὐδὲ ἀπατηθεὶς, οὐδὲ ἐν ὀλίγῳ χρόνῳ ἀναγκασθεὶς βουλεύσασθαι. ἀλλ' ἐν ἔτεσιν ἑβδομήκοντα, ἐν οἷς ἐξῆν σοι ἀπιέναι, εἰμὴ ἠρέσκομεν ἡμεῖς, μηδὲ δίκαιαι ἐφαίνοντό σοι αἱ ὁμολογίαι εἶναι. σὺ δὲ οὔτε Λακεδαίμονα προῃροῦ, οὔτε Κρήτην, ἃς δὴ ἑκάστοτε φῂς εὐνομεῖσθαι. οὔτε ἄλλην οὐδεμίαν τῶν ἑλληνίδων πόλεων, οὔτε τῶν βαρβάρων. ἀλλ' ἐλάττω ἐξ αὐτῆς ἀπεδήμησας, ἢ οἱ χωλοί τε καὶ τυφλοὶ, καὶ οἱ ἄλλοι ἀνάπηροι. οὕτω σοι διαφερόντως τῶν ἄλλων Ἀθηναίων ἤρεσκεν ἡ πόλις τε, καὶ ἡμεῖς οἱ νόμοι δηλονότι.

τίνι

τίνι γὰρ ἂν πόλις ἀρέσκοι ἄνευ νόμων; νῦν δὲ οὐκ ἐμμενεῖς τοῖς ὡμολογημένοις, ἐὰν ἡμῖν γε πείθῃ ὦ Σώκρατες, καὶ οὐ καταγέλαστός γε ἔσῃ ἐκ τῆς πόλεως ἐξελθών; σκόπει γὰρ δὴ ταῦτα παραβὰς, καὶ ἐξαμαρτάνων τι τούτων, τί ἀγαθὸν ἐργάσῃ σαυτὸν, ἢ τοὺς ἐπιτηδείους τοὺς σαυτοῦ, ὅτι μὲν γὰρ κινδυνεύσουσί γέ σου οἱ ἐπιτήδειοι καὶ αὐτοὶ φεύγειν, καὶ στερηθῆναι τῆς πόλεως, ἢ τὴν οὐσίαν ἀπολέσαι, σχεδόν τι δῆλον. αὐτὸς δὲ πρῶτον μὲν ἐὰν εἰς τῶν ἐγγύτατά τινα πόλεων ἔλθῃς, ἢ Θήβαζε, ἢ Μεγάραδε, εὐνομοῦνται γὰρ ἀμφότεραι, πολέμιος ἥξεις ὦ Σώκρατες τῇ τούτων πολιτείᾳ. καὶ ὅσοι περ κήδονται τῶν αὐτῶν πόλεων, ὑποβλέψονταί σε, διαφθορέα ἡγούμενοι τῶν νόμων, καὶ βεβαιώσεις τοῖς δικασταῖς τὴν δόξαν, ὥστε δοκεῖν ὀρθῶς τὴν δίκην δικάσαι. ὅστις γὰρ νόμων διαφθορεύς ἐστι, σφόδρα που δόξειεν ἂν νέων γε καὶ ἀνοήτων ἀνθρώπων διαφθορεὺς εἶναι. πότερον οὖν φεύξῃ τάς τε εὐνομουμένας πόλεις, καὶ τῶν ἀνδρῶν τοὺς κοσμιωτάτους; καὶ τοῦτο ποιοῦντι, ἆρα ἄξιον ἐστι σοι ζῆν; ἢ πλησιάσεις τούτοις, καὶ ἀναισχυντήσεις διαλεγόμενος τίνας λόγους ὦ Σώκρατες, ἢ οὕσπερ ἐνθάδε, ὡς ἡ ἀρετὴ, καὶ ἡ δικαιοσύνη πλείστου ἄξιον τοῖς ἀνθρώποις, καὶ τὰ νόμιμα καὶ οἱ νόμοι, καὶ οὐκ οἴει ἄσχημον φανεῖσθαι τὸ τοῦ Σωκράτους πρᾶγμα; οἴεσθαί γε χρή. ἀλλ' ἐκ μὲν τούτων τῶν πόλεων ἀπαρεῖς, ἥξεις δὲ εἰς Θετταλίαν παρὰ τοὺς ξένους τοῦ Κρίτωνος. ἐκεῖ γὰρ δὴ πλείστη ἀταξία καὶ ἀκολασία. καὶ ἴσως ἂν ἡδέως σου ἀκούοιεν, ὡς γελοίως ἐκ τοῦ δεσμωτηρίου ἀπεδίδρασκες, σκευήν τινα περιθέμενος ἢ διφθέραν λαβὼν, ἢ ἄλλα οἷα δὴ εἰώθασιν ἐνσκευάζεσθαι οἱ ἀποδιδράσκοντες, καὶ τὸ σχῆμα τὸ σαυτοῦ μεταλλάξας. ὅτι δὲ γέρων ἀνὴρ σμικροῦ χρόνου τῷ βίῳ λοιποῦ ὄντος, ὡς τὸ εἰκὸς, ἐτόλμησας οὕτω γλίσχρως ἐπιθυμεῖν ζῆν, νόμους τοὺς μεγίστους παραβὰς,

οὐδεὶς ὃς ἐρεῖ; ἴσως ἄν, μή τινα λυπῇς. εἰ δὲ μή, ἀκούσῃ ὦ Σώκρατες πολλὰ καὶ ἀνάξια σαυτοῦ, ὑποσχόμενος δὴ πάντας ἀνθρώπους βιώσῃ, καὶ δουλεύων, τί ποιῶν, ἢ εὐωχούμενος ἐν Θετταλίᾳ; ὥσπερ ἐπὶ δεῖπνον ἀποδεδημηκὼς εἰς Θετταλίαν. λόγοι δὲ ἐκεῖνοι οἱ περὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, ποῦ ἡμῖν ἔσονται; Ἀλλὰ δὴ τῶν παίδων ἕνεκα βούλει ζῆν, ἵνα αὐτοὺς ἐκθρέψῃς καὶ παιδεύσῃς; τί δὲ εἰς Θετταλίαν αὐτοὺς ἀγαγὼν θρέψεις τε καὶ παιδεύσεις, ξένους ποιήσας, ἵνα καὶ τοῦτό σου ἀπολαύσωσιν; ἢ τοῦτο μὲν οὔ. αὐτοῦ δὲ τρεφόμενοι σοῦ ζῶντος, βέλτιον θρέψονται καὶ παιδεύσονται μὴ ξυνόντος σοῦ αὐτοῖς; οἱ γὰρ ἐπιτήδειοι οἱ σοὶ ἐπιμελήσονται αὐτῶν. πότερον ἐὰν μὲν εἰς Θετταλίαν ἀποδημήσῃς, ἐπιμελήσονται, ἐὰν δὲ εἰς ᾅδου ἀποδημήσῃς οὐχὶ ἐπιμελήσονται; εἴπερ γέ τι ὄφελος αὐτῶν ἐστι τῶν σοὶ φασκόντων ἐπιτηδείων, εἶναι οἴεσθαί γε χρή. ἀλλ᾽ ὦ Σώκρατες πειθόμενος ἡμῖν τοῖς σοῖς τροφεῦσι, μήτε παῖδας περὶ πλείονος ποιοῦ, μήτε τὸ ζῆν, μήτε ἄλλο μηδέν, πρὸ τοῦ δικαίου, ἵνα εἰς ᾅδου ἐλθὼν, ἔχῃς ταῦτα πάντα ἀπολογήσασθαι τοῖς ἐκεῖ ἄρχουσιν. οὔτε γὰρ ἐνθάδε σοι φαίνεται ταῦτα πράττοντι ἄμεινον εἶναι, οὐδὲ δικαιότερον, οὐδὲ ὁσιώτερον, οὐδὲ ἄλλῳ τῶν σῶν οὐδενί. οὔτε ἐκεῖσε ἀφικομένῳ ἄμεινον ἔσται. ἀλλὰ νῦν μὲν ἠδικημένος ἄπει ἐὰν ἀπίῃς, οὐχ ὑφ᾽ ἡμῶν τῶν νόμων, ἀλλ᾽ ὑπ᾽ ἀνθρώπων. ἐὰν δὲ ἐξέλθῃς οὕτως αἰσχρῶς ἀνταδικήσας τε καὶ ἀντικακουργήσας τὰς σαυτοῦ ὁμολογίας τε καὶ ξυνθήκας τὰς πρὸς ἡμᾶς παραβὰς, καὶ κακὰ ἐργασάμενος τούτους οὓς ἥκιστα ἔδει, σαυτόν τε καὶ φίλους, καὶ πατρίδα, καὶ ἡμᾶς, ἡμεῖς τέ σοι χαλεπανοῦμεν ζῶντι, καὶ ἐκεῖ οἱ ἡμέτεροι ἀδελφοὶ οἱ ἐν ᾅδου νόμοι, οὐκ εὐμενῶς σε ὑποδέξονται, εἰδότες ὅτι καὶ ἡμᾶς ἐπεχείρησας ἀπολέσαι, τὸ σὸν μέρος. ἀλλὰ μή σε πείσῃ Κρί-

των ποιεῖν, ἃ λέγει μᾶλλον ἢ ἡμεῖς. Ταῦτα ὦ φίλε ἑταῖρε Κρίτων εὖ ἴσθι ὅτι ἐγὼ δοκῶ ἀκούειν, ὥσπερ οἱ κορυβαντιῶντες τῶν αὐλῶν δοκοῦσιν ἀκούειν. καὶ ἐν ἐμοὶ αὕτη ἡ ἠχὴ τούτων τῶν λόγων βομβεῖ, καὶ ποιεῖ μὴ δύνασθαι τῶν ἄλλων ἀκούειν. ἀλλὰ ἴσθι ὅσα γε τὰ νῦν ἐμοὶ δοκοῦντα. ἐάν τι λέγῃς παρὰ ταῦτα, μάτην ἐρεῖς. ὅμως μέντοι, εἴ τι οἴει πλέον ποιήσειν, λέγε. Κρ. Ἀλλ' ὦ Σώκρατες οὐκ ἔχω λέγειν. Σω. Ἔα τοίνυν ὦ Κρίτων, καὶ πράττωμεν ταύτῃ, ἐπειδὴ ταύτῃ ὁ θεὸς ὑφηγεῖται.





ἘΠΙΣΤΟΛΑΙ

ΔΙΑΦΟ΄ΡΩΝ.

Ἐπιστολῶν ἄθροισις ἀνδρῶν πανσόφων,
Οὓς ὁ πρὶν ἐβλάστησεν ὡς ῥόδα χρόνος,
Ὧν ῥεῖ μὲν ἄνθος, ἡ δὲ τοῦ μύρου χάρις
Μένει διαρκῶς εἰς πνοὴν εὐωδίας.
Καὶ τῶν σοφῶν γὰρ ἡ μὲν ἀκμὴ τοῦ βίου
Πτηνῶς παρῆλθεν, ἡ δὲ τῶν λόγων χάρις
Μένει διαρκῶς εἰς ἀείμνηστον κλέος.

ἘΚ ΤΩ͂Ν ἘΠΙΣΤΟΛΩ͂Ν ἸΩΑ΄ΝΝΟΥ ΤΟΥ͂ ΧΡΥΣΟΣΤΟ΄ΜΟΥ.

Μαρκελλίνῳ.



Ακρὰν μὲν ἐσιγήσαμεν ἀμφότεροι σιγὴν πρὸς ἀλλήλους, τῆς δὲ ἀγάπης σου τῆς ἀρχαίας καὶ γνησίας ἡμῖν ἐκείνης οὐκ ἐπιλελήσμεθα, ἀλλ' ἀκμάζουσαν αὐτὴν διατηροῦμεν, καὶ ὅπου περ ἂν ἀπίωμεν, αὐτὴν περιφέρομεν, μεγίστην ἐντεῦθεν καρπούμενοι τὴν παράκλησιν. διὸ δὴ καὶ νῦν ἐπιτυχόντες τῶν πρὸς τὴν σὴν εὐγένειαν ἀφικνουμένων, τήν τε ὀφει-

λομέ-

λομένην ἀποδίδοαμεν πρόσρησιν, καὶ δηλοῦμεν, ὅτι κἂν πρὸς αὐτὰς ἀπενεχθῶμεν τῆς οἰκουμένης τὰς ἐσχατιὰς, ἔχοντές σε ἄπιμεν ἐν διανοίᾳ ἐγκεκολαμμένον ἡμῶν τῷ συνειδότι. ἀλλ᾽ ἐπειδὴ τοῖς οὕτω διακειμένοις οὐ τὸ γράφειν μόνον, ἀλλὰ καὶ τὸ δέχεσθαι γράμματα παρὰ τῶν οὕτω φιλουμένων, πολλὴν φέρει τὴν ἡδονὴν, διπλασίασον ἡμῖν τὴν εὐφροσύνην, δέσποτα τιμιώτατε, καὶ ἡνίκα ἂν ἐξῇ, γράφε συνεχῶς ἡμῖν, τὰ περὶ τῆς ὑγιείας τῆς σῆς δηλῶν. οἶδα γὰρ ὅπως ἡμῖν περισπούδαστον ταῦτα μανθάνειν, καὶ ὅσην καὶ ἐν ἀλλοτρίᾳ διατρίβοντες, ἐντεῦθεν καρπωσόμεθα τὴν παράκλησιν.

Συμμάχῳ πρεσβυτέρῳ.

Οὐδὲν καινὸν οὐδὲ ἀπεικὸς, τεθλιμμένην ὁδεύοντα ὁδὸν στενοχωρεῖσθαι. τοιαύτη γὰρ τῆς ἀρετῆς ἡ φύσις. πόνων γέμει, καὶ ἱδρώτων, ἐπιβουλῶν καὶ κινδύνων. ἀλλ᾽ ἡ μὲν ὁδὸς τοιαύτη· τὰ δὲ ἐντεῦθεν στέφανοι, βραβεῖα, τὰ ἀπόρρητα ἀγαθὰ, καὶ τέλος οὐκ ἔχοντα. τούτοις τοίνυν σαυτὸν παρακάλει. καὶ γὰρ καὶ ἡ ἄνεσις, καὶ ἡ θλῖψις ἡ τοῦ παρόντος παροδεύεται βίου, καὶ αὐτῷ τῷ βίῳ συγκαταλύεται. μηδὲν οὖν μηδ᾽ ἐκείνων φυσάτω. μηδὲ τούτων ταπεινούτω, καὶ συστελλέτω. ὁ γὰρ ἄριστος κυβερνήτης οὔτε ἐν γαλήνῃ χαυνοῦται, οὔτε ἐν χειμῶνι, ταράττεται. ταῦτ᾽ οὖν εἰδὼς παρακάλει σαυτὸν, καὶ παραμυθίαν ἐντεῦθεν καρποῦ τὴν μεγίστην. γράφε συνεχῶς ἡμῖν τὰ περὶ τῆς ὑγιείας τῆς σῆς. εἰ γὰρ καὶ πολλῷ τῷ μήκει τῆς ὁδοῦ διειργόμεθα, καὶ πολὺν σου τῆς ἐμμελείας ἀπελείφθημεν χρόνον, ἀλλ᾽ οὐ τῆς ἀγάπης, ἀλλ᾽ ἄληστον αὐτὴν ἀεὶ περιφέρομεν καὶ ἀκμάζουσαν, ὅπου περ ἂν ὦμεν, ἐπεὶ περ τοιαύτη τοῦ φιλεῖν γνησίως ἡ φύσις.

Ἄρα

Ἀραβίῳ.

ΟΙ῏δά σε τὴν ἀγάπην, οἶδά σου τὸ φίλτρον τὸ θερμὸν, τὸ γνήσιον, τὸ εἰλικρινὲς, τὸ διαρκὲς, καὶ ὡς οὔτε δυσκολία πραγμάτων, οὔτε ὄχλος φροντίδων, οὔτε περιστάσεων πλῆθος, οὔτε χρόνου μῆκος, οὔτε ὁδοῦ διάστημα δύναται ταύτην ἀμαυροτέραν ποιῆσαι. διὰ τοῦτο καὶ σφόδρα ἐπιθυμῶ συνεχῶς δέχεσθαι γράμματα παρὰ τῆς εὐγενείας τῆς σῆς, εὐαγγελιζόμενα ἡμᾶς περὶ τῆς ὑγείας τῆς σῆς· κἂν ἐγκαλῶμεν, οὐχ ὡς ῥαθυμοῦντες ἐγκαλοῦμεν, ἀλλ' ὡς πλειόνων ἐρῶντες ἐπιστολῶν τοιούτων. ταῦτ' οὖν εἰδὼς δέσποτά μου τιμιώτατε καὶ εὐγενέστατε, δίδου ταύτην ἡμῖν τὴν χάριν, κούφην τε οὖσαν καὶ εὔκολον, καὶ πολλὴν ἡμῖν καὶ ἐν ἐρημίᾳ καθημένοις, παρέχουσαν τὴν εὐφροσύνην.

Γεμέλλῳ.

ἌΛλοι μὲν τῇ θαυμασιότητί σου συνήδονται τῆς ἀρχῆς, ἐγὼ δὲ τῇ πόλει, καὶ τῇ μεγαλοπρεπείᾳ δὲ τῇ σῇ, οὐ διὰ τὴν ἐντεῦθεν τιμὴν, (ὑψηλότερος γὰρ τῶν τοιούτων μεμελέτηκας εἶναι) ἀλλὰ διὰ τὸ λαβεῖν ἀφορμὴν τὴν παρέχουσάν σοι μετὰ πολλῆς τῆς ἀδείας, καὶ τοῖς πολλοῖς δεῖξαι τὴν σύνεσίν σου, καὶ τὴν ἡμερότητα, καὶ τὸ ἐντεῦθεν κέρδος συναγαγεῖν. εὖ γὰρ οἶδα ὅτι τοὺς σφόδρα τῇ γῇ προσηλωμένους, καὶ πρὸς τὰ ὀνείρατα ταῦτα κεχηνότας, (λέγω δὴ τὴν παρὰ τῶν πολλῶν δόξαν) παιδεῦσαι δυνήσῃ, ὅτι οὐκ ἐν τῇ χλανίδι, καὶ τῇ ζώνῃ, οὐδὲ ἐν τῇ φωνῇ τοῦ κήρυκος ὁ ἄρχων, ἀλλ' ἐν τῷ τὰ πεπονηκότα ἀνακτᾶσθαι, καὶ τὰ κακῶς ἔχοντα διορθοῦν, καὶ κολάζειν μὲν ἀδικίαν, μὴ συγχωρεῖν δὲ ὑπὸ δυναστείας τὸ δίκαιον ἀπελαύνεσθαι. καὶ γὰρ οἶδά σου τὴν παῤῥησίαν, τὴν ἐλευθεροστομίαν, τῆς διανοίας τὸ ὕψος, τῶν βιωτικῶν ὑπεροψίαν,

τὸ μισοπόνηρον, τὸ ἥμερον, τὸ φιλάνθρωπον, οὗ μάλιστα ἄρχοντι δεῖ. διὸ κἀκεῖνο οἶδα σαφῶς, ὅτι λιμὴν ἔσῃ τῶν ναυαγούντων, βακτηρία τῶν ἐπὶ γόνυ κλιθέντων, πύργος τῶν ὑπὸ δυναστείας ἀδίκου πολεμουμένων. καὶ ἔσῃ ταῦτα ῥᾳδίως. οὐδὲ γὰρ πόνου σοι δεῖ, οὐδὲ ἱδρῶτος, οὐδὲ χρόνου μακροῦ εἰς τὸ κατορθοῦν ταῦτα. ἀλλ' ὥσπερ ὁ ἥλιος ὁμοῦ τε φαίνεται, καὶ πάντα λύει ζόφον· οὕτω καὶ αὐτὸς ἐπὶ τοῦ θρόνου φανεὶς, εὖ οἶδ' ὅτι ἐκ πρώτης ἡμέρας τούς τε ἀδικεῖν ἐπιχειροῦντας ἀνέστειλας, τούς τε ἀδικουμένους, καὶ πρὶν εἰς τὸ δικαστήριον εἰσελθεῖν, πάσης ἐπηρείας ἀπήλλαξας, καὶ ἤρκεσεν εἰς τὴν τούτου διόρθωσιν ἡ τῆς φιλοσόφου σου ψυχῆς ὑπόληψις. διὰ ταῦτα καί τοι ἐν ἐρημίᾳ καθήμενος, καὶ πολλαῖς συνεχόμενος περιστάσεσι, πολλῆς γέμω τῆς εὐφροσύνης, ἡμετέραν ἡδονὴν τὴν τῶν ἀδικουμένων συμμαχίαν ἡγούμενος.


Ἀνθεμίῳ.

Ἄλλοι μέν σου τῇ θαυμασιότητι καὶ τῆς ὑπατείας, καὶ τῆς ἐπαρχότητος συνήδονται, ἐγὼ δὲ αὐταῖς ταῖς ἀρχαῖς τῆς σῆς ἕνεκεν μεγαλοπρεπείας· οὐ γάρ σε κατεκόσμησαν, ἀλλ' ἐκοσμήθησαν παρὰ σοῦ. ἐπειδὴ καὶ τοιοῦτον ἀρετή· οὐκ ἔξωθεν δανείζεται τὰς τιμὰς, ἀλλ' αὐτὴ ἐν ἑαυτῇ περιφέρει ταύτας, τιμὴν τοῖς ἀξιώμασι τούτοις παρέχουσα, οὐκ αὐτὴ παρ' ἐκείνων λαμβάνουσα. διὰ δὴ τοῦτο οὐδὲ προσεθήκαμεν τῇ φιλίᾳ τῇ νῦν τῇ πρὸς σέ· οὐδὲ γάρ σοι προσγέγονε πλέον. οὐδὲ τὸν ὕπαρχον καὶ ὕπατον ἡμεῖς φιλοῦμεν, ἀλλὰ τὸν δεσπότην μου τὸν ἡμερώτατον Ἀνθέμιον, τὸν πολλῆς μὲν συνέσεως, πολλῆς δὲ γέμοντα φιλοσοφίας. διό σε καὶ μακαρίζομεν, οὐκ ἐπειδὴ πρὸς τὸν θρόνον ἀνέβης τοῦτον, ἀλλ' ἐπειδὴ δαψιλεστέραν ἔλαβες ὕλην, εἰς τὸ τὴν σύνεσίν σου καὶ τὴν φιλανθρωπίαν ἐπιδείξασθαι. καὶ τοῖς ἀδικουμένοις πᾶσι συνηδόμεθα, τὸν πλατὺν σου λιμένα τῆς ψυχῆς ὁρῶντες, μυρία δυνάμενον λῦσαι ναυάγια, καὶ τοὺς

εἰς ἔσχατον κλυδωνίου κατενεχθέντας, παρασκευάσαι ἐξουσίας πλεῖν. διὰ ταῦτα χαίρομεν, διὰ ταῦτα σκιρτῶμεν, τὴν σὴν ἀρχὴν κοινὴν ἑορτὴν τῶν ἐπηρεαζομένων εἶναι νομίζοντες, ἧς καὶ αὐτοὶ νῦν ἀπολαύομεν, οἰκείαν ἡδονὴν εἶναι τιθέμενοι τῶν σῶν κατορθωμάτων τὸ μέγεθος.

Ἐπισκόποις ἐλθοῦσιν ἀπὸ τῆς δύσεως.

ΚΑὶ ἔμπροσθεν μὲν ἐξεπληττόμεθα ὑμῶν τὴν σπουδὴν, τὴν προθυμίαν τὴν ὑπὲρ τῆς διορθώσεως τῶν ἐκκλησιῶν γεγενημένην, τὴν στεῤῥὰν καὶ γνησίαν διάθεσιν, τὴν ἀνδρείαν καὶ ἀπερίτρεπτον γνώμην, τὴν καρτερίαν, ἣν τοσοῦτον ἐπεδείξασθε χρόνον. μάλιστα δὲ ἐξεπλάγημεν νῦν τὸν πολὺν ὑμῶν τόνον, οὕτω μακρὰν καὶ διαπόντιον ἀποδημίαν ἑλομένων, καὶ πόνων καὶ ἱδρώτων γέμουσαν, ὑπὲρ τῶν ταῖς ἐκκλησίαις συμφερόντων. καὶ ἐβουλόμεθα μὲν καὶ ἐπιστέλλειν συνεχῶς, καὶ τὴν ὀφειλομένην τῇ εὐλαβείᾳ ὑμῶν ἀποδιδόναι πρόσρησιν· ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, (σχεδὸν γὰρ ἄβατον τοῖς πολλοῖς οἰκοῦμεν χωρίον, ἐρημίᾳ πάντοθεν τετειχισμένον) νῦν ἐπιλαβόμενοι τοῦ κυρίου μου τοῦ τιμιωτάτου καὶ εὐλαβεστάτου Πρεσβυτέρου, προσαγορεύομεν ὑμῶν τὴν ἀγάπην, καὶ παρακαλοῦμεν τοῖς προοιμίοις συμβαῖνον ἐπιθεῖναι τὸ τέλος. ἴστε γὰρ ὅσος ὑμῖν ἔσται τῆς ὑπομονῆς ὁ μισθὸς, καὶ ὅσαι παρὰ τοῦ φιλανθρώπου θεοῦ αἱ ἀντιδόσεις, ὑπὲρ τῆς κοινῆς εἰρήνης πονουμένοις, καὶ τοσοῦτον ἀναδεχομένοις ἀγῶνα.



ΕΚ ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Περὶ ὧν μετέρχῃ ἄθλων, θαυμάσιε, πέπεισο στάδιον ἡμῖν τὰ παρόντα προκεῖσθαι ἀόρατον· ἐν ᾧ θηρίοις οὐκ αἰσθητοῖς, ἀλλὰ νοητοῖς τοῖς πάθεσι προσπαλαίομεν· ἅπερ εἰ τῆς ἐν ἡμῖν ῥώμης κρατήσουσιν, οὐ μέχρι τοῦ σώματος ἱστῶσι τὸν κίνδυνον, ἀλλ' αὐτῇ τῇ ψυχῇ τὸν θάνατον φέρουσιν· εἰ δὲ κρατηθῶσι καὶ δραπετεύσωσι, στεφάνων καὶ ἀναρρήσεων μεγάλων τευξόμεθα· καὶ ἐν ταῦθα μὲν πολλάκις, μετὰ ταῦτα δὲ πάντως· ἐπειδὴ τὰ ἔπαθλα ὁ μέλλων αἰὼν ἐμπεπίστευται, ὡς οὗτος τὰ σκάμματα.

Εὐσεβίῳ Πρεσβυτέρῳ.

Οὐδὲν οὕτω θεῷ περισπούδαστον, ὡς ἀγάπη· δι' ἣν καὶ ἄνθρωπος γέγονε, καὶ μέχρι θανάτου ὑπήκοος. διὰ τοῦτο γὰρ καὶ ἡ πρώτη κλῆσις τῶν μαθητῶν αὐτοῦ, ἀδελφοὶ δύο γεγόνασιν, ἐνδειξαμένου διὰ τῶν προοιμίων εὐθὺς τοῦ πανσόφου Σωτῆρος, ὅτι πάντας τοὺς μαθητὰς αὐτοῦ ἀδελφικῶς συνάπτεσθαι βούλεται. ἀγάπης τοίνυν μηδὲν ἡγώμεθα προτιμότερον, ἥπερ συνδεῖ πάντα, καὶ ἐν ὁμονοίᾳ συμφερούσῃ φυλάττει.

Ὠφελίῳ Γραμματικῷ.

Εἰ Σωκράτης ὁ τῶν Ἀττικῶν δογμάτων νομοθέτης, καὶ τυπτηθεὶς οὐκ ἠμύνατο, αὐτὸς τί ἀλύεις μόνον ὑβρισθείς, ὡς γέ-

γρα-

γραφας; εἰ γὰρ φιλοσοφήσειας, αὐτὸς μὲν τὴν Σωκράτους δόξαν ἀποίσῃ, εἰ καὶ ἧττον Σωκράτους πεπαρῴνησαι· ὁ δὲ ἐξ ἐναντίας ὡς βέλει, τῇ μεγαλοψυχίᾳ ξωθήσεται, ἢ καὶ ἔσθ' ὅτε τῆς φιλαμαρτήμονος μεταβληθήσεται καὶ γνώμης καὶ γλώττης, καὶ χάριν σοι εἴσεται ὡς αἰτίῳ τῆς ἀλλοιώσεως.

Διοφάντῃ Ἄρχοντι.

Βραχυτελῆ οὐ μόνον τὴν ἀρχὴν, ἀλλὰ καὶ αὐτὴν ἔχεις τὴν ζωήν· τί τοίνυν ἁμαρτάνεις ἀτελεύτητα, ἐν ὀλίγαις ὥραις τὴν αἰώνιον ἑαυτῷ κατασκευάζων κόλασιν; καταμαθὼν οὖν πᾶσαν τὴν πολύστροφον καὶ πολύτρεπτον τῶν πραγμάτων ἀπιστίαν, μᾶλλον ἐπὶ χρηστοῖς γνωρίζεσθαι σπούδαζε· ὧν καὶ οἱ ἐνταῦθα τυγχάνουσιν ἔπαινοι, καὶ οἱ μέλλοντες μισθοὶ οὐκ ἀπόλλυνται.

Τούβᾳ στρατιώτῃ.

Οὐκ ἔστιν ὁπλοφορεῖν ἐν εἰρήνῃ, οὐκ ἔστι σχῆμα πολέμου ἐπὶ μέσης ἀγορᾶς περιφέρειν, οὐκ ἔστι ξιφήρη διάγειν ἐν πόλει, ἀλλὰ καὶ φόβον καὶ πεῖραν τοιαύτην ἐν πολέμῳ κατὰ τῶν ἀντιπάλων γυμνάζειν· εἰ οὖν σχήματι χαίρεις πολεμικῷ, καὶ ἀναῤῥήσεων καὶ στηλῶν ἐπιτυχεῖν ἀξιοῖς, εἰς τὸ στρατόπεδον κατάβηθι, καὶ μὴ σχήμασιν ἐξωνούμενος τὴν ἐκεῖθεν φυγὴν, καὶ οἴκοι μένων, ἐνταῦθα παῖζε τὸν ἐκεῖ χρεωστούμενον πόλεμον.

Μηνᾷ σχολαστικῷ.

Τὰ πράγματα λόγου οὐ χρῄζει· αὐτὰ γάρ ἐστι φαινόμενα. οἱ λόγοι δὲ μᾶλλον τοῦ γενέσθαι πράγματα δέονται. καὶ αὐτοὶ, εἰ σεμνότητος ἔχονται. εἰ τοίνυν βούλοιο κατ' ἀμφότερα φανῆναι ἀοίδιμος, καὶ πράττε λογικῶς, καὶ λέγε πρακτικῶς.

Γελα-

Γελασίῳ δουκί.

Ἔθος ἐςὶ τοῖς ἀνθρώποις, εἰ καὶ τῶν θείων ἀλλότριον νόμων, ὅμως ἐπὶ πολλοῖς ἢ γένει, ἢ φρονήσει, ἢ κτήσει, ἢ κάλλει, ἢ ἀξίᾳ ἐπαίρεσθαι. οὐδὲν δὲ ὠφελεῖ πρὸς ὑπερηφανίαν αὐτοὺς, τοὺς ἐκ τῆς γῆς ὄντας, καὶ πάλιν πρὸς αὐτὴν ὑποςρέφοντας. τούτων ὅτι οὐδέν σοι τὸ σύμβολον πρόσεςιν, οὐδ' ἂν αὐτὸς ἀρνηθείης. εἰ οὖν πάντων τῶν πρὸς ἔπαρσιν φυσώντων ἐςέρησαι, δυσγενὴς ὢν καὶ πτωχὸς, καὶ δύσνους, καὶ ἰδιώτης λίαν καὶ δύσμορφος, τί σοβεῖς διὰ τῆς πόλεως, ὡς πάντων ἐπιδοξότερος, καὶ πολλῶν τῇ πόλει γίνῃ θορύβων ἀρχηγός; ἢ γνῶθι τοίνυν σαυτὸν, καὶ σύμμετρον κτῆσαι τὸν τρόπον τῆς οὐδενείας σου, ἢ πρὸς πόνους καὶ κινδύνους παράταξαι, οἷς σε οἱ ἐν δυνάμει ἀμείψονται. χρυσοῦ γὰρ ἀπορεῖς τοῦ ὁμαλίζοντος πολλάκις τὰς τῶν πειράσεων καὶ μαςίγων τραχύτητας.

Ἰωάννῃ μοναχῷ.

Οὐκ οἶδε κόρος ἀγρυπνεῖν, οὐκ οἶδε τῦφος ἠρεμεῖν· ἐγρηγόρσεως δεῖται καὶ πραότητος ἄσκησις, εἰ οὖν ταύτης ἀντιποιῇ, ἐκεῖνα καταργησον. εἰ δὲ γαςρὸς οὐ κρατεῖς, τί καὶ τὸν τῦπον καταργεῖς, καὶ τοὺς ἀθλοῦντας ἐκνευροῖς;

Ζωσίμῳ.

Εἰ βασιλεία σε οὐ προτρέπεται, οὐδὲ γέεννα πάλιν δεδίττεται, λανθάνομεν ἀτιθάσσῳ θηρίῳ ἐπᾴδοντες, ἢ ἐν ἀνθρωπείᾳ μορφῇ, πονηρῷ δαίμονι προσπαλαίοντες.

Μαρτυρίῳ.

Ὑπερηφάνοις ὁ θεὸς ἀντιτάσσεται, ἐπειδὴ καὶ τῷ ἄρχοντι αὐτῶν ἐξ ἀρχῆς ἀντετάξατο. σκόπει τοίνυν ὅσον ἐςὶ καὶ θεὸν ἔχειν ἀντίμαχον, καὶ τὸν ἀρχαῖον ἀποςάτην συμμέτοχον.

Κυρίνῳ ἡγεμόνι.

ΚΑὶ τὰ μέτρα ἑαυτῶν ἐπιστάμεθα, καὶ ἐλέγχειν τοὺς πονηροὺς προβεβλήμεθα. εἰ δὲ τὴν φράσιν φεύγεις ὧν πράττεις, παῦσαι τὴν πρᾶξιν, καὶ οὐκ ἔσται ἡ φράσις. ὃ γάρ τις ποιεῖν οὐκ αἰσχύνεται, τοῦτο μὴ ἀλυέτω καλούμενος. εἰ δὲ καὶ μόνη ἡ κλῆσις ὕβρεώς ἐστιν ἕξις, ταύτης ἡ πρᾶξις πῶς οὐκ ἂν γεννήσεται ὕβρεις;

Τοῖς ἐν Πηλουσίῳ μοναχοῖς.

ΟΥ'κ ἔστιν, ἀδελφοί, ἀσκήσεως πληροφορία, τρίβωνος καὶ ὑπήνης ἐπίδειξις. οὐκ ἔστιν ἀναχωρήσεως ἐπιθυμία, ἡ ἐν πόλεσι καὶ θορύβοις ἀνάφυρσις. οὐδεὶς τὴν χρυσοῦ αὔλακα τέμνει, τὴν ἀκανθοφόρον ἀσπαζόμενος φιλοπάθειαν. οὐ δύναται κατορθῶσαι φιλοσοφίαν, ὁ λογομαχίαις προσασχολούμενος. οὐκ ἀνέχεται καθαρθῆναι δι' ἐγκρατείας, ὁ βρωμάτων καλλονὰς ζητῶν καὶ ἁβρότητας. εἰ τοίνυν νομίμως ἐθέλομεν ἀθλεῖν, καὶ σχήματι ἀκόμπῳ, καὶ μονήρει σχολῇ, καὶ ἀπαθείας ἀρετῇ, καὶ ἡσυχίας φυλακῇ, καὶ λιτότητι τροφῆς, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισώμεθα.

Τῷ βουλευτηρίῳ.

ΕΤι κήδεται θεὸς Πηλουσίου. ἔτι σπέρμα θεοσεβείας ἐν αὐτῇ σχηματίζει. ἔτι προνοοῦσιν οἱ πολιοῦχοι μάρτυρες τῆς παλαίσης. ἥκει ὁ θαυμαστὸς Σιμπλίκιος τὰς ἡνίας τῆς ἀρχῆς μεταχειρίζων. ἄλλον ὑμᾶς διαγγελίζομαι βίον. ἄσμενοι τὸν ἄνδρα προσδέξασθε. πάσας αὐτοῦ ἐκτραγῳδήσατε δυσχερείας. ἔχει καὶ διάνοιαν σοφήν, καὶ γνώμην φιλευσεβῆ, καὶ δώσει τοῖς πόνοις μεταβολήν. ἰσχύει γὰρ ἀπὸ θεοῦ, παρ' οὗ πολλοῖς τὸ καλῶς πρᾶξαι παρέχεται.

Πέ-

Πέτρῳ ἀρχιμανδρείτῃ.

Τοὺς τῶν μοναχῶν νεοπαγεῖς οὔτε καταφορτίζειν δεῖ τῷ τοῦ κανόνος ζυγῷ, ἵνα μὴ εὐθὺς ἐν προοιμίῳ ἀπείπωσιν· οὔτε ἀδαμάστους καὶ ἀπόνους ἐᾶν, ἵνα μὴ πρὸς ῥαθυμίαν ἐμπέσωσιν, ἀλλὰ κατὰ βραχὺ προσαύξειν αὐτοῖς τὴν ἀνάβασιν, ἵνα ὡς Ἰσαὰκ προβαίνοντες μείζονες γένωνται. ὃ γὰρ ὑπερβάλλων πόνος ποιεῖ, τοῦτο καὶ πολλὴ ἀμέλεια πληροῖ, ὁ μὲν καταβάλλων, ἡ δὲ ἐκλύουσα.

Θέωνι.

Κάλλει καὶ πλούτῳ ἐπαίρῃ, ὡς ἔοικε, καὶ τοὺς ἄλλους περιφρονεῖς, οἷς ταῦτα οὐ πρόσεστιν, ἀγνοῶν, ὅτι χόρτῳ κεκόσμησαι ταχὺ μαραινομένῳ, καὶ ὡς ὕδωρ συνέχεις τὰ χρήματα, ἄλλους ἐξ ἄλλων νοτίζον, καὶ πάλιν πρὸς ἄλλους βλυστάνον. ἢ τοίνυν ὡς σκιᾷ καὶ καπνῷ, καὶ ἀνέμοις, τοῖς ἀπίστοις τούτοις πρόσεχε κτήμασιν, ἢ ἴσθι σκιᾷ καὶ καπνῷ πεποιθὼς καὶ ἀνέμοις.

Σελεύκῳ.

Ταπεινοφρόνει μᾶλλον, καὶ μὴ ταπεινολόγει, ἵνα μὴ ἐγγύθεν ἔχῃς τῶν ῥημάτων κατηγορίαν τὰ πράγματα· μᾶλλον δὲ τὰ πράγματα διὰ τῶν ῥημάτων δεικνύῃς, ἔργα τοὺς λόγους ἔχων, ἀλλὰ μὴ τοῖς ἔργοις ἀνατρέπων τοὺς λόγους.

Μαρτινιανῷ.

Κάλλιστον μὲν τὸ μὴ ἁμαρτεῖν, καὶ πρὸς θεὸν ἔχον ἐγγύτητα. καλὸν δὲ καὶ τὸν ἁμαρτόντα γνωσιμαχῆσαι, καὶ ταχέως ἐξαναστῆναι τοῦ πτώματος. ἐπειδὴ τοίνυν τοῦ προτέρου ὡς ἀδυνάτου πάντως διήμαρτες, τοῦ δευτέρου ὡς δυνατοῦ καὶ ῥᾳδίου ἐπιμελήθητι, μήποτέ σε ἡ τύραννος αἰχμαλωτεύσῃ ἀπόγνωσις.

Λεοντίῳ Ἐπισκόπῳ.

ΟΥ' χρὴ, θαυμάσιε, ἀεὶ τοῖς ἀνέμοις ὑπείκειν, ἀλλ' ἔστιν ὅτε καὶ ἀντίπρωρον ταῖς καταιγίσιν ἀνθίστασθαι, καὶ τὰς ἐμβολὰς τῶν πνευμάτων ἐκκρούεσθαι, μήποτε μεγαλυνόμεναι αἱ λαίλαπες, καὶ τῶν οἰάκων ἡμᾶς ἐκτινάξωσι, καὶ μερισμὸν τοῦ σκάφους ἐργάσωνται πολυσκέδαστον. ἀνθίστασο τοίνυν τῷ νῦν ταράσσοντι κλύδωνι, εἰ καὶ τῇ κακοτέχνῳ πραότητι, ὡς πρὸς λιμένα τὴν ἑαυτοῦ προκαλεῖται κακόνοιαν, μήποτε ὡς ἐγκρατὴς τῆς νηὸς καὶ τοῦ φόρτου σου γένηται, καὶ εἰς δύσορμον ἀκτὴν ἐξωθήσῃ σε, ἀφ' ἧς ναυάγιον οἱ ἁλόντες ὑφίστανται.

Κυρίνῳ.

ΤΙ' ὑπερηφανεύεται γῆ καὶ σποδός; τί νεανιεύεται φθορά; τί μέγα φρονεῖ καὶ ὑπεραίρεται σκιά; τί σε φυσᾷ ὄνειρος ἀρχῆς; πῶς οὐχ ὁρᾷς τοὺς καταλύοντας αἰσχρῶς; πῶς οὐ ζηλοῖς τοὺς διαπρέψαντας χρηστῶς; ἀλλὰ βραχυτελῆ ἡγεμονίαν, ὡς ἀτελεύτητον νομίζεις ἐξουσίαν· ἐφ' ᾗ ὁ τοῦ χρόνου σε κύκλος θεραπεύσει στρεφόμενος, πρὸς τέλος ὠθῶν τὴν ἀρχήν σου, καὶ τέλος ἐπιθεὶς τῷ βρασμῷ σου.

Ὠρείωνι Διακόνῳ.

ΧΡὴ τοὺς μαθητευομένους, καὶ ὡς πατέρας φιλεῖν τοὺς ὄντως διδασκάλους, καὶ ὡς ἄρχοντας δεδοικέναι, καὶ μήτε διὰ τὴν ἀγάπην ἐκλύειν τὸν φόβον, μήτε διὰ τὸν φόβον ἀμαυροῦν τὴν ἀγάπην.

Παλλαδίῳ.

ΤΟ' σῶμα, ὦ βέλτιστε, τροφῆς δεῖται οὐ τρυφῆς, ὀλιγοδείας οὐ πλησμονῆς, αὐταρκείας οὐ πολυτελείας· αἱ μὲν γὰρ

καὶ τὴν

καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα ὠφελοῦσιν, ὑγείαν καὶ ῥώμην καὶ δεξίαν τίκτουσαι. αἱ δ' ἄμφω καταβλάπτουσιν, οὐ μόνον τὴν ὑγείαν διαφθείρουσαι, ἀλλὰ καὶ νοσήματα ἀργαλεώτατα ὠδίνουσαι. ἀπόδειξις δὲ σαφὴς, τὸ τοὺς τῆς ὀλιγοδείας ἀσκητὰς τῶν τὸν ἁβροδίαιτον ἑλομένων βίον, καὶ συνετωτέρους καὶ σωφρονεστέρους καὶ ὑγιεινοτέρους εἶναι.

Ἡρακλείδῃ Ἐπισκόπῳ.

Ὁ Τῇ πείρᾳ τὴν φήμην ὑπερβαίνων, καὶ κρείττων ἀκοῆς εἰς θέαν ἐρχόμενος, οὗτος εἰκότως καὶ ἐγκωμίων κρείττων ἐστὶν, ἐλέγχων τοὺς λόγους, ὡς τῆς ἑαυτοῦ ἀξίας καταδεεστέρους. ἀλλ' ἐπειδὴ εἰ καὶ ἡττῶνται οἱ λόγοι, χρὴ τὴν γνώμην νικᾷν, τολμᾶν χρὴ, καὶ τὰ προσόντα ἐγκώμια τοῖς φιλαρέτοις λέγειν τε, καὶ γράφειν. τρία γὰρ ἐκ τούτου συμβαίνει καλά. τό, τε γνησίως ἔχειν πρὸς τὴν ἀρετὴν, οὐδεὶς γὰρ φαῦλος τοὺς σπουδαίους ἐπαινεῖν ὑπομένει. τό, τε φθόνου καθαροὺς εἶναι, μὴ κρύπτοντας τῶν ὑπὲρ ἡμᾶς τὰ πλεονεκτήματα. τό, τε τοὺς πονηροὺς ἢ καταισχύνεσθαι, ἢ σωφρονίζεσθαι, ὧν ἑκάτερον αὐτοῖς λυσιτελεῖ.

Φιλοξένῳ μαγίστρῳ.

Οὔτε χαλκῆ εἰκὼν χρυσῷ ἀπαστράπτουσα, οὔτε χρωμάτων λάμπουσα, οὐκ ὀλυμπικὸς στέφανος, οὐ πλοῦτος, οὐ κάλλος, οὐ ῥώμη, οὐκ ἀρχὴ, οὐ βασιλεία, οὐκ ἄλλο οὐδὲν τῶν δοκούντων εἶναι μεγάλων, μέγα ἐστὶ καὶ σπουδῆς ἄξιον. τῷ χρόνῳ γὰρ εἴκει, καὶ μαραίνεται, καὶ ἔργον λήθης γίνεται. μόνη δ' ἀρετὴ ἀοίδιμον καὶ ἀθάνατον ἔχει τὸ κλέος, οὔτε χρόνῳ εἴκουσα, οὔτε λήθῃ παραχωροῦσα, οὔτε μαρασμὸν ἐπισταμένη, ἀλλὰ νεαρὰν καὶ ἀκμάζουσαν καὶ ἡβῶσαν τὴν ἀξίαν ἔχουσα. ἣν παντὶ σθένει τοὺς εὖ φρονοῦντας δίκαιον κτήσασθαι.

Θεοδώρῳ σχολαστικῷ.

Ὁ Μὲν ἀδελφὸς ὦ θαυμάσιε, ὁ σὸς, διὰ τρόπων θαυμάζεται. σὺ δὲ διὰ λόγον. ἐκεῖνος δι' ὀρθότητα γνώμης. σὺ δὲ διὰ δεινότητα γλώττης· ἐκεῖνος διὰ μετριότητα ἤθους. σὺ δὲ διὰ φράσεως ὄγκον. ἐκεῖνος ὡς καρπῷ βρύων· σὺ δ' ὡς φύλλοις κομῶν. εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, ζήλου τὸν σαυτοῦ ἀδελφὸν, ἵνα κατ' ἄμφω εὐδόκιμος εἴης. οὐ γὰρ τοσοῦτον ἐκεῖνος τῶν σῶν, ὅσον σὺ τῶν ἐκείνου χρῄζεις πλεονεκτημάτων.

Τῷ αὐτῷ.

Σοφὸν τῷ λόγῳ ἔγωγε ὁρισαίμην, τὸν σαφῶς παραστῆσαι δυνάμενον τὸ νοηθὲν, οὐ τὸν ὑπερσόφοις καὶ ὑψηλαῖς λέξεσι καὶ τὰ σαφῆ ἐπισκιάζοντα. ὁ μὲν γὰρ τὸ λεληθὸς εἰς φῶς ἄγει. ὁ δὲ καὶ τὸ πᾶσι δῆλον ἐν σκότῳ κατακρύπτει. διὸ ἐκεῖνος μὲν ἅτε τῆς τῶν ἀκροατῶν ὠφελείας ἐφιέμενος, πολυύμνητος. αὐτὸς δὲ ἅτε τῆς ἰδίας δόξης ὀρεγόμενος, ἀγέραστος.

Ζωσίμῳ πρεσβυτέρῳ.

ΕΙ' οὐδὲ εἰς γῆρας βαθὺ ἐληλακὼς, παλινῳδίαν ᾄδεις, πότε μετανοήσεις; αἰδέσθητι κἂν τοὔνομα τοῦ γήρως, ὅπερ εἴρηται παρὰ τὸ γῆς ἐρᾷν. ὡς τοίνυν τοῦ σώματος, μὲν εἰς γῆν λοιπὸν ἀναλυθησομένου, τῆς δὲ ψυχῆς ἐν τῇ ἀναστάσει μετ' αὐτοῦ πικροτάτας ὑποστησομένης τιμωρίας (διψᾷ γὰρ ἡ δίκη τὰς κατὰ τῶν καταφρονησάντων αὐτῆς κολάσεις) γνωσιμάχησον. εἰ γὰρ καὶ καιρὸν οὐκ ἔχεις αὐτάρκη τὰ τοσαῦτα θεραπεῦσαι τραύματα, ἀλλ' οὖν γε οὐ μικράν σοι τοῦτο προξενήσει ἐν τοῖς δεινοῖς ἐκείνοις παραμυθίαν.

Εὐτονίῳ Διακόνῳ.

Ο'Τὴν δικαιείαν τῶν πραγμάτων προδιδοὺς, τῆς τῶν καλῶν ἐκπεσεῖται θήρας. τίς γὰρ γεωργὸν ἀποδέξοιτο, παρὸν ἀροῦν καὶ σπείρειν, ἵν' εὔσταχυν ἔχῃ τὸ λήιον, ἀργοῦντα, καὶ θυραυλοῦντα; τίς δ' ἀμπελουργὸν, ἐξὸν θεραπεύειν τὴν ἄμπελον, ἵν' εὐστάφυλον αὐτὴν ἔχῃ, καὶ τὴν λιμὸν μεθύουσαν, τοῖς ἑτέρων ἐφεδρεύοντα πόνοις; τίς δὲ πλωτῆρα, δέον εὐκαίρως πλεῖν, ἵνα τὴν ἐμπορείαν αὐξήσῃ, ἐν λιμέσι μένοντα, καὶ ἐν καπηλίοις καλινδούμενον; οὐδεὶς δήπου. εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, τίς ἀποδέξοιτο χριστιανὸν, ἐν τῷ καιρῷ τῶν ἀγώνων τοὺς στεφάνους ἐπιζητοῦντα; τὰ μὲν γὰρ τῇδε, ἀγώνων ἐστι, οὐ στεφάνων ὑπόθεσις. τὰ δὲ ἐκεῖ γερῶν καὶ τιμῶν. μὴ τοίνυν τὴν δικαιείαν τῶν πραγμάτων προδῶμεν, ἵνα μὴ ἐκεῖ ἀνόνητα μεταμεληθῶμεν.

Ζωσίμῳ πρεσβυτέρῳ.

ΠΥθόμενος, ὅτι δέον σε προσδραμεῖν τῇ μετανοίᾳ, δέον αἰτῆσαι συγγνώμην, ἐπὶ τοῖς πεπλημμελημένοις ἐπαγωνίζῃ τοῖς προτέροις, ἐπαποδύῃ τοῖς μιάσμασιν, ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύψαι φιλοτιμούμενος. εἶτα δακρύσας ἔφην πρὸς ἐμαυτὸν, ὦ Ἰσίδωρε, τί μάτην κάμνεις, κατὰ πέτρῶν σπείρων; τί ὠφελῆσαι σπεύδεις τὸν ὠφεληθῆναι μὴ βουλόμενον; τί πονεῖς, καὶ ἀγρυπνεῖς, τοῦ, δι' ὃν ἡ ἀγρυπνία γίνεται, τοῦ μὴ ποιεῖν τὰ γραφόμενα, ματαίαν αὐτὴν ἀποφαίνοντος; παῦσαι ματαιοπονῶν, καὶ Αἰθίοπα σμήχων, καὶ εἰς πῦρ ξαίνων, καὶ λίθον ἕψων; ὡς δὲ κόρον ἔλαβον ἐμαυτὸν αἰτιώμενος, χρηστὴ πάλιν ἐλπὶς ἔφυ, ἥτις καὶ ἄκοντα ἐξεβιάσατο καὶ ταῦτα πάλιν χαράξαι τὰ γράμματα. αὐτὸς τοιγαροῦν

σκοπήσας οἷ τῶν κακῶν ἐχώρησας, εἰς μετάνοιαν παλινδρομῆσαι προθυμήθητι.

Νειλάμμωνι Διακόνῳ Γαζαίῳ.

Ὅτι μὲν φιλάνθρωπός ἐστιν ὁ Θεὸς, μάλ' ἀκριβῶς οἶδα· ὅτι δὲ καὶ ἀπαιτεῖ δίκας σφοδροτάτας τοὺς τῆς φιλανθρωπίας καταφρονήσαντας, καὶ αἱ ἱεραὶ χρησμῳδοῦσι γραφαὶ, καὶ τὰ πράγματα μαρτυρεῖ· τίς γὰρ τὸν κατακλυσμὸν ἐπήγαγε; τίς τὴν Σοδομιτῶν μετὰ τῶν οἰκητόρων ἀνέτρεψε γῆν; τίς δὲ Ἱερουσαλὴμ μετῆλθε; τίς τοὺς Ἰουδαίους ᾐχμαλώτευσε, καὶ πανταχοῦ γῆς ὡς δραπέτας καὶ μαστιγίας περιήγαγε; μὴ τοίνυν τῇ φιλανθρωπίᾳ μόνῃ θαρροῦντες ἁμαρτάνωμεν, ἀλλὰ καὶ τὴν δικαιοσύνην ἐννοοῦντες γνωσιμαχῶμεν, ἵνα κἀκεῖσε ἡμῖν ὀφθῇ φιλάνθρωπος· ἡ γὰρ τῆς προαιρέσεως μετάνοια, εὔλογον παρασκευάζει τῷ κριτῇ τῆς φιλανθρωπίας τὴν ὁδόν.

Παύλῳ.

Εἰ μήτε τοῖς αἰσχροῖς ἐπιτηδεύμασι, μήτε τοῖς χρωμένοις αὐτοῖς χρῷο, λαμπράν σοι τοῦτο παρὰ πάντων εὐφημίαν θήσει. τὸ μὲν γὰρ χρῆσθαι αὐτοῖς ἀνελεύθερον. τὸ δὲ μὴ χρῆσθαι μὲν αὐτοῖς, τοῖς δὲ χρωμένοις χρῆσθαι, τὴν δόξαν λυμαίνεται. χρὴ γὰρ μήθ' ὑπονοεῖσθαι ποιεῖν, ἃ ποιεῖν αἰσχρὸν, μήτε τοῖς διαπραττομένοις αὐτὰ ἐπιτηδείοις χρῆσθαι. δεῖ γὰρ φοβεῖσθαι τὰς κατηγορίας, κἂν μὴ ἀληθεῖς ὦσιν· ἐπειδὴ πολλοὶ τὴν ἀκρίβειαν ἀγνοοῦντες, πρὸς τὴν δόξαν ἀποβλέπουσι. καὶ τοιοῦτον ἕκαστον εἶναι κρίνουσιν, οἵους ἂν τοὺς συνόντας θεάσωνται, οὐκ ἀπὸ τῶν πραγμάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν συνδιατριβόντων φέροντες τὴν ψῆφον. εἰ γὰρ ἀρετὴν, φασὶν, ἀσκεῖς, τί σοι βούλεται ἡ μετὰ τῶν κακίστων συνουσία;

Ἀπολ-

Ἀπολλωνίῳ Ἐπισκόπῳ.

Χρὴ τὸν εὐδόκιμον, καὶ φιλόθεον εἶναι καὶ φιλάνθρωπον, ἵνα μήτε διὰ τὸ ὕψος τῆς ἀρετῆς καὶ τὸ ἀνακεῖσθαι τῷ θείῳ τῶν ἀνθρώπων καταφρονοίη, μήτε διὰ τοὺς ἀνθρώπους, τοῦ θείου ἀμελοίη. ἡ γὰρ ἀγάπη ἡ πρὸς τὸ θεῖον, εἰ καὶ μείζων ἐστὶ πολλῷ τῆς πρὸς ἀνθρώπους, συμπλεκομένη, λαμπροτέρα γίνεται.

Μάρωνι.

Ἕκαστον μὲν σχεδὸν τῶν ἄλλων παθῶν καὶ ἀκμὴν ἔχει, καὶ παρακμὴν οἶδε, καὶ κόρον ἐπίσταται, καὶ εἰς τελευτὴν ἐπείγεται. ὁ δὲ δεινὸς τῆς φιλοχρηματίας ἔρως, μήτ᾽ ἔμφυτος ὢν ἀλλ᾽ ἔξωθέν ποθεν ἐπικωμάσας, παρακμὴν οὐκ οἶδε, κόρον ὑβρίζει, εὐφροσύνην οὐκ ἐπίσταται, τελευτῆς οὐκ ἀνέχεται· ἀεὶ δ᾽ ἀκμάζων, μᾶλλον δὲ τὴν ἀκμὴν ἐπιτείνων, νεανικώτερος ἑαυτοῦ, καὶ τυραννικώτερος εἶναι βιάζεται. οὐ γὰρ πρὸς τὰ ἄλλα πάθη τὴν ἅμιλλαν ποιεῖται μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτόν, καὶ ἑαυτὸν νικῆσαι φιλονεικῶν. θᾶττον γὰρ αὖτις τὰ ἀνέφικτα καταλήψεται, ἢ ἐκεῖνος κόρον λήψεται. τὴν γὰρ προσθήκην μείωσιν, οὐκ οἶδ᾽ ὅπως, καὶ ἐλάττωσιν εἶναι ἡγούμενος, πλέον ἀνακαίει τὸ πῦρ· ὅπερ καὶ τῆς σῆς τινὲς φασὶ γεγεῦσθαι ψυχῆς. σβέσον τοίνυν ἢ ταχέως τοῦτο, εἰ δὲ μή, κἀνταῦθα ἀβίωτον βιώσεις βίον, κἀκεῖσε πικρὰς ὑφέξεις εὐθύνας.

Ἀρσενουφίῳ ἀναγνώστῃ.

Τοῦ χρόνου τὸ μὲν ἀπέπτη, τὸ δὲ παρεῖναι δοκοῦν λανθάνει, τὸ δὲ μέλλον ἔτι προσδοκώμενον παρέρχεται. καθάπερ γὰρ ὕδατος σφοδρὰ ῥύμη, τὴν ἀκριβῆ αἴσθησιν ἑαυτῆς οὐ συγ-

συγχωρεῖ διαγνωσθῆναι (προαιρεῖται γὰρ τῇ ὀξύτητι τὴν κατανόησιν), οὕτω, τάχα δὲ καὶ πλέον, ἡ τοῦ χρόνου ὁρμὴ εἰς τέλος ἐπειγομένη, ῥᾳδίως μὲν διεξέρχεται, τοῖς δ' ἀνθρώποις τὸ κενὸν οὐδὲν δὲ πάγιον δείξασα, ὥσπερ ὀνείρων σκιὰς καταλιμπάνει.

Θέωνι Ἐπισκόπῳ.

ΟΥ' ταυτὸν φρόνημα, καὶ φρόνησις. τὸ μὲν γὰρ ἔπαρμα δηλοῖ, ἡ δὲ σύνεσιν. τὸ μὲν ὑπερηφανίαν, ἡ δὲ σωφροσύνην. τὸ μὲν τὸ κατὰ τῶν πέλας ἐπιφύεσθαι, ἡ δὲ τὸ μηδὲν τῶν πρεπόντων παρορᾶν καὶ τὸ μὲν τοὺς ἀπὸ ἀρετῆς κεκοσμημένους ἀποκοσμεῖ, ἡ δὲ καὶ τοὺς ἥττονας κοσμεῖ. διὸ καὶ τὸ μὲν μισεῖται, ἡ δὲ θαυμάζεται. τὸ μὲν ἀποκηρύττεται, ἡ δὲ ἀνακηρύττεται. τὴν φρόνησιν τοίνυν, τουτέστι τὸ κατὰ τῶν πλησίον ἐπιφύεσθαι, αὐτόπρεμνον ἀνασπᾶσαι πρέπει.

Ἡσαΐᾳ.

ΟΥ' χρὴ τὴν ἀνυπέρβλητον τοῦ θεοῦ μακροθυμίαν, ὑπόθεσιν ῥᾳθυμίας ποιεῖσθαι, ἵνα μὴ μείζονα συγγνώμης κατ' ἄμφω ἁμαρτάνοντες ἁλῶμεν, τοῦτό τε παραλόγως ἐρρᾳθυμηκέναι, τοῦτό τε παραλογώτερον τῆς χρηστότητος καταπεφρονηκέναι.

Θεοδοσίῳ Ἐπισκόπῳ.

ΤΟ' μὲν μὴ τὴν αὐτὴν δίκην ἐνταῦθα διδόναι τοὺς τὰ αὐτὰ δράσαντας, τὸν τῆς γενικῆς κρίσεως βεβαιοῖ λόγον. τὸ δὲ μὴ πάντας ἐκεῖσε τηρηθῆναι, τοὺς παχυτέρους καὶ ῥᾳθυμοτέρους διανίστησιν, ὡς πάντως ἐκεῖσε δώσοντας δίκην, εἰ κἂν τὰ ἐνταῦθα διαφύγοιεν. εἰ γὰρ μηδεὶς ἐκεῖσε κολασθήσεται, δι' ἣν αἰτίαν ἐνταῦθά τινες ἐτιμωρήθησαν; Τὸ δὴ τοὺς δικαίους, καὶ πάσῃ ἀρετῇ κομῶντας, πολλὰ ἐνταῦθα ὑπομεμενηκέναι δεινὰ,

τοὺς

τοὺς δὲ ἐπισθέντας αὐτοῖς ἐκεῖσε στεφάνους μηνύει. τὸ δὲ καὶ τινὰς ἐξ αὐτῶν ἐνταῦθα τετιμῆσθαι, διὰ τοὺς φιλαμαρτήμονας γεγένηται. ἵνα μὴ τὴν ἀρετὴν αἰτίαν κακῶν εἶναι νομίζοντες, φύγωσιν αὐτὴν ἐκ πολλοῦ τοῦ περιόντος.

Ἰσιδώρῳ Διακόνῳ.

ΧΡὴ τοὺς τὴν ἀνθρωπίνην εὐγένειαν φυλάξαι προῃρημένους, τὴν τῆς φύσεως ἐπισκεπτομένους ὀξύρροπον μεταβολὴν, καὶ τῆς χαρᾶς τὴν ἀμετρίαν κολάζειν, καὶ μήτε λύπῃ σφοδρᾷ ἑαυτοὺς ἐκδιδόναι, μήτε χαρᾷ. ἡ μὲν γὰρ, εἰ μὴ κερασθείη λογισμῷ, καὶ χαλινωθείη φρονήσει, εἰς θάνατον παιδαγωγεῖ. ἡ δὲ, εἰ μὴ παραδοθείη ταῖς ἡνίαις τῆς προσδοκωμένης μεταβολῆς, ἐκτραχηλίσει, καὶ τοῦ πρέποντος ἐκπεσεῖν παρασκευάσει.

Ἀσκληπιῷ Ἐπισκόπῳ.

ΗΥ᾿περκόσμιος λῆξις, ἡ τῶν ἀγαθῶν πάντων καταῤῥυτος, καὶ τοῖς λυπηροῖς ἅπασιν ἄβατος, ἡ ἀθυμίας ἄγονος, καὶ θυμηδίας ἁπάσης μήτηρ, ἡ γλῶτταν καὶ ἀκοὴν, καὶ νοῦν ὑπερβαίνουσα, τοῖς νομίμως τὸν παρόντα βίον διαθλήσασι δηλονότι εὐτρεπισθεῖσα, οὐδ᾿ αἴσθησιν συγχωρεῖ τῶν τῆδε λυπηρῶν ἔχειν. ὅθεν ὁ κορυφαῖος αὐτῶν ἐβόα, οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. εἰ γὰρ νικᾷ ἐκ πολλοῦ τοῦ περιόντος τοὺς πόνους τῇ τῶν ἀμοιβῶν ἀντιδόσει ὁ ἀγωνοθέτης, καὶ τοσαύτην ἐνίησιν εὐφροσύνην, ὅσην τοὺς τὸν οὐράνιον κλῆρον νεμομένους ἔχειν εἰκὸς, οὐ θαυμαστὸν εἰ ἐν οὐδενὶ αὐτοὶ τίθενται τὰ ἐν κόσμῳ ἀνιαρά.

Εὐςαθίῳ πρεσβυτέρῳ.

ΧΡὴ τὴν μὲν ἔχθραν εἰς ὕδωρ γράφειν, ἵνα ταχέως ἀφανίζηται. τὴν δὲ φιλίαν εἰς χαλκὸν, ἵνα διὰ παντὸς βεβαία καὶ ἀκίνητος διατηρῆται. εἰ δ' οὖν φῄς πρὸς σὲ διαφέρεσθαι, τοὐναντίον ποιεῖ, τοῦτό σε μὴ ταραττέτω, ὡς εἰς τοὺς στεφάνους παραβλαβησόμενον. οὐ γὰρ μὴ μισεῖσθαι, (τοῦτο γὰρ οὐκ ἐφ' ἡμῖν, ἴσως δὲ καὶ ἀμήχανον. παντὶ γὰρ τρόπῳ οἱ ἄριστοι παρὰ τῶν φαύλων μισοῦνται. διὸ καὶ οἱ ἅγιοι αὐτὸ ὑπέστησαν) ἀλλὰ μὴ μισεῖν ἀνθρώπους, τὴν δὲ ἐν αὐτοῖς κακίαν προσετάχθημεν.

Παμπρετίῳ Διακόνῳ.

ΣΥ'μβολόν ἐστιν, ὦ θαυμάσιε, μέγιστον τοῦ πεπεῖσθαι τὸν ἀκούσαντα, ὁ τῶν λεχθέντων ἔπαινος. οὐ γάρ ἐστιν ἅ τις οἴεται καλῶς ἔχειν, τούτοις φάσκειν μὴ πεπεῖσθαι. ὥσπερ γὰρ ὅσα κακίζομεν ἀποφεύγειν σπουδάζομεν, εἰ σωφρονοῦμεν. οὕτως ἃ θαυμάζομεν, πάντως αἱρούμεθα. τοῦ χάριν δὴ ταῦτα λέγω, ἴσως οὐκ ἀγνοεῖς, ὀφείλων ἣν ἐπῄνεσας συμβουλὴν εἰς πέρας ἀγαγεῖν.

Εὐλογίῳ.

Ο'Λίγα εἰπὼν, ὃ βούλομαι φράσω. Βοιωτούς τις εἰς ἀπαιδευσίαν σκώπτων ἔφη, ὦ Βοιωτοὶ, ὡς σφόδρα ἐστὲ Βοιωτοί. δίκαιος δέ τις ἀνὴρ ἀδίκῳ πράγματι παρακαλούμενος, ὑπὸ Μιλησίων συμπρᾶξαι ἔφη, ὦ Μιλήσιοι, ὡς σφόδρα ἐστὲ Μιλήσιοι. Α'λέξανδρος δὲ ἐρωτηθεὶς, διὰ τί λίαν τιμᾷ Α'ντίπατρον, ἔφη, ὅτι ἀντὶ πατρός μοι ἐστίν. ἐγὼ δὲ φράσω. ὦ Εὐλόγιε, ὡς σφόδρα εἶ εὐλόγιος, ἐπαινεῖν ἐμὲ καὶ τοὺς κατ' ἐμὲ προῃρημένος.

Ἰσιδώρῳ Διακόνῳ.

Οὐ πλοῦτος, οὐ ῥώμη, οὐκ εὐγλωττία, οὐ λαμπρὸν ἢ ὑπέρλαμπρον ἀξίωμα, οὐχ ὁ τῶν ὑπάρχων θρόνος, οὐχ ἁλουργὶς, καὶ διάδημα σεμνύνειν τοὺς ἔχοντας πέφυκεν, ὡς ἀρετὴ καὶ φιλοσοφία. τίνος οὖν ἕνεκεν οἱ πολλοὶ τῶν ἀνθρώπων περὶ μὲν ἐκεῖνα ἐπτόηνται, τούτων δὲ ἧττον φροντίζουσιν; ἐπειδὴ οἱ μὲν τὰ δοκοῦντα πρὸ τῶν ὄντων θηρεύουσιν, οἱ δὲ τὸ αὐτίκα μάλα τοῦ μικρὸν ὕστερον συνοίσοντος προτιμῶσιν. οἱ δὲ τὴν κρίσιν τῶν πραγμάτων διεφθαρμένην ἔχουσιν. οἱ δὲ οὐδ᾽ εἶναί τι μετὰ τόνδε τὸν βίον νομίζουσιν· ὡς οἵγε φιλάρετοι, καὶ αὐτὴν καθ᾽ ἑαυτὴν τὴν ἀρετὴν τιμῶσι, καὶ τοὺς μέλλοντας στεφάνους ὀνειροπολοῦντες μετίασιν αὐτήν.

Εὐτονίῳ Διακόνῳ.

Ἐχθροὺς μὲν μὴ ἔχειν τοὺς φιλαρέτους, οἶμαι, ἀδύνατον. δυνατὸν δὲ τὴν ἔχθραν καλῶς μεταχειρίσασθαι. εἰ μὲν γὰρ οὐ πταίουσι φιλοσοφοῦντες, ἑαυτοὺς μὲν ὠφελοῦσιν, ἐκείνους δὲ ἀμύνονται. εἰ δὲ πταίουσιν, ὠφελοῦνται παρὰ τῶν ἐχθρῶν. πολλάκις γὰρ προσπεσοῦσα λοιδορία, νόσον ψυχῆς ἢ ἀγνοουμένην, ἢ ἀμελουμένην ἐθεράπευσε. δεῖ γὰρ τοῖς εὐδοκίμοις, ἢ γνησίων φίλων, ἢ διαπύρων ἐχθρῶν· οἱ μὲν γὰρ νουθετοῦντες, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι τῶν πταισμάτων. ἐπειδὴ δὲ νῦν ἡ φιλία ἰσχνόφωνος, μᾶλλον δ᾽ ἄφωνός ἐστι τοῦ παῤῥησιάζεσθαι· καὶ τὸ μὲν στωμύλον αὐτῆς καὶ θωπευτικὸν λάλον ἐστὶ καὶ γεγωνόφωνον, τὸ δὲ νουθετοῦν καὶ ἐπιπλῆττον ἄφωνον, καὶ ἀκουστέον παρὰ τῶν ἐχθρῶν τὴν ἀλήθειαν, καὶ διορθωτέον.

Μαρτινιανῷ Πρεσβυτέρῳ.

ΜΗ ζήτει πλοῦτον, ὦ βέλτιστε, τὸν τῆς ὑπερηφανίας πατέρα, τὸν τῆς ὑπεροψίας γεννήτορα, τὸν τῶν ἡδονῶν χορηγὸν, τὸν πάσης κακίας δημιουργὸν, τὸν τῆς πρὸς θεὸν φιλίας ἀποσυλῶντα τὸν ἄνθρωπον· ἀλλ' ἀρετὴν, τὴν πάντων τῶν κακῶν ἀπαλλάττουσαν. εἰ δὲ ἱδρῶτας ἔχει καὶ πόνους, μὴ διὰ τοῦτο αὐτὴν ἀποφύγῃς, ἀλλὰ διὰ τοῦτο μάλιστα περίπτυξαι, λογιζόμενος ὅτι καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων τὸ μετὰ πόνων καὶ ἱδρώτων κτηθὲν, κἂν μικρὸν τυγχάνῃ, ποθεινότερόν ἐστι. τὸ δ' αὐτομάτως προσπεσὸν, εὐκαταφρόνητον, κἂν ὑπάρχῃ μέγα.

Παύλῳ κόμητι ... Σιβουινῷ.

ΠΑλαιὸς λόγος διαγορεύει, καὶ θεσμὸς εὖ ἔχειν ἅπασιν ἀνθρώποις δόξας, μὴ ἐπεμβαίνειν τοῖς πεπτωκόσι, μηδὲ κατασφάττειν τοὺς κειμένους, ἀλλ' αἰδεῖσθαι ὡς ἱκέτας, καὶ χεῖρα ὀρέγειν τοῖς ἑαλωκόσιν· ἀκούω δὲ ὅτι τὰ θηρία, οἷς μέτεστι φρονήματος, τὸ μὲν ἀνθεστηκὸς ἀμύνεται, τὸ δὲ ἀπειρηκὸς αἰδεῖται. εἰ τοίνυν καὶ παρὰ ἀνθρώποις, καὶ παρὰ θηρσὶν εἰσὶν ἔχθρας καὶ πολέμου ὅροι, οὓς οὐ χρὴ ὑπερβαίνειν. μηδὲ αὐτὸς ὀργίζου τοῖς ἡττημένοις, μηδὲ τοῖς χαμαὶ κειμένοις, ὡς ἀντιπάλοις ἔγκεισο.

Παύλῳ πρεσβυτέρῳ.

ΤΩ ἱερωμένῳ πλοῦτος μὲν ὁ τῆς ἀρετῆς κόσμος, ἡδονὴ δὲ ἡ σωφροσύνη, τρυφὴ δὲ ἡ αὐτάρκεια, εὐφροσύνη δὲ ἡ τῶν ὑπηκόων πρὸς ἀρετὴν ἐπίδοσις. εἰ δέ τις τἀναντία τούτων ἐπιτηδεύων ἱερωσύνης ὀνόματι ἐναβρύνεται, οὗτος ἀνίερος τυγχάνει, καὶ τῆς ἀρχῆς ἀνάξιος.

Ἱερα-

Ἱέρακι λαμπροτάτῳ.

ΟΥ' χαλκῆ εἰκὼν χρυσῷ ἀπαστράπτουσα τῆς σῆς πράξεως ἀξία, ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα. τὴν μὲν γὰρ ὁ χρόνος ἀφανίζει. τὴν δὲ αἰῶνες στεφανοῦσι, τελευτὴν μὴ ἐπιστάμενοι.

Ἑρμογένει Ἐπισκόπῳ.

Ὥσπερ λόγος ἄπρακτος ἀτελὴς, οὕτω καὶ πρᾶξις ἄλογος. ἐκ τούτων γὰρ ἀμφοῖν (εἰ καὶ μὴ βούλοιντο οἱ τὴν ἐλλόγιμον σοφίαν, φαῦλόν τι καὶ πεπατημένον πρᾶγμα παραλόγως οἰόμενοι) ὁ ὀρθὸς καὶ λαμπρὸς χαρακτηρίζεται τοῦ ὑφηγητοῦ βίος. ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. εἰ δὲ χρὴ σύγκρισιν ἀμφοῖν ποιήσασθαι, ἄμεινον πράττειν μὴ λέγοντα, ἢ λέγειν μὴ πράττοντα.

Ἀρχοντίῳ πρεσβυτέρῳ.

Η' μὲν ἀρετὴ καὶ τὴν εὐημερίαν καὶ τὴν δυσημερίαν κοσμεῖν εἴωθεν. ἡ δὲ παίδευσις, τῆς μὲν δοκεῖ κόσμος εἶναι, τῆς δὲ ὅρμος. εἰ μὲν οὖν ἄμφω ἔχειν δυνατὸν, εὖ ἂν ἔχοι. εἰ δὲ θάτερον λείπεται, ἄμεινον ἑλέσθαι τὴν ἀρετήν. τὸ γὰρ εἶναι τοῦ δοκεῖν ἄριστον, παρ' ἐμοὶ κριτῇ προτιμότερον.

Λαμπετίῳ Διακόνῳ.

ΕΙ' καὶ ὑπερβολικῶς νομίσουσί τινες εἰρῆσθαι τὸ ῥηθησόμενον (οἶδα γὰρ πολλοὺς ἀγεννῶς καὶ ἀνάνδρως διακειμένους) ἐγὼ τὴν ἐμαυτοῦ γνώμην φράσω. ἡγοῦμαι γὰρ, εἶναί τινας τοὺς ἀποδεξομένους. εἰ δὲ καὶ μηδεὶς ἀποδέξοιτο, ἡ ἀλήθεια προκείσθω. τί οὖν ἐστὶν ὃ βούλομαι φράσαι; συντόμως λεκτέον Ἥδιστα ἂν πάντας εὐεργετήσας, ὡς πάντας ἀδικήσας, δοίην δίκην,

κλην, ἢ ἀδικήσας τινὰ, ὡς πάντας εὐεργετήσας, στεφανωθείην καὶ ἀναρρηθείην.

Διογένει πρεσβυτέρῳ.

ΗΓοῦμαι ὅτι ἕκαστος ἐξ ὧν πράττει, καὶ τῶν μελλόντων ἀποφαίνεται. οὐδεὶς γοῦν τῶν ὀρθῶς καὶ σεμνῶς βεβιωκότων, καὶ πολιτείαν ἀρίστην ἐπιδειξαμένων, ἀπιστεῖ τῇ κρίσει. οἱ δὲ ῥάθυμοι, τῷ πονηρῷ ἀγχόμενοι συνειδότι, οὔτε κρίσιν, οὔτε ἀντίδοσιν εἶναι ἐθέλοντες, ὃ βούλονται, καὶ δογματίζουσιν, οὐ τὴν ἀλήθειαν σκοποῦντες, ἀλλὰ τὴν ἰδίαν βούλησιν κυροῦντες. ἐπεὶ τοίνυν τὴν κρίσιν καὶ ποιητῶν καὶ ῥητόρων καὶ συγγραφέων καὶ φιλοσόφων οἱ ἐνδοξότατοι κηρύττουσιν (ἡ γὰρ μερικῶς ἐνταῦτα γινομένη, τὴν γενικὴν ἐγγυᾶται) μηδεὶς ἀκρίτως τῇ κρίσει ἀπιστείτω· ἀλλ᾽ ἀρετὴν μὲν ἀσκῶν, στεφάνους· κακίαν δὲ διαπραττόμενος, κολάσεις προσδοκάτω.

Εὐσταθίῳ Διακόνῳ.


ΠΑνυ θαυμάζω, ὅπως νόσημα τυραννικὸν καὶ ἀνήμερον, ἡδονῆς μὲν ἄμοιρον, κόλασιν δὲ ὠδῖνον, κεκράτηκε μὲν πάσης ἡλικίας, ἐχειρώσατο δὲ πᾶσαν ἀξίαν, ἐλυμήνατο δὲ πᾶσαν εὐκοσμίαν. ἕκαστος γὰρ τὰ ἑαυτοῦ πταίσματα παρεὶς μέγιστα ὄντα, καὶ συγγνώμης πολλάκις μείζονα, τὰ τῶν πέλας ἐλάττονα ὄντα, πολλάκις δὲ καὶ συγγνώμης ἄξια, πολυπραγμονεῖ· καὶ λυπεῖται μὲν περὶ τῶν οἰκείων λογιζόμενος, ἀγάλλεται δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενος· καὶ εἰς τὸ τὰ τῶν ἄλλων πολυπραγμονεῖν καὶ καταδικάζειν δαπανᾷ τὸν οἰκεῖον χρόνον, καὶ ἑαυτῷ μὲν καὶ τὰς οὐκ οὔσας ἀπολογίας πορίζεται, τῶν δὲ πλησίον πικρὸς καὶ ἀπαραίτητος κάθηται δικαστής, κἂν δοκοῖεν ἀπολογίαις εὐλόγοις πλουτεῖν. χρὴ τοίνυν τοὺς βουλο-

μένους

μένους θεραπείαν τῷ τοιούτῳ ἐπινοῆσαι νοσήματι, στρέφειν τὸ τῆς ψυχῆς ὄμμα ἀπὸ τῶν ἀλλοτρίων ἐπὶ τὰ οἰκεῖα πλημμελήματα, καὶ τὴν γλῶτταν ἐθίζειν μὴ κατὰ τῶν πέλας, ἀλλὰ καθ' ἑαυτῆς κατηγορικῶς λέγειν. τοῦτο μὲν γὰρ δικαιοσύνην ὠδίνει. λέγε γὰρ σὺ τὰς ἁμαρτίας σου πρῶτον, ἵνα δικαιωθῇς. ἐκεῖνο δὲ μείζονα κατάκρισιν τίκτει. δεινὸν γάρ, καὶ πάσης ἀτοπίας ἐπέκεινα, τοὺς μεγάλα πταίοντας, τοῖς οὐδὲν ἢ μικρὰ πλημμελοῦσιν ἐπιτιμᾶν.

Ζωσίμῳ πρεσβυτέρῳ.

ἈΝὴρ ἐλλόγιος καὶ ὀρθὸς μὲν τὸν τρόπον, λαμπρὸς δὲ τὸν βίον (τὸ γὰρ καὶ ἀξιώματι αὐτὸν λαμπρῷ κεκοσμῆσθαι παρήσω, σκιὰ γὰρ τοῦτο καὶ ὄναρ) ἐντυχὼν ἡμῖν ἀπήγγειλεν, ὡς προσῆλθε μὲν τῷ σεπτῷ θυσιαστηρίῳ τῶν θείων μυστηρίων μεταληψόμενος. θεασάμενος δέ σε αὐτῷ παρεστῶτα, ἄνθρωπον πρεσβύτην μὲν τὴν ἡλικίαν, πρεσβύτερον δὲ τὴν ἀξίαν, ἀκμάζοντα δὲ τῇ λαγνείᾳ, καὶ πάντας τοὺς ἐπ' ἀσελγείᾳ βεβοημένους ὑπερακοντίσαντα, εἰς τοὐπίσω κεχώρηκε, μὴ ἀξιώσας τὰ ἱερὰ μυστήρια διὰ μιαρᾶς χειρὸς δέξασθαι. ἐγὼ δ' ὅπως μὲν ἐπλήγην τὴν ψυχὴν ταῦτα ἀκούσας, παρήσω· ἀλλ' ἐκεῖνον κατακράτος ἐμεμψάμην, λέξω. οὐδὲν, ἔφην, ὦ σοφώτατε, παραβλάπτεται ὁ δεχόμενος, εἰ καὶ ὁ διδοὺς ἀνάξιος εἶναι δοκοίη, οὐδὲ τὰ ἄχραντα χραίνεται μυστήρια, εἰ ὁ ἱερεὺς πάντας ἀνθρώπους εἰς κακίαν παρελάσειεν. εἰ δ' ἀπιστεῖς, σύνες τὸν κόρακα, τὸ ἀκάθαρτον καὶ μισότεκνον ζῶον, δι' οὗ ὁ οὐρανοδρόμος καὶ οὐρανοπολίτης Ἠλίας ἐτρέφετο. καὶ ἄλλα δὲ πολλὰ ἔφην, ἅπερ γράψαι σοι δυεῖν ἕνεκεν παρῃτησάμην, τοῦτε μὴ μῆκος περιττὸν τῇ ἐπιστολῇ προσθεῖναι, τοῦτε μὴ δόξαι λίαν τὰ σὰ ἐκτραγῳδεῖν κακά. ὥσπερ τοίνυν ἐκείνῳ ἐμεμψάμην, οὕτω καὶ σοὶ παραινῶ, ἢ μεταγνῶναι, ἢ ἀποστῆναι τοῦ σεπτοῦ θυσιαστηρίου, ἵνα μὴ τοὺς προσιέναι αὐτῷ προῃρημένους, διὰ τῶν σαυτοῦ πράξεων ἀπελαύνῃς.



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΜΕΓΑ´ΛΟΥ ΒΑΣΙΛΕΙ´ΟΥ.

Βασίλειος Λιβανίῳ.

Ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης· υἱὸς ἐμὸς καὶ αὐτός. πάντας δὲ ἡμῖν εἰσποιεῖ τὸ σχῆμα τοῦτο, ἐν ᾧ νῦν ἐσμεν. ὥστε κατά γε τοῦτο ἀδελφὸς ἂν εἴη τοῦ προλαβόντος, καὶ τῆς αὐτῆς σπουδῆς ἄξιος, ἐμοί τε τῷ πατρὶ καὶ σοὶ τῷ διδασκάλῳ, εἴπερ τι πλέον ἔχειν δυνατὸν τοὺς παρ' ἡμῶν ἐρχομένους. τοῦτο δὲ λέγω, οὐχ ὡς οὐκ ἂν τῆς σῆς λογιότητος πλέον τὶ τοῖς παλαιοῖς τῶν ἑταίρων χαριζομένης, ἀλλ' ὡς ἀφθόνου πᾶσι τῆς ὠφελείας σου προκειμένης. ἀρκοῦν δ' ἂν εἴη τῷ νεανίσκῳ πρὸ τῆς ἐκ τοῦ χρόνου πείρας, ἐν τοῖς οἰκείοις τετάχθαι. ὃν ἀποπέμψαιο ἡμῖν ἄξιον τῶν τε ἡμετέρων εὐχῶν καὶ τῆς σαυτοῦ δόξης, ἣν ἔχεις ἐν τοῖς λόγοις. ἐπάγεται δὲ καὶ ἡλικιώτην τὴν ἴσην ἔχοντα περὶ τοὺς λόγους σπουδὴν, εὐπατρίδην καὶ αὐτὸν, καὶ ἡμῖν οἰκεῖον. ὃν οὐδὲν ἔλαττον ἕξειν πιστεύομεν, κἂν πλεῖστον τῶν ἄλλων τοῖς χρήμασιν ἀπολείποιτο.

Λιβάνιος Βασιλείῳ.

Οἶδα ὅτι τοῦτο πολλάκις γράψεις· τὸ, ἰδού σοι καὶ ἕτερος ἥκει Καππαδόκης. πολλοὺς γὰρ οἶμαι πέμψεις, ἀεὶ μὲν καὶ πανταχοῦ τοῖς κατ' ἐμοῦ χρώμενος ἐγκωμίοις, τούτῳ αὐτῷ καὶ πατέρας κινῶν καὶ παῖδας. ἀλλ' ὅ γε ἐγένετο περὶ τὴν ἐπιστολήν σου τὴν καλὴν, οὐ καλὸν σιωπῆσαι. παρεκάθηντό μοι τῶν ἐν ἀρχῇ γεγενημένων ἄλλοι τε οὐκ ὀλίγοι, καὶ ὁ πάντα ἄριστος Ἀλύπιος Ἱεροκλέους ἀνεψιὸς ἐκείνου. ὡς οὖν ἔδοσαν οἱ φέροντες τὴν ἐπιστολὴν, σιγῇ διὰ πάσης ἐλθὼν, νενικήμεθα, ἔφην, μειδιῶν τε ἅμα καὶ χαίρων· καὶ τίνα σὺ νενίκησαι νί-

κλὴν ἤροντο; καὶ πῶς οὐκ ἀλγεῖς νενικημένος; ἐν κάλλει μὲν ἐφὴν ἐπιστολῶν νενίκημαι, Βασίλειος δὲ κεκράτηκε. φίλος δὲ ὁ ἀνὴρ, καὶ διὰ τοῦτο εὐφραίνομαι. ταῦτα εἰπόντος ἐμοῦ, παρ' αὐτῶν μαθεῖν ἠβουλήθησαν τῶν γραμμάτων τὴν νίκην. καὶ ἀνεγίνωσκε μὲν ὁ Ἀλύπιος. ἤκουον δὲ οἱ παρόντες. ψῆφος δὲ ἠνέχθη μηδὲν με ἐψεῦσθαι. καὶ τὰ γράμματα ἔχων ὁ ἀναγνοὺς ἐξήει, δείξων οἶμαι καὶ ἄλλοις· καὶ μόλις ἀπέδωκε. γράφε τοίνυν παραπλήσια καὶ νίκα. τοῦτο γάρ ἐστιν ἐμὲ νικᾶν. καλῶς δὲ κἀκεῖνο εἰκάζεις, ὡς οὐ χρήμασι μετρεῖται τὰ παρ' ἡμῶν. ἀλλ' ἀρκεῖ τῷ μὴ δυναμένῳ δοῦναι, τὸ βουληθῆναι λαβεῖν. κἂν γὰρ αἴσθωμαί τινα ἐν πενίᾳ λόγων ἐρῶντα, πρὸ τῶν πλουτούντων οὗτος. καίτοι οὐ τοιούτων πεπειράμεθα διδασκάλων· ἀλλ' οὐδὲν κωλύει ταύτῃ γε εἶναι βελτίονας. μηδεὶς οὖν πένης δεῦρο ὀκνείτω βαδίζειν, εἰ ἓν ἐκεῖνο κέκτηται μόνον, τὸ ἐπίστασθαι πονεῖν.

Βασίλειος Λιβανίῳ.

ΤΙ οὐκ ἂν εἴποι σοφιστὴς ἀνὴρ καὶ σοφιστὴς τοιοῦτος; ᾧ γε ἴδιον εἶναι τῆς τέχνης ὡμολόγηται, καὶ τὰ μεγάλα μικρὰ ποιεῖν ὁπότε βούλεται, καὶ τοῖς μικροῖς περιτιθέναι μέγεθος· ὁποῖον δὴ σὺ καὶ περὶ ἡμᾶς ἐπεδείξω. τὴν γὰρ ἐπιστολὴν ἐκείνην τὴν ῥυπῶσαν, ὡς ἂν ὑμεῖς οἱ περὶ τοὺς λόγους τρυφῶντες εἴποιτε, οὐδὲν οὖσαν τῆς ἐν ταῖς χερσί σου ταύτης ἀνεκτοτέραν, τοσοῦτον ἦρας τῷ λόγῳ, ὡς ἡττηθῆναι δῆθεν αὐτῆς, καὶ ἡμῖν τῶν πρωτείων τοῦ γράφειν παραχωρεῖν· ὅμοιον ποιῶν ταῖς τῶν πατέρων παιδιαῖς, ὅταν ταῖς παρ' ἑαυτῶν νίκαις παραχωρῶσι τοῖς παισὶν ἐναβρυνέσθαι, οὔτε αὐτοὺς τι ζημιοῦντες, καὶ τῶν παίδων τρέφοντες τὸ φιλότιμον. τῷ ὄντι δὲ καὶ ἀμύθητον ὅσην ἡδονὴν εἶχεν ὁ λόγος ἐν τῇ πρὸς ἡμᾶς παιδιᾷ, οἷον Πολυδάμαντός τινος ἢ Μίλωνος, παγκρατίου ἢ πάλης ἀγωνίαν παραιτουμένου τὴν πρὸς ἐμὲ αὐτόν. πολλὰ γὰρ περισκεψάμενος, οὐδὲν εὗρον ἀσθενείας ὑπόδειγμα. ὥστε τοὺς τὰς ὑπερβολὰς τῶν λόγων ἐπιζητοῦντας, ἐνταῦθά σε μᾶλλον ἄγασθαι τῆς δυνάμεως, ἤτοι

δυνηθέντα ταῖς παιδικαῖς πρὸς ἡμᾶς καταβιῶναι, ἢ εἰ τὸν βάρβαρον ἡγεῖς ὑπὲρ τὸν Ἄθω πλέοντα. ἀλλ᾽ ἡμεῖς μὲν ὦ θαυμάσιε, Μωσεῖ καὶ Ἡλίᾳ καὶ τοῖς οὕτω μακαρίοις ἀνδράσι συνέσμεν, ἐκ τῆς βαρβάρου φωνῆς διαλεγομένοις ἡμῖν τὰ ἑαυτῶν, καὶ τὰ παρ᾽ ἐκείνων φθεγγόμεθα, νοῦν μὲν ἀληθῆ, λέξιν δὲ ἀμαθῆ, ὡς αὐτὰ ταῦτα δηλοῖ. εἰ γάρ τι καὶ ἦμεν παρ᾽ ὑμῶν διδαχθέντες, ὑπὸ τοῦ χρόνου ἐπελαθόμεθα. αὐτὸς δὲ ἐπίστελλε ἡμῖν, ἄλλας ὑποθέσεις ἐπιστολῶν ποιούμενος. αἳ καὶ σὲ δείξουσι, καὶ ἡμᾶς οὐκ ἐλέγξουσι. τὸν υἱὸν Ἀνύσιον ἤδη σοι προσήγαγον ὡς ἐμαυτοῦ υἱόν. εἰ δὲ ἐμός ἐστι παῖς, τοῦ πατρός ἐστι τὸ παιδίον, πένης ἐκ πένητος. γνώριμον δὲ τὸ λεγόμενον ἀνδρὶ σοφῷ τε καὶ σοφιστῇ.

Λιβάνιος Βασιλείῳ.

ΕἸ πάνυ πολλὴν χρόνον ἐσκόπεις, πῶς ἂν ἄριστα συνείποις τοῖς περὶ τῶν σῶν γραμμάτων ἡμετέροις γράμμασιν, οὐκ ἂν ἄμεινον τοῦτο ποιῆσαι ἐδόκεις, ἢ τοιαῦτα γράφων, ὁποῖα νῦν ἔγραψας. καλεῖς μὲν γάρ με σοφιστήν. τοῦ δὲ τοιούτου εἶναι φῄς, τὸ δύνασθαι τὰ μικρὰ μεγάλα ποιεῖν, καὶ τὰ μεγάλα μικρά. καὶ δὴ τὴν ἐμὴν ἐπιστολὴν βεβουλῆσθαι φῂς δεῖξαι τὴν σὴν καλὴν οὐκ οὖσαν, καλήν εἶναί τε οὐ τὴν ἧς νῦν ἔπεμψας βελτίω· ὅλως τε οὐδεμίαν εἶναι παρὰ σοὶ λόγων δύναμιν, τῶν μὲν νῦν ὄντων ἐν χερσὶ βιβλίων τοῦτο οὐ ποιούντων, ὧν δὲ εἶχες πρότερον λόγων ἐξερρυηκότων. καὶ ταῦτα πείθειν ἐπιχειρῶν, οὕτω καλὴν καὶ ταύτην, ἣν λέγεις κακῶς, εἰργάσω τὴν ἐπιστολήν, ὥσθ᾽ οἱ παρόντες ἡμῖν οὐκ εἶχον μὴ πηδᾶν ἀναγινωσκομένης. ἐθαύμασα οὖν ὅτι ταύτῃ τὴν προτέραν καθελεῖν ἐπιχειρήσας, τῷ φάναι ταύτῃ τὴν προτέραν ἐοικέναι, ταύτῃ τὴν προτέραν ἐκόσμησας. χρῆν δὲ ἄρα τὸν τοῦτο βουλόμενον, χείρονα ποιῆσαι ταύτην ἐπὶ διαβολῇ τῆς πρόσθεν. ἀλλ᾽ οὐκ ἦν οἶμαι σόν, ἀδικῆσαι τὴν ἀλήθειαν. ἠδίκητο δ᾽ ἄν, γράφοντος ἐξεπίτηδες φαυλότερα καὶ οὐ χρωμένου τοῖς οὖσι. τοῦ αὐτοῦ τοίνυν ἂν εἴη τὸ μήτε ψέγειν ἄδικον ἐπαινεῖν, ἵνα μή σε τὸ πρᾶγμα φέρον

ρου εἰς σοφιστὰς ἐμβάλῃ, π... ρώμενον ταπεινὰ τὰ μεγάλα ποιεῖν. βιβλίων μὲν οὖν ὧν φὴς εἶναι χείρω μὲν τὴν λέξιν, ἀμείνω δὲ τὴν διάνοιαν, ἔχω, καὶ οὐδεὶς κωλύει. τῶν δὲ ἡμετέρων μὲν ἀεὶ, σῶν δὲ πρότερον, αἱ ῥίζαι μένουσί τε, καὶ μενοῦσιν ἕως ἂν ᾖς. καὶ οὐδεὶς μήποτε αὐτὰς ἐκτέμοι χρόνος, οὐδ' ἂν ἥκιστα ἄρδοις.

Λιβάνιος Βασιλείῳ.

ΟΥ"πω μοι τῆς λύπης ὑφῆκας, ὥστε μεταξὺ γράφοντα τοῦ ἐμοῦ. ἀλλ' εἰ μὲν ὑφῆκας, τί οὐκ ἐπιστέλλεις ὦ ἄριστε; εἰ δὲ κατέχεις ἔτι, ὃ πάσης λογίας ψυχῆς καὶ τῆς σῆς ἀλλότριον, πῶς ἄλλοις κηρύττων μέχρι δυσμῶν ἡλίου μὴ χρῆναι φυλάττειν λύπην, ἐν πολλοῖς ἡλίοις ἐφύλαξας; ἢ τάχα ζημιῶσαί με προείλου; καὶ τιμωρεῖσθαί με βούλει, τῆς μελιχρᾶς σου φωνῆς ἀποστερῶν; μὴ σύ γε ὦ γενναῖε. ἀλλὰ γενοῦ πρᾶος, καὶ δὸς ἀπολαύειν τῆς παγχρύσου σου γλώττης.

Βασίλειος Λιβανίῳ.

ΟΙ πρὸς τὸ ῥόδον ἔχοντες, ὡς τοὺς φιλοκάλους εἰκὸς, οὐδὲ πρὸς αὐτὰς τὰς ἀκάνθας, ὧν τὸ ἄνθος ἐκφύεται, δυσχεραίνουσι, καί τινος ἤκουσα τοιοῦτόν τι περὶ αὐτῶν παίζοντος τάχα, ἢ καὶ σπουδάζοντος. ὅτι καθάπερ ἐρωτικά τινα κνίσματα τοῖς ἐρασταῖς, τὰς λεπτὰς ἐκείνας ἀκάνθας ἡ φύσις τῷ ἄνθει προσέφυσε, πρὸς μείζονα πόθον τοῖς ἀπλήκτοις κέντροις τοὺς δρεπομένους ὑπερεθίζουσα. τί μοι δὴ βούλεται τοῖς γράμμασι τὸ ῥόδον ἐπεισαγόμενον; πάντως οὐδέν σε χρὴ διδαχθῆναι, τῆς ἐπιστολῆς μεμνημένον τῆς σῆς. ἣ τὸ μὲν ἄνθος εἶχε τοῦ ῥόδου, ὅλον ἡμῖν τὸ ἔαρ τῆς εὐγλωττίας ἐξαπετάσασα. μέμψεσι δέ τισι καὶ ἐγκλήμασι καθ' ἡμῶν ἐξηκάνθωτο. ἀλλ' ἐμοὶ τῶν σῶν λόγων καθ' ἡδονὴν ἐστὶ καὶ ἡ ἄκανθα, πρὸς μείζονα πόθον τῆς φιλίας ἐκκαίουσα.

Βασίλειος Λιβανίῳ.

ΠΟλλοὶ περιτυχόντες ἡμῖν τῶν αὐτόθι, ἐθαύμασάν σου τὴν ἐν τοῖς λόγοις ἀρετήν. ἔλεγον γὰρ ἐπίδειξίν τινα γε-

γεγενῆσθαι λαμπρὰν ἄγαν. καὶ ἀγὼν ἦν, ὡς ἔφασκον, μέγιστος, ὡς πάντας μὲν συνδραμεῖν, καὶ μηδένα ἕτερον ἐν τῇ πόλει φανῆναι, ἢ μόνον Λιβάνιον ἀγωνιζόμενον, καὶ πᾶσαν ἡλικίαν ἀκροωμένην. οὐ γὰρ ἠξίου τὶς ἔξω τῶν ἀγώνων γενέσθαι, οὐκ ἀξιώματος ὄγκῳ συνών, οὐ στρατιωτικοῖς καταλόγοις ἐμπρέπων, οὐ βαναύσοις τέχναις σχολάζων. ἤδη δὲ καὶ γυναῖκες παρεῖναι κατηπείγοντο τοῖς ἀγῶσι. τίς δὲ ὁ ἀγὼν, τίς δὲ ὁ λόγος ὁ τὴν πάνδημον συναγείρας πανήγυριν; καὶ δή μοι ἤγγειλαν, δυσκόλου τρόπον ἀνδρὸς τὸν λόγον ἐνστήσασθαι. ὃν οὕτω θαυμασθέντα μὴ κατόκνει μοι πέμψαι. ἵνα κἀγὼ τῶν λόγων ἐπαινέτης εἴην τῶν σῶν. ὁ γὰρ Λιβάνιον ἐπαινῶν καὶ τῶν ἔργων ἐκτὸς, τίς ἂν γένωμαι νῦν ὑπόθεσιν ἐπαίνων δεξάμενος;

Λιβάνιος Βασιλείῳ.

ἸΔοὺ πέπομφα τὸν λόγον ἱδρῶτι περιρρεόμενος. πῶς γὰρ οὐκ ἔμελλον, ἀνδρὶ τοιούτῳ πέμπων τὸν λόγον, ὃς ἱκανός ἐστι τὴν Πλάτωνος σοφίαν καὶ Δημοσθένους δεινότητα δεῖξαι θρυλλουμένας μάτην; τὸ δὲ ἐμὸν τοιοῦτον, οἷον κώνωψ ἐλέφαντι παραβαλλόμενος. ὅθεν πέφρικα καὶ τρέμω τὴν ἡμέραν, λογιζόμενος, καθ' ἣν σκέψῃ τοὺς λόγους. μικροῦ δὲ καὶ τῶν φρενῶν ἐκπέπτωκα.

Βασίλειος Λιβανίῳ.

ἈΝέγνων τὸν λόγον σοφώτατε καὶ ὑπερτεθαύμακα. ὦ μοῦσαι καὶ λόγοι καὶ Ἀθῆναι, οἷα τοῖς ἐρασταῖς δωρεῖσθε. οἵους κομίζονται τοὺς καρποὺς, οἱ βραχὺν τινα χρόνον ὑμῖν συγγινόμενοι. ὦ πηγῆς πολυχεύμονος, οἵους ἔδειξε τοὺς ἀρυσαμένους. αὐτὸν γὰρ ἐδόκουν ὁρᾶν ἐν τῷ λόγῳ τὸν λάλῳ συνόντα γυναίῳ. ἔμπνουν γὰρ λόγον ἐπὶ χθονὸς Λιβάνιος ἔγραψεν, ὃς μόνος τοῖς λόγοις ψυχὴν ἐχαρίσατο.

Λιβάνιος Βασιλείῳ.

ΝΥῦν ἔγνων εἶναι ὃ λέγομαι. Βασιλείου γάρ με ἐπαινέσαντος, κατὰ πάντων ἔχω τὰ νικητήρια. καὶ τὴν ψῆφον δεξα-

ξαμένῳ τὴν σὺν ἔπεσι βαδίζειν μετὰ σοβαρȣ̃ τȣ̃ βαδίσματος οἷά τις ἀλαζὼν τὰς πάντας περιφρονῶν· ἐπεὶ οὖν καὶ σοὶ κατὰ μέθης λόγος πεπόνηται, βουλόμεθα τούτῳ περιτυχεῖν. ἀλλὰ κομψὸν μέν τι λέγειν οὐκ ἐθέλω. ὁ δὲ λόγος ὀφθεὶς, διδάξει με τὴν τȣ̃ λόγȣ τέχνην.

Βασίλειος Λιβανίῳ.

ΔΕχομένοις μὲν ἡμῖν ἃ γράφεις χαρά. ἀπαιτȣμένοις δὲ πρὸς ἃ γράφεις ἀντεπιστέλλειν, ἀγών· τί γὰρ ἂν εἴποιμεν πρὸς οὕτως ἀττικίζȣσαν γλῶτταν, πλὴν ὅτι ἁλιέων εἶμι μαθητὴς, ὁμολογῶ καὶ φιλῶ.

Ὀλυμπίῳ.

ἜΓραφες ἡμῖν πρότερον μὲν ὀλίγα. νῦν δὲ οὐδὲ ὀλίγα. καὶ ἔοικεν ἡ βραχυλογία προϊοῦσα τῷ χρόνῳ, παντελὴς γίνεσθαι ἀφωνία. ἐπανέλθε τοίνυν ἐπὶ τὸ ἔθος. ὡς οὐκ ἔτι σοι μεμψόμεθα λακωνίζοντι πρὸς ἡμᾶς διὰ γραμμάτων. ἀλλὰ καὶ τὰ μικρὰ γράμματα σύμβολα ὄντα τῆς μεγάλης σȣ διαθέσεως, πολλȣ̃ ἄξια ποιησόμεθα. μόνον ἐπίστελλε ἡμῖν.

Τῷ αὐτῷ.

ὯΣπερ τῶν ἄλλων ὡρίμων ἕκαστον ἐν τῇ οἰκείᾳ ὥρᾳ ἀπαντᾷ, ἐν ἦρι μὲν τὰ ἄνθη, ἐν θέρει δὲ οἱ στάχυες, τῷ δὲ μετοπώρῳ τὸ μῆλον, οὕτω χειμῶνος καρπός εἰσιν οἱ λόγοι.

Ἀνεπίγραφος.

ὍΤι σε φιλῶ, οἷς ἐπιστέλλω μάθε. ὅτι με μισεῖς, οἷς σιωπᾷς ἔγνων. γράφε δὲ κἂν τȣ̃ λοιποῦ, καλάμῳ καὶ μέλανι καὶ βραχεῖ χάρτῃ φιλȣ̃ντας φιλῶν.

Ἄλλη ἀνεπίγραφος.

ἘΝ γνωρίσματι τȣ̃ ζῆν ὁ λόγος. πῶς δὲ σὺ ὑπὲρ γῆς εἶναι νομισθείης, μηδέποτε φθεγξάμενος; ἀλλ' ἄπωσαι τὴν

σιωπὴν σου, γράψας ἡμῖν καὶ ἐμφανίσας σαυτὸν, ὅτι περ ζῇς.


Βασιλείου πρὸς Μοναχὸν ἐκπεσόντα.


ΧΑίρειν μὲν οὐ λέγομεν, ὅτι οὐκ ἔστι χαίρειν ἐν τοῖς ἀσεβέσιν. ἔτι γὰρ ἀπιστία με περιέχει, καὶ οὐκ ἐπέρχεταί μου εἰς τὴν καρδίαν τὸ τηλικοῦτον ἀτόπημα, καὶ τὸ ἐπιχείρημα τὸ μέγα ὃ ἔπραξας, εἴγε κατὰ τὸ φαινόμενον ἤδη πᾶσιν οὕτως ἔχει. Θαυμάζω γὰρ πῶς ἡ τοσαύτη σοφία κατεπόθη, πῶς ἡ τοσαύτη ἀκρίβεια διελύθη, πόθεν ἡ τοσαύτη τύφλωσις περιεχέθη, πῶς μηδὲν τὸ σύνολον ἐννοήσας, τοιαύτην καὶ τοσαύτην ἀπώλειαν ψυχῶν εἰργάσω. Εἰ γὰρ ἀληθὲς τοῦτο, παραδέδωκας καὶ τὴν σαυτοῦ ψυχὴν τῷ βυθῷ, καὶ πάντων τῶν ἀκουόντων τὴν ἀσέβειαν ταύτην τὸν τόνον παρέλυσας, τὴν πίστιν ἠθέτησας, τοῦ ἀγῶνος τοῦ καλοῦ ἠστόχησας. Διὸ ἀλγῶ ἐπὶ σοί. ποῖος γὰρ ἱερεὺς ἀκούων ἐπὶ σοὶ οὐ θρηνήσει; ποῖος ἐκκλησιαστικὸς οὐ κόπτεται; ποῖος λαϊκὸς οὐ σκυθρωπάζει, ποῖος ἀσκητὴς οὐ πενθεῖ; Τάχα καὶ ὁ Ἥλιος ἐσκότασεν ἐπὶ τῷ σῷ πτώματι, καὶ αἱ δυνάμεις τοῦ Οὐρανοῦ ἐσαλεύθησαν ἐπὶ τῇ σῇ ἀπωλείᾳ. ἐδάκρυσαν καὶ οἱ ἀναίσθητοι λίθοι ἐπὶ τῇ σῇ μανίᾳ. Ἔκλαυσαν δὲ καὶ ἐχθροὶ διὰ τὴν ὑπερβολὴν τῆς ἀνομίας σου. Ὢ πολλῆς πωρώσεως, ὢ δεινῆς ὠμότητος. Οὐ Θεὸν ἐφοβήθης, οὐκ ἀνθρώπους ᾐδέσθης, οὐ φίλους ἐνετράπης· ἀλλ' ὁμοῦ πάντα ἐναυάγησας, ὁμοῦ πάντα ἐσυλήθης. διὸ πάλιν ἀλγῶ ἐπὶ σοὶ ἄθλιε. Ὁ τῆς βασιλείας πᾶσι τὸν τόνον ἀπαγγέλλων, τῆς βασιλείας ἐξέπεσες. ὁ τῆς διδασκαλίας τὸν φόβον πᾶσιν ἐμποιῶν, οὐκ ἔσχες φόβον Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν σου. ὁ ἁγιωσύνην κηρύσσων, ἐναγὴς εὑρίσκῃ. ὁ ἐπὶ ἀκτημοσύνῃ σεμνυνόμενος, συλοχρηματῶν εὑρίσκῃ. ὁ τὴν τοῦ Θεοῦ κόλασιν ἐπιδεικνύμενος διὰ τῆς ὑφηγήσεως, αὐτὸς κόλασιν σεαυτῷ προεξένησας. Πῶς σε θρηνήσω; πῶς ἀλγήσω ἐπὶ σοί, πῶς

πῶς ἐξέπεσεν ὁ Ἑωσφόρος ὁ πρωΐ ἀνατέλλων, καὶ συνετρίβη ἐπὶ τῆς γῆς; παντὸς ἀκούοντος ἠχήσει τὰ ἀμφότερα ὦτα, πῶς ὁ ναζωραῖος ὁ ἐκλάμπων ὑπὲρ χρυσίον ἐσκότασεν ὑπὲρ ἄσβολον. υἱὸς Σιὼν ὁ τίμιος, πῶς ἐγένετο σκεῦος ἄχρηστον. Οὗ ἡ μνήμη τῶν θείων γραφῶν ὑπὸ πάντων ἐλαλεῖτο, σήμερον ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ᾽ ἤχου. ὁ ὀξύνους, ὀξέως ἀπώλετο. ὁ πολύνους, πολύπλοκον ἁμαρτίαν εἰργάσατο οἱ γὰρ ὠφελημένοι ὑπὸ τῆς σῆς διδασκαλίας, ἐβλάβησαν ὑπὸ τῆς σῆς ἀπωλείας. οἱ τὰς ἀκοὰς παρατιθέντες ἐπὶ τῇ σῇ ὁμιλίᾳ, ἔφραξαν τὰ ὦτα ἐπὶ τῇ σῇ ἀπωλείᾳ. Ἐγὼ δὲ θρηνῶν, καὶ σκυθρωπάζων, καὶ παρειμένος πάντοθεν, καὶ σποδὸν ὡσεὶ ἄρτον ἐσθίων, καὶ σάκκον ἐπὶ τῇ πληγῇ μου ἐπιρρίψας, τοιαῦτά σοι ἐγκώμια διεξέρχομαι. μᾶλλον δὲ ἐπιταφίους λόγους συντάσσων, ἀπαράκλητος, καὶ ἄθερ᾽ πένθος διατελῶ, ὅτι παράκλησις κέκρυπται ἀπὸ τῶν ὀφθαλμῶν μου. καὶ οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους ἔστι γὰρ ἡ πληγή μου ὀδυνηρά. πόθεν ἰαθήσομαι; Ἔτις οὖν ἔτι ἐλπὶς ὑπολείπεταί σοι σωτηρίας, εἴτις βραχεῖα μνήμη περὶ τὸν θεὸν, εἴτις πόθος τῶν μελλόντων ἀγαθῶν, εἴτις φόβος τῶν τεθησαυρισμένων κολάσεων τοῖς ἀμετανοήτοις, ἀνάνηψον ταχέως· ἔπαρον τοὺς ὀφθαλμούς σου εἰς τὸν οὐρανόν. ἐλθὲ εἰς συναίσθησιν. παῦσαι ἀπὸ τῆς πονηρίας σου, ἀπόσεισαι τὴν περιχυθεῖσάν σοι μέθην. ἐπανάστα τῷ καταβαλόντι σε. ἴσχυσον ἐκ γῆς ἐπαναστῆναι. μνήσθητι τοῦ ἀγαθοῦ ποιμένος, ὅτι καταδιώκων ἐξελεῖται σε· ἀποπήδησον ἀπὸ τοῦ τραυματίσαντός σε. μνήσθητι τοὺς οἰκτιρμοὺς τοῦ θεοῦ, ὅτι θεραπεύει ἐλαίῳ καὶ οἴνῳ. μὴ ἀπελπίσῃς τὴν σωτηρίαν. ἀνάλαβε τὴν μνήμην τῶν γεγραμμένων, ὅτι ὁ πίπτων ἀνίσταται, καὶ ὁ ἀποστρέφων ἐπιστρέφει, ὁ πεπληγὼς θεραπεύεται, ὁ θηριάλωτος περιγίνεται, ὁ ἐξομολογούμενος οὐκ ἀποβάλλεται. Οὐ θέλει γὰρ ὁ Κύριος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ

ζῆν

ζῆν αὐτόν. μὴ εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονήσῃς. Καιρὸς ἀνοχῆς ἐστι, καιρὸς μακροθυμίας, καιρὸς ἰάσεως, καιρὸς διορθώσεως ὠλίσθησας; ἐξεγείρου. ἥμαρτες; ἡσύχασον. μὴ στῇς ἐν ὁδῷ ἁμαρτωλῶν, ἀλλ' ἀποπήδησον. ὅταν γὰρ ἐπιστραφεὶς στενάξῃς, τότε σωθήσῃ. ἔστι γὰρ ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία. Ὅρα οὖν μήποτε συνθήκας βουλόμενος τινῶν φυλάττειν, παραβῇς τὰς πρὸς θεὸν συνθήκας, ἃς ὡμολόγησας ἐπὶ πολλῶν μαρτύρων. μὴ οὖν διά τινας λογισμοὺς ἀνθρωπίνους ὀκνήσῃς ἐλθεῖν πρός με. Ἐγὼ γὰρ ἀναλαβὼν τὸν νεκρόν μου θρηνήσω. ἐγὼ θεραπεύσω. ἐγὼ πικρῶς κλαύσομαι ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. πάντες σε δέξονται, πάντες σοι συμπονήσουσι. μὴ ἀπεισθῇς. μνήσθητι ἡμερῶν ἀρχαίων. ἔστι σωτηρία, ἔστι διόρθωσις. θάρσει, μὴ ἀπελπίσῃς. οὐκ ἔστι νόμος καταδικάζων τὸν χωρὶς οἰκτιρμῶν θάνατον, ἀλλὰ χάρις ὑπερτιθεμένη τὴν κόλασιν, ἐκδεχομένη τὴν διόρθωσιν. οὔπω ἐκλείσθησαν αἱ θύραι. ἀκούει ὁ νυμφίος. οὐ κυριεύει ἁμαρτία. ἀνάπαλαισον πάλιν, μὴ κατοκνήσῃς. καὶ σεαυτὸν οἰκτείρησον, καὶ πάντας ἡμᾶς.





Ε΄Κ ΤΩ͂Ν ΦΑΛΑ΄ΡΙΔΟΣ ΤΥΡΑ΄ΝΝΟΥ ΑΚΡΑΓΑΝΤΙ΄ΝΩΝ.

Ζωξίππῳ.

ΤΩ͂ μὲν ἐγὼ σου διὰ τὴν νεότητα συγγινώσκω, σοὶ δὲ διὰ τὸ γῆρας καίπερ ἀσύγγνωστα πεποιηκόσιν. αὖ μέντοι, μὴ παύσησθε τῆς αὐθαδείας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σὲ τὸ γῆρας ἐξαιρήσεται. δι᾽ αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι᾽ ἃ νῦν συγγνώμης ἀξιοῦσθε.

Σαμέᾳ.


ΕἸδώς σου τὴν χρηστότητα τοῦ τρόπου καὶ τὴν ὑπερφυῆ πρὸς ἅπαντας φιλανθρωπίαν, καὶ ὅτι τὰς τῶν πλησίον εὐτυχίας ἡμέρως καὶ συμπαθῶς ἰδίας ἀλγηδόνας, καὶ συμφορὰς ἡγῇ, γέγραφά σοι συντόμως, ὅτι καὶ τὴν δίκην καὶ τὴν ναυμαχίαν καὶ τὴν παράταξιν, καὶ τὸ τελευταῖον τὸν ἱππικὸν ἀγῶνα νενικήκαμεν, ἵνα ἀκούσας ὡς προσήκει καλῷ κἀγαθῷ, στένης ἀδιαλείπτως, λαμβάνων παρὰ τῆς σεαυτοῦ φύσεως τὰς ἀξίας καὶ πρεπούσας τοσαύτῃ κακοηθείᾳ βασάνους.


Κλεαστράτῳ.

ΠΑνύ μοι δοκεῖ μετὰ γέλωτος ἄξιον εἶναι θαυμάσαι τὸ σωφρονίζεσθαί τινας ὑπὸ σοῦ. τὸν γὰρ ἄλλοις ἐπιτιμᾷν ἐπιβαλλόμενον, αὐτὸν ἀπηλλάχθαι χρὴ πάσης πονηρίας. σὺ δὲ ταῖς τῶν ὑπὸ σοῦ νουθετουμένων κακίαις ἔνοχος ὢν, καὶ ταῖς ἄλλαις ἁπάσαις, ὡς ἀνεπίληπτος εἰς πονηρίαν, οὕτω νουθετεῖς.

Λα-

ζῆν αὐτόν. μὴ εἰς βάθος κακῶν ἐμπεσὼν καταφρονήσῃς. Καιρὸς ἀνοχῆς ἐστι, καιρὸς μακροθυμίας, καιρὸς ἰάσεως, καιρὸς διορθώσεως. ὠλίσθησας; ἐξεγείρου. ἥμαρτες; ἡσύχασον. μὴ στῇς ἐν ὁδῷ ἁμαρτωλῶν, ἀλλ᾽ ἀποπήδησον. ὅταν γὰρ ἐπιστραφεὶς στενάξῃς, τότε σωθήσῃ. ἔστι γὰρ ἐκ πόνων ὑγεία, καὶ ἐξ ἱδρώτων σωτηρία. Ὅρα οὖν μήποτε συνθήκας βουλόμενος τινῶν φυλάττειν, παραβῇς τὰς πρὸς Θεὸν συνθήκας, ἃς ὡμολόγησας ἐπὶ πολλῶν μαρτύρων. μὴ οὖν διά τινας λογισμοὺς ἀνθρωπίνους ὀκνήσῃς ἐλθεῖν πρός με. Ἐγὼ γὰρ ἀναλαβὼν τὸν νεκρόν μου θρηνήσω. ἐγὼ θεραπεύσω. ἐγὼ πικρῶς κλαύσομαι ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ γένους μου. πάντες σε δέξονται, πάντες σοι συμπονήσουσι. μὴ ἀπεισθῇς. μνήσθητι ἡμερῶν ἀρχαίων. ἔστι σωτηρία, ἔστι διόρθωσις. θάρσει, μὴ ἀπελπίσῃς. οὐκ ἔστι νόμος καταδικάζων τὸν χωρὶς οἰκτιρμῶν θάνατον, ἀλλὰ χάρις ὑπερτιθεμένη τὴν κόλασιν, ἐκδεχομένη τὴν διόρθωσιν. οὔπω ἐκλείσθησαν αἱ θύραι. ἀκούει ὁ νυμφίος. οὐ κυριεύει ἁμαρτία. ἀνάπαλαισον πάλιν, μὴ κατοκνήσῃς. καὶ σεαυτὸν οἰκτείρησον, καὶ πάντας ἡμᾶς.





Ε᾽Κ ΤΩ͂Ν ΦΑΛΑ΄ΡΙΔΟΣ ΤΥΡΑ΄ΝΝΟΥ Α᾽ΚΡΑΓΑΝΤΙ΄ΝΩΝ.

Ζεύξίππῳ.

ΣΟὶ μὲν ὑφ᾽ σοῦ διὰ τὴν νεότητα συγγινώσκω, σοὶ δὲ διὰ τὸ γῆρας καίπερ ἀσύγγνωστα πεποιηκόσιν. αὖ μέντοι, μὴ παύσησθε τῆς αὐθαδείας, οὔτε ἐκεῖνον ἡ νεότης, οὔτε σὲ τὸ γῆρας ἐξαιρήσεται. δι᾽ αὐτὰ δὲ ταῦτα καὶ μᾶλλον κολασθήσεσθε, δι᾽ ἃ νῦν συγγνώμης ἀξιοῦσθε.

Σαμέᾳ.

ΕΙ᾽δὼς σου τὴν χρηστότητα τοῦ τρόπου καὶ τὴν ὑπερφυῆ πρὸς ἅπαντας φιλανθρωπίαν, καὶ ὅτι τὰς τῶν πλησίον εὐτυχίας ἡμέρως καὶ συμπαθῶς ἰδίας ἀλγηδόνας, καὶ συμφορὰς ἡγῇ, γέγραφά σοι συντόμως, ὅτι καὶ τὴν δίκην καὶ τὴν ναυμαχίαν καὶ τὴν παράταξιν, καὶ τὸ τελευταῖον τὸν ἱππικὸν ἀγῶνα νενικήκαμεν, ἵνα ἀκούσας ὡς προσήκει καλῷ κἀγαθῷ, στένῃς ἀδιαλείπτως, λαμβάνων παρὰ τῆς σεαυτοῦ φύσεως τὰς ἀξίας καὶ πρεπούσας τοσαύτῃ κακοηθείᾳ βασάνους.

Κλεοστράτῳ.

ΠΑνύ μοι δοκεῖ μετὰ γέλωτος ἄξιον εἶναι θαυμάσαι τὸ σωφρονίζεσθαί τινας ὑπὸ σοῦ. τὸν γὰρ ἄλλοις ἐπιτιμᾶν ἐπιβαλλόμενον, αὐτὸν ἀπηλλάχθαι χρὴ πάσης πονηρίας. σὺ δὲ ταῖς τῶν ὑπὸ σοῦ νουθετουμένων κακίαις ἔνοχος ὤν, καὶ ταῖς ἄλλαις ἁπάσαις, ὡς ἀνεπίληπτος εἰς πονηρίαν, οὕτω νουθετεῖς.

Λα-

Λακρίτῳ.

Ἀχθομένῳ μέν σοι βαρέως ἐπὶ τῇ τοῦ παιδὸς τελευτῇ, πᾶσα συγγνώμη. κἀγὼ δὲ σφόδρα συμπαθῶν, ὡς εἰς τῶν οἰκείων τὸ συμβεβηκὸς ἡγούμενος, μεῖζον ἄχθομαι, καίτοι στερρότερα φύσει πρὸς τὰ τοιαῦτα χρώμενος, διὰ τὸ μηδὲν ὄφελος ὁρᾶν μηδὲ τοῖς ἀμέτρως ἀνιωμένοις. παραμυθία δὲ ἔστω σοι μεγάλη τῆς ἐπ' αὐτῷ συμφορᾶς, πρῶτον μὲν ὅτι ὑπὲρ πατρίδος ἀγωνιζόμενος ἐν πολέμῳ, σὺν ἀριστείᾳ τέθνηκεν. εἶθ' ὅτι νικῶν, καλλίστου τέλους ὑπὸ τῆς εἱμαρμένης ἠξίωται. τὸ δὲ τελευταῖον, ὅτι μηδὲν ἁμαρτὼν παρὰ τὸν βίον, ὑπεσφράγισται τὴν ἰδίαν ἀρετὴν θανάτῳ. ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς, ἄδηλον εἰ μεταβαλεῖ πρὸς τὸ χεῖρον. αἱ τύχαι γὰρ ἀνθρώπων τὸ πλεῖστον, οὐχ αἱ γνῶμαι κρατοῦσιν. ὁ δὲ τελευτήσας ἀκατηγόρητος, ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. νομίσας οὖν ἀξίας παρ' αὐτοῦ χάριτας ἀπειληφέναι γενέσεως καὶ ἀνατροφῆς, τὸ καλὸν κἀγαθὸν μέχρι τέλους αὐτὸν γεγονέναι, ταύτην αὐτῷ τὴν ἀμοιβὴν ἀντίδος, τὸ πρᾴως καὶ εὐπαρηγορήτως τὴν ἐπ' αὐτῷ λύπην ἐνεγκεῖν.

Ἡροδίκῳ.

Ἄλλου μὲν ἦν κακῶς πεπονθότος, μηδὲν ὁμολογῆσαι πρὸς τὸν δεδρακότα περὶ ἀμύνης, ἵν' ὡς ἥκιστα πρὸς αὐτὸν ὕποπτος, ἁλώῃ. ἐγὼ δὲ τοῦτο μὲν ἀγεννοῦς ἀνδρὸς ἔργον ἡγοῦμαι, τὸ τὸν ἀγνοοῦντα χειρώσασθαι. προηδικημένος δ' ὑπὸ σοῦ, μηνύω σοι φυλάττεσθαι τὴν ἐπιοῦσαν ἐξ ἡμῶν ἄμυναν, ἵνα πρὸ τοῦ μὲν παθεῖν, ἡ προσδοκία κολάζῃ σε, μετὰ δὲ τὴν προσδοκίαν, αὐτὸ τὸ παθεῖν.

Α'μφινόμῳ.

ΟΥ' διδόναι χάριτας οἴομαι δωρέμενος ἀγαθοῖς ἀνδράσιν, ἀλλὰ πολὺ μᾶλλον παρ' αὐτῶν λαμβάνειν. ὅθεν ἀξιῶ μὴ ὡς προδεδωκότα με χάριν, ἀλλ' ὡς προσοφείλοντά σοι, διὰ τὸ βουληθῆναί σε λαβεῖν ἃ ἐπέμψαμεν, γράφε. Ε'ρρῶσο.

Μεσσηνίοις.

ΠΟλύκλειτον ὡς πυνθάνομαι, τὸν ἰατρὸν ὑμῶν μέμφεσθε ὡς προδότην Α'κραγαντίνων γεγονότα, ὅτι, με κάμνοντα λαβὼν, δυνάμενος ἀποκτεῖναι, χαλεπωτάτης ἐξήρπασε νόσου. καὶ τὸν ἔπαινον αὐτοῦ τῆς δικαιοσύνης κατηγορίαν ἀδικίας ποιεῖσθε. καὶ τοῦθ' ὁμολογοῦντες, οὐκ αἰσχύνεσθε. ἐγὼ δὲ θαυμάζω τῆς τέχνης αὐτοῦ τὸν τρόπον μᾶλλον, ὅτι καὶ θνήσκοντά με πιστευθεὶς, οὐχ ὡς τύραννον ἀνῄρηκεν, ἀλλ' ὡς νοσοῦντα πονήσας, ἔσωσε. καὶ διὰ μὲν τὴν ὑμετέραν μέμψιν, οὐδ' ὁτιοῦν πέπονθε κακόν. διὰ δὲ τὴν ἐμὴν εὐχαριστίαν, ὅμοια τοῖς πρώτοις Σικελιωτῶν πεπλούτηκεν. οἶδα γοῦν ὅτι διὰ τὴν δόσιν τῶν εὐχαριστηρίων, πάντες εὔχεσθε προδόται μᾶλλον Α'κραγαντίνων, ἢ τυραννοκτόνοι Φαλάριδος ἀκουσθῆναι.

Α'ντιμάχῳ.

ΕΙ' μὲν ἔχων οὐκ ἀποδίδως τὸ δάνειον, ἑκὼν εἶ πονηρός. εἰ δ' οὐκ ἔχων, ἀδικεῖς μὲν, τὸ δὲ ἀκούσιον παρὰ τοῖς ἀνθρωπίνως λογιζομένοις, συγγνώμης ἀξιοῦται. ἡ δὲ συγγνώμη γίνωσκε, ὅτι μέλλησίς ἐστιν ἀπολήψεως, οὐ παντελὴς χρημάτων ἀπόγνωσις.

Ι'ππολυτίωνι.

ΕΠιτρέπω σοι πρός με παραγενέσθαι καθὼς ἀξιοῖς. ὅρκον δὲ οὐδένα σοι δίδωμι, τοῦ μηδέν σε πείσεσθαι κακὸν, ἀλλὰ πίστιν.

πίστιν. εἰ δέ μου τῇ τῶν λόγων ἀπιστεῖς ὑποσχέσει, νῦν με ταῖς ἀληθείαις ἀδικεῖς, οὐχ ὅτε κατηγορήθης. εἰδὼς γάρ με μηδενὶ πώποτε παραβεβηκότα πίστιν, ὡς κατεγνωκὼς, ὅρκῳ μετέρχῃ. καὶ τί διαφέρει πρὸς δυσσέβειαν, ὅρκον ἢ πίστιν συγχέαι; ἀμφότερα γὰρ ἡ γνώμη βεβαιοῖ. Ἔρρωσο.

Ἀδειμάντῳ.

Ἀκούω σε διαφέρεσθαι πρὸς τὸν ἀδελφὸν ὁπότερος ὑμῶν ἐστὶ χείρων, σοῦ μὲν ἐκεῖνον λέγοντος, ἐκείνου δὲ, τοὔμπαλιν σέ. ἐγὼ δ' οἴομαι, μᾶλλον δὲ καλῶς πέπεισμαι, τῶν μὲν ἄλλων πάντων ἐκεῖνον εἶναι κακίω· σοῦ δὲ οὔτε ἐκεῖνον, οὔτε ἄλλων ἀνθρώπων οὐδένα. Ἔρρωσο.

Ἐτεονίκῳ.

Τῆς μὲν τῶν ἄλλων ἔχθρας ὅσοι τί κακόν με δεδράκασιν, ὡς παρακαλεῖς, κἂν ἐπιλαθοίμην. θνητοὺς γὰρ ὄντας, ἀθάνατον ὀργὴν ἔχειν, ὥς φασί τινες, οὐ προσήκει· τῆς μέντοι Πύθωνος εἰς ἐμαυτὸν δυσμενείας, οὐ μόνον ζῶν, ἀλλ' οὐδ' ἂν ἀποθανὼν, ὃ πᾶσι συμβαίνει τοῖς τετελευτηκόσιν, ἐπιλαθοίμην. ὁ γὰρ τὰ μέγιστά με τῶν κακῶν ἐργασάμενος, οὗτός ἐστιν, ὁ μετὰ τὴν ἐμὴν φυγὴν Εὐρυθίαν τὴν γυναῖκα βουλομένην ἐμὲ διώκειν, ἀναινομένην δὲ τούτῳ γήμασθαι, φαρμάκῳ διαφθείρας.

Δημαράτῳ.

Μὴ θαύμαζε τὸν Ἀλκίνου καὶ Δορυμένους θάνατον, ὡς μετὰ πικρίας καὶ τυραννικῆς ὠμότητος πεπραγμένον. πολλῷ γὰρ ἔτι θαυμασιώτερον, δὶς καὶ τρὶς ἀδείας ἀξιωθέντας ὑπὸ τυράννου, τότε κολασθῆναι.

Ἱερω-

Ἱέρωνι.


ΠΟλλὰ λέγειν ἔχων καὶ κατὰ σοῦ, καὶ περὶ ἧς κατ᾽ ἐμοῦ πεφλυάρηκας ἐν Λεοντίνοις δημοκοπίας, οὐδὲν ἐρῶ περισσότερον, πλὴν ὅτι κώνωπος οὐ ἐλέφας Ἰνδὸς οὐκ ἀλεγίζει.


Νεολαΐδᾳ.

ΟΥ᾽δὲν ἄχαρι βούλομαί σε παθεῖν ἀπ᾽ ἐμοῦ. πλείω γὰρ εὑρίσκω σοι τὰ ἀγαθὰ πεπραγμένα, τῶν χειρόνων. διὸ καὶ τοῦτό σου τῶν βελτιόνων ἓν γινέσθω, τὸ μὴ προσαναγκάσαι με, τῷ χαλεπωτέρῳ τῆς ψυχῆς κατὰ σοῦ χρήσασθαι πάθει.

Ἀξιόχῳ.

ΣΕμνύνεσθαι μὲν, ὥσπερ ἐπ᾽ ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ᾽ εὐγενείᾳ εἰκός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν, ἀρετὴν οἶδα, τὰ δ᾽ ἄλλα πάντα τύχην. καὶ γένοιτ᾽ ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος. ὁ δ᾽ ἐξ ἀγαθῶν φαῦλος, αὐτός τε ἑαυτοῦ καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαινον αὔχει πρὸς Συρακουσίους, μὴ προγόνων τεθνηκυῖαν ἐν ἀδοξοτέροις διαδόχοις εὐγένειαν.





ΕΚ ΤΩΝ ΤΟΥ ΒΡΟΥΤΟΥ ΣΤΡΑΤΗΓΟΥ ΡΩΜΑΙΩΝ.

Βροῦτος Περγαμηνοῖς.

Ἀκούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα. ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν με. εἰ δὲ ἄκοντες, ἀποδείξατε, τῷ ἐμοὶ ἑκόντες δοῦναι.

Περγαμηνοὶ Βρούτῳ.

Χρήματα Δολοβέλλᾳ μὲν ἔτι δ᾽ ἀποροῦντες, ἐβιάσθημεν παρασχεῖν. σὺ δὲ ἡμᾶς δοῦναι θέλοντας ᾔτηκας, ὅτε δυσαπλήρωτον ἐν ἀπορίᾳ τὸ πρόθυμον.

Βροῦτος Περγαμηνοῖς.

Τὰ χρήματα ὑμῶν ἐκόμισαν οἱ πρέσβεις. ὡς μὲν πρὸς τὴν ᾐτιᾶσθε ἀσθένειαν, πλείω. ὡς δὲ πρὸς τὴν ᾐτούμεθα χρείαν, ὀλίγα. φυλάττεσθε οὖν μὴ καὶ δύνησθε πλεῖον, οὐ προσποιεῖσθε. καὶ βούλησθε ἔλαττον, οὐ δύνασθε.

Περγαμηνοὶ Βρούτῳ.

Ἐπέμψαμέν σοι χρήματα, εἰ καὶ τῆς σῆς ἐλάττονα χρείας, ἀλλ᾽ οὖν τῆς ἑαυτῶν ὑποσχέσεως πλείονα. παρῃτούμεθα μὲν γὰρ [illegible] μικρότερα ἢ βουλόμεθα ἔχοντες, ἐποείσαμεν [illegible] δυνάμεθα σπουδάσαντες.

Βρου

Βροῦτος Περγαμηνοῖς.

Δολοβέλλας ἐστὶν ἡμῖν μὲν πολέμιος, ὑμῖν δὲ φίλος· ᾧ εἰς ἅπαν καὶ καθ' ἡμῶν ὑπουργεῖσθε. τί δῆτα ἂν ἔποιτο τοῖς τὰ αὐτὰ ἐκείνῳ ἑλομένοις, εἰ μὴ ἁλόντας ἴσα πολεμίοις πάσχειν; οὐδὲ γὰρ μετάνοιαν δοτέον τοῖς οὐ πρὶν, ἢ εἰς τὸ παντελὲς καμεῖν, μετανοοῦσι.

Περγαμηνοὶ Βρούτῳ.

Τῆς μὲν πάλαι πρὸς Δολοβέλλαν φιλίας, σὺ αἴτιος, ὀψὲ ἡμῖν ἐπιστέλλων. ἀνάγκη γὰρ τὰς ἐκείνου κολακεύειν ἐπιταγὰς, πρὶν ἢ σχεῖν, πρὸς ὃν ἀποκλίνωμεν. τὴν δὲ εἰς τὸ μέλλον μετάνοιαν μὴ ἀφαιροῦ, τὴν εἰ καὶ βραδέως, ἀλλ' οὖν ὅταν δυνώμεθα, τὸ ἀγνοηθὲν διορθουμένων.

Βροῦτος Ῥοδίοις.

Ξανθίους ἀποστάντας χειρωσάμενοι, ἡβηδὸν ἀπεσφάξαμεν τήν τε πόλιν κατεπρήσαμεν. Παταρεῦσι δὲ προστιθεμένοις ἡμῖν, τὴν τε φόρων ἄφεσιν ἐδώκαμεν, ἐλευθέρους καὶ αὐτονόμους αὐτοὺς εἶναι συγχωρήσαντες, εἰς ἐπισκευήν τε τῶν ὑπὸ τοῦ χρόνου καταλελυμένων παρ' αὐτοῖς, πεντήκοντα τάλαντα ἐχαρισάμεθα. ἡμῖν οὖν βουλομένοις περὶ ἑαυτῶν, πάρεστιν ὁρᾶν ὀψὲ, εἴτε χρὴ πολεμίους ἡμᾶς, ὥσπερ Ξάνθιοι, εἴτε φίλους καὶ εὐεργέτας, ὃν τρόπον Παταρεῖς, αἱρεῖσθαι.

Ῥόδιοι Βρούτῳ.

Οὐκ εἰ σὺ βαρέως τοῖς ἐλευθεριάσασι Ξανθίων προσηνέχθης, ἤδη καὶ ἡμεῖς τοὺς ἐπὶ δουλείᾳ δεκασθέντας μιμησόμεθα Παταρεῖς. ἀλλ' ἐκείνων μὲν ἀποδεξάμενοι τὴν τύχην πειρασόμεθα τῆς εὐγενείας ἔχεσθαι. τούτους δὲ μεμψάμενοι τῆς

γνώμης, οὐ ζηλώσομεν τὴν ἀπὸ σοῦ λημμάτων, ἐνδοξοτέραν ἡγούμενοι τὴν μετὰ κινδύνων ἐλευθερίαν, τῆς ἐπὶ τῷ κερδαίνειν αὐτομολίας.

Βροῦτος Κώοις.

Ῥόδος μὲν ἤδη δεδούλωται Κασσίῳ, πόλις αὐθαδέστερον αἰσθομένη τῆς οἰκείας ἰσχύος μᾶλλον, ἢ βεβαιότερον. Λυκία δὲ ἡμῖν ὑπήκοος πᾶσα, ἡ μὲν πολέμῳ καμοῦσα, ἡ δὲ ἐκ τῆς ἀνάγκης ὠφελημένη τὸ ἀβίαστον. ἑκόντες γὰρ εἵλοντο, ἃ μετ' οὐ πολύ, ἔμελλον μὴ βουλόμενοι. καὶ ὑμεῖς οὖν αἱρεῖσθε. ἢ πολέμῳ βιασθέντες δοῦλοι. ἢ ἑκουσίως ἡμᾶς δεξάμενοι, φίλοι γενέσθαι.

Κῶοι Βρούτῳ.

Οὔτε ἡ Ῥοδίων ἅλωσις ἐξέπληξεν ἂν ἡμᾶς, μὴ τὰ σὰ φρονοῦντας, οὔτε ἡ Λυκίων δυσπραξία μετὰ κολακείας ἔπεισεν. ἐλπὶς γὰρ καὶ φόβος, ἐν φίλοις μὲν ἀξιόπιστα, ἐν δὲ τοῖς ἀλλοτριουμένοις δὲ καταφρόνητα. ἀλλ' ἡμεῖς αὐτόθεν σοι προσχωροῦντες, καθ' ἓν ἀχθόμεθα, εἴγε δόξαιμεν, ἢ ἀπειλῆς, ἢ ὑποσχέσεως γεγονέναι κτῆμα. ἔχε οὖν ἡμᾶς ὑπόδειγμα φιλίας πρὸς ἄλλους μᾶλλον, ἢ ἑτέρων ἐφ' ἡμᾶς προσδέκου.

Βροῦτος Παταρεῦσιν.

Ἀμάσιππον Ῥοδίων ναύαρχον, μετὰ τὴν Ῥοδίων ἅλωσιν φυγόντα μετὰ δυεῖν καταφράκτων, ἐπυθόμην παρ' Ἑρμοδώρου τοῦ Σαμίου ἐμπόρου πεφευγέναι ἐν τῷ μεγίστῳ ὑμετέρῳ λιμένι. καταχθῆναι μὲν οὖν αὐτὸν ἐκεῖσε, οὐδὲν ἁμάρτημα ὑμέτερον ἡγοῦμαι εἶναι. καταχθέντα δὲ εἰ παραιτέρω ποι τῶν ὑμῶν ἀποδρᾶναι ἐάσετε, καὶ ἀδικίας, καὶ ἀνανδρείας ὑμῶν καταγνώσομαι:

Πα-

Παταρεῖς Βρούτῳ.

ΕΙ' θᾶττον ἡμῖν Ἑρμόδωρος, ἢ σοὶ περὶ τοῦ ναυάρχου προσήγγειλεν, οὐκ ἂν ὥς περ εἰσπλεύσας ἔλαθε Δαμάσιππος, οὔπω δὴ καὶ ἀπαίρων διέφυγεν, ἀλλὰ μέρος ἂν τῆς Ῥοδίων ἁλώσεως ἐγένετο. νῦν δὲ σύγγνωθι τῷ τέλει τῆς ἀγνοίας, ἧς ὑποτίμησιν καὶ τὴν ἀρχὴν δέδωκας. οὔτε γὰρ ἀδικίας ἔργον τὸ λαθόντα καταδέξασθαι, οὔτε ἀσθενείας, τὸ ἐκδιδράσκοντα ἀγνοῆσαι.

Βροῦτος Καυνίοις.

ΕΥ'νοεῖν μὲν ἡμῖν πρεσβευόμενοι προσποιεῖσθε. τὰ δὲ ἔργα, εἰς οὐδὲν ὧν ἐχρῆν ἐσπουδακότας ἐλέγχει. ὁρᾶτε οὖν μὴ καὶ ἡμεῖς τῇ διὰ τῶν ἔργων πεισθέντες δυσμενείᾳ μᾶλλον, ἢ τῇ ἐκ τῶν λόγων ἡδονῇ θηρώμενοι, ὡς ἐχθροῖς ὑμῖν προσενεχθῶμεν.

Καύνιοι πρὸς ταῦτα.

ΟΥ'δὲν θαυμαστὸν εἰ πρεσβεύοντες ὑπὲρ εὐνοίας ἐν ταῖς ὑπουργίαις, καταδεέστεροι τῆς χρείας ἐλεγχόμεθα. ἐκεῖνο μὲν γὰρ ἐσπουδακότων ἔργον, τοῦτο δὲ ἀσθενούντων. διὸ χρὴ τὴν ἐκ τῆς προθυμίας διάθεσιν μᾶλλον, ἢ τὸ ἐν τοῖς ἔργοις ὑποδεὲς σκοποῦντα, φίλους νομίζειν, τοὺς καὶ ἃ μὴ δυνάμεθα σπουδάζοντας.

Βροῦτος Λυκίοις.

Ο'Σα παρ' ὑμῖν ἐστι μηχανικὰ ὄργανα τειχομαχίας, ἢ ναυμαχίας, ἐπὶ Καύνου διαπέμψατε Κασσίῳ τῷ συνάρχοντί μου πορθοῦντι Ῥόδον, θᾶττον ἡμερῶν τριάκοντα, ἀφ' ἧς ἂν ἡμέρας τὴν ἐπιστολὴν ταύτην δέξησθε, ἵνα μὴ τοῖς κατ' ἐκείνων

ἡμῖν παρεσκευασμένοις, ἀναγκασθῶμεν χρήσασθαι καθ' ἡμῶν.

Λύκιοι πρὸς ταῦτα.

Ὀξείας ἐπιταγῆς ἀπόκρισις μία, τὸ ῥαδίως ὑπουργῆσαι. διὸ πειρασόμεθα φθάσαι τοῖς ἔργοις, τὴν ἀπὸ σοῦ προθεσμίαν. ἐπεὶ καὶ σὺ τῇ ἀπειλαῖς τὴν παρ' ἡμῶν ὑπόσχεσιν ἔφθακας. εἴη μέντοι τὰ ὄργανα μὴ ἄχρηστα φανῆναι διὰ παλαιότητα, ὡς καὶ τὰ Ῥοδίων εὑρήσεις ἐπ' ἄλλους ἄχρηστα.

Λυκίοις Βροῦτος.

Ξάνθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες, τάφον τῆς ἰδίας ἀπονοίας ἐσχήκασι τὴν πατρίδα. Παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοὶ, οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. ἔξεστιν οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι.

Λύκιοι πρὸς ταῦτα.

Ξανθίοις μὲν συναχθόμεθα τῆς συμφορᾶς, ἣν πρόστιμον ἀνοίας ἔχουσι, τὸ μὴ δὲ μετανοῆσαι δύνασθαι. Παταρεῦσι δὲ συνήσθημεν, σωφρόνως ἅμα καὶ εὐτυχῶς ἑλομένοις, ἃ ἔμελλε συνοίσειν. αὐτοὶ δὲ οὐχ οὕτως ἠλίθια φρονοῦμεν, ὥστε παρὸν ἐν φίλοις ἀριθμουμένοις εὐτυχεῖν, τὴν τῶν δι' ἔχθραν κεκολασμένων ἀτυχίαν ἑλέσθαι.

Σμυρναίοις Βροῦτος.

Τὸ πρόθυμον τῶν ὑπηκόων διηνεκὲς μὲν ὄν, βεβαιότητα δηλοῖ πρὸς τοὺς ἡγεμόνας. ἐλλεῖπον δὲ, καὶ τὸν ὅτε ἑτοίμως ὑπούργει χρόνον, δι' ἀσθένειαν ἐλέγχεται τὴν ἑαυτοῦ μᾶλλον, ἢ γνώμην ὑπουργεῖν. σπουδάσατε οὖν ἐκπληρῶσαι,

ὅσα

ὅσα ὑμῖν ἐπέστειλα πρὸς τὸν πόλεμον. ὡς εἰ νῦν κακοὶ φανεῖσθε, μὴ δ' ἣν πρόσθεν ἐπορίσαθε μαρτυρίαν, ἔτι οἰσόμενοι· οὐ γὰρ χρὴ δοκεῖν ἕξειν τὰ ἴσα, μὴ ὁμοίους ἀεὶ φανέντας.

Σμυρναῖοι πρὸς ταῦτα.

ΕΥ'χῆς ἔργον, τὸ δύνασθαι διηνεκῶς. καιρῶν δὲ, τὸ ἐνίοτε μὴ ἀρκεῖν. τὰς δ' ὑπουργίας, οὐ μόνον αἱ ἀσθένειαι τῶν κελευσθέντων, ἀλλὰ καὶ ἡ συνέχεια τῶν ἐπιταγῶν ἐλλιπεῖς ποιεῖ. ἡμεῖς δὲ εἰ καὶ πάλαι διὰ φόβον ἐλειτουργοῦμεν, οὐδ' αὖ νῦν ἐτολμῶμεν ἀρνεῖσθαι. ἀλλὰ πᾶν τοὐναντίον ἢ δοκεῖ συμβέβηκεν. ἐσπούδασε μὲν γὰρ ἡ γνώμη τότε. ὑποτιμᾶται δὲ νῦν ἡ ἀσθένεια. ὥστε ἄτοπον, εἰ τοῖς ἐλλείμμασιν αἱ ὑπουργίαι διαβληθήσονται μᾶλλον, ἢ ταῖς ὑπουργίαις παρηγορηθήσεται τὸ ἐλλεῖπον.

Βροῦτος Μιλησίοις.

ΕΙ' μὲν ἔστιν ὑμῖν ὅπλα ἐν κοινῷ, μὴ χρώμενοι τούτοις, ἁμαρτάνετε. μία γὰρ ἰσχὺς ὅπλων, τὸ χρῆσθαι. εἰ δὲ καὶ τῆς κατασκευῆς αὐτῶν ἀμελεῖτε, μεμφθέντες αὖ εἰ καὶ ἔχοντες μὴ ἐχρῆσθε, πόσῳ μεμπτότεροι μὴ δ' ἔχοντες;

Μιλήσιοι πρὸς ταῦτα.

ΟΥ' τὰ ὅπλα ἰσχὺς ἀνδρῶν, ἀλλὰ τῶν ὅπλων οἱ ἄνδρες. ἐκεῖνα μὲν γὰρ δίχα τῶνδε, ἄπρακτα· οἱ δὲ, καὶ ποιῆσαι αὐτὰ, καὶ χρήσασθαι αὐτοῖς δύνανται. οὔτε οὖν εἰ ἄπεστιν ὅπλα, ἐνδεῖ τοῖς ποιῆσαι αὐτὰ δυναμένοις, οὔτε χρήσιμα τυγχάνει, τοῖς κἂν ἔχουσι, χρῆσθαι μὴ δυναμένοις.

Βροῦτος τοῖς αὐτοῖς.

ΑΙ' βουλαὶ ὑμῶν ὀλίγωροι, αἱ ὑπουργίαι βραδεῖαι. τί τὸ τέλος τούτων, ἐννοεῖσθε.

Βιθυνοὶ πρὸς ταῦτα.

Βουλεύεσθαι μὲν ὀκνηρῶς, ἀσφάλεια. ὑπουργεῖν δὲ βραδέως, ἀσθένεια. τούτων ἀμφοτέρων ἓν τέλος, συγγνώμη.



ΕΚ ΤΩΝ ΤΟΥ ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΡΑΒΑΤΟΥ.

Ἰουλιανὸς Λιβανίῳ.

Ἀνέγνων χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν. ἀριστήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτως, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος. ὢ φρένες· ὢ σύνεσις. ὢ διαίρεσις· ὢ ἐπιχειρήματα· ὢ τάξις. ὢ ἀφορμαί. ὢ λέξις. ὢ ἁρμονία· ὢ συνθήκη.

Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτα καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν. ἡμεῖς δὲ σοῦ ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ φαρμάκοις συγκαθεύδομεν, καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαραῖς ἔτι, καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐνθυμούμενος, ὡς ἡμῖν γ' ἕως ἂν ἀπῇς, οὐδὲ ὅτι ζῶμεν, εἰπεῖν ἐστι, ἢ ὅτε μόνον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

Ἰου-

Ἰουλιανὸς τῷ αὐτῷ.

Ὁ Μὲν μῦθος ποιεῖ τὸν ἀετὸν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα, καὶ ταῖς ἡλίου προσάγειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ πατέρα ἀληθῶς νεοττοῦ γινόμενον, καὶ νόθου γονῆς ἀλλοτριούμενον. ἡμεῖς δέ σοι καθάπερ Ἑρμῇ λογίῳ, τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. κἂν μὲν ὑπομείνωσι τὴν ἀκοὴν τὴν σὴν, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι. εἰ δὲ μὴ, ῥίψον ἐκεῖ καθάπερ μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον, ὡς νόθους. πάντως οὐδὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κέλτους. ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων. ὅσα δ᾽ ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

Ἰουλιανὸς Εὐγενίῳ φιλοσόφῳ.

Δαίδαλον μὲν Ἰκαρίῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ. ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι. μόνος γὰρ κηρῷ λυσίμῳ τοῦ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. εἰ δέ μοι θέμις ἦν κατὰ τὸν Τήϊον ἐκεῖνον μελοποιὸν εὐχῇ τὴν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐ κἂν δήπου πρὸς Ὄλυμπον, οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ᾽ εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην. ἵνα σὲ τὸ μέλημα τοὐμὸν, ὅς φησιν ἡ Σαπφὼ, περιπτύξωμαι. ἐπεὶ δέ με ἀνθρώπου σώματος δεσμῷ κατακλείσασα ἡ φύσις, οὐκ ἐθέλει πρὸς τὸ μετέωρον ἁπλῶσαι τὸν λόγον, οἷς ἔχω σὲ πτεροῖς μετερ-

πίστιν. εἰ δέ μου τῇ τῶν λόγων ἀπιστεῖς ὑποσχέσει, νῦν με ταῖς ἀληθείαις ἀδικεῖς, οὐχ ὅτε κατηγορήθης. εἰδὼς γάρ με μηδενὶ πώποτε παραβεβηκότα πίστιν, ὡς κατεγνωκὼς, ὅρκῳ μετέρχῃ. καὶ τί διαφέρει πρὸς δυσσέβειαν, ὅρκον ἢ πίστιν συγχέαι; ἀμφότερα γὰρ ἡ γνώμη βεβαιοῖ. Ἔρρωσο.

Ἀδειμάντῳ.

ἊΚούω σε διαφέρεσθαι πρὸς τὸν ἀδελφὸν ὁ πότερος ὑμῶν ἐστὶ χείρων, σοῦ μὲν ἐκεῖνον λέγοντος, ἐκείνου δὲ, τοὔμπαλιν σέ. ἐγὼ δ᾽ οἴομαι, μᾶλλον δὲ καλῶς πέπεισμαι, τῶν μὲν ἄλλων πάντων ἐκεῖνον εἶναι κακίω· σοῦ δὲ οὔτε ἐκεῖνον, οὔτε ἄλλων ἀνθρώπων οὐδένα. Ἔρρωσο.

Ἐπονίκῳ.

ΤΗς μὲν τῶν ἄλλων ἔχθρας ὅσοι τὶ κακόν με δεδράκασιν, ὡς παρακαλεῖς, κἂν ἐπιλαθοίμην. θνητοὺς γὰρ ὄντας, ἀθάνατον ὀργὴν ἔχειν, ὥς φασί τινες, οὐ προσήκει· τῆς μέντοι Πύθωνος εἰς ἐμαυτὸν δυσμενείας, οὐ μόνον ζῶν, ἀλλ᾽ οὐδ᾽ ἂν ἀποθανὼν, ὃ πᾶσι συμβαίνει τοῖς τετελευτηκόσιν, ἐπιλαθοίμην. ὁ γὰρ τὰ μέγιστά με τῶν κακῶν ἐργασάμενος, οὗτός ἐστιν, ὁ μετὰ τὴν ἐμὴν φυγὴν Εὐρυθίαν τὴν γυναῖκα βουλομένην ἐμὲ διώκειν, ἀναινομένην δὲ τούτῳ γήμασθαι, φαρμάκῳ διαφθείρας.

Δημαράτῳ.

ΜΗ θαύμαζε τὸν Ἀλκίνου καὶ Δορυμένους θάνατον, ὡς μετὰ πικρίας καὶ τυραννικῆς ὠμότητος πεπραγμένον. πολλῷ γὰρ ἔτι θαυμασιώτερον, δὶς καὶ τρὶς ἀδείας ἀξιωθέντας ὑπὸ τυράννου, τότε κολασθῆναι.

Ἱέρωνι.


ΠΟλλὰ λέγειν ἔχων καὶ κατὰ σοῦ, καὶ περὶ ἧς κατ᾽ ἐμοῦ πεφλυάρηκας ἐν Λεοντίνοις δημοκοπίας, οὐδὲν ἐρῶ περισσότερον, πλὴν ὅτι κώνωπος ἐλέφας Ἰνδὸς οὐκ ἀλεγίζει.

Νεολαΐδᾳ.

ΟΥ᾽δὲν ἄχαρι βούλομαί σε παθεῖν ἀπ᾽ ἐμοῦ. πλείω γὰρ εὑρίσκω σοι τὰ ἀγαθὰ πεπραγμένα, τῶν χειρόνων. διὸ καὶ τοῦτό σου τῶν βελτιόνων ἓν γινέσθω, τὸ μὴ προσαναγκάσαι με, τῷ χαλεπωτέρῳ τῆς ψυχῆς κατὰ σοῦ χρήσασθαι πάθει.

Ἀξιόχῳ.

ΣΕμνύνεσθαι μὲν, ὥσπερ ἐπ᾽ ἄλλῳ τινὶ τῶν καλῶν, καὶ ἐπ᾽ εὐγενείᾳ εἰκός ἐστιν. ἐγὼ δὲ μίαν εὐγένειαν, ἀρετὴν οἶδα, τὰ δ᾽ ἄλλα πάντα τύχην. καὶ γένοιτ᾽ ἂν ὁ μὲν ἐκ φαύλων ἀγαθὸς, καὶ βασιλέων καὶ πάντων εὐγενέστατος. ὁ δ᾽ ἐξ ἀγαθῶν φαῦλος, αὐτός τε ἑαυτοῦ καὶ τῶν ταπεινοτάτων δυσγενέστατος. ὥστε ψυχῆς ἔπαινον αὔχει πρὸς Συρακουσίους, μὴ προγόνων τεθνηκυῖαν ἐν ἀδοξοτέροις διαδόχοις εὐγένειαν.



Ε᾽Κ



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΒΡΟΥ͂ΤΟΥ ΣΤΡΑΤΗΓΟΥ͂ ῬΩΜΑΊΩΝ.

Βροῦτος Περγαμηνοῖς.

Ἀκούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα· ἃ εἰ μὲν ἑκόντες ἔδοτε, ὁμολογεῖτε ἀδικεῖν με· εἰ δὲ ἄκοντες, ἀποδείξατε, τῷ ἐμοὶ ἑκόντες δοῦναι.

Περγαμηνοὶ Βρούτῳ.

Χρήματα Δολοβέλλᾳ μὲν ἔτι δ᾽ ἀποροῦντες, ἐβιάσθημεν παρασχεῖν· σὺ δὲ ἡμᾶς δοῦναι θέλοντας ᾔτηκας, ὅτε δυσπλήρωτον ἐν ἀπορίᾳ τὸ πρόθυμον.

Βροῦτος Περγαμηνοῖς.

Τὰ χρήματα ὑμῶν ἐκόμισαν οἱ πρέσβεις· ὡς μὲν πρὸς τὴν ᾐτιᾶσθε ἀσθένειαν, πλείω· ὡς δὲ πρὸς τὴν ἡγούμεθα χρείαν, ὀλίγα. φυλάττεσθε οὖν μὴ καὶ δύνησθε πλεῖον, οὗ προσποιεῖσθε· καὶ βούλησθε ἔλαττον, ὃ δύνασθε.

Περγαμηνοὶ Βρούτῳ.

Ἐπέμψαμέν σοι χρήματα, εἰ καὶ τῆς σῆς ἐλάττονα χρείας, ἀλλ᾽ οὖν τῆς ἑαυτῶν ὑποσχέσεως πλείονα. παρῃτούμεθα μὲν γάρ, ὡς μικρότερα ἢ βουλόμεθα ἔχοντες, ἐπορίσαμεν δὲ, ὡς πλεῖον ἢ δυνάμεθα σπουδάσαντες.

Βρου

Βροῦτος Περγαμηνοῖς.

Δολοβέλλας ἐστὶν ἡμῖν μὲν πολέμιος, ὑμῖν δὲ φίλος· ᾧ εἰς ἅπαν καὶ καθ' ἡμῶν ὑπουργεῖσθε. τί δὴ τάχα ἂν ἕποιτο τοῖς τὰ αὐτὰ ἐκείνῳ ἑλομένοις, εἰ μὴ ἁλόντας ἴσα πολεμίοις πάσχειν; οὐδὲ γὰρ μετάνοιαν δοτέον τοῖς οὐ πρὶν, ἢ εἰς τὸ παντελὲς καμεῖν, μετανοοῦσι.

Περγαμηνοὶ Βρούτῳ.

Τῆς μὲν πάλαι πρὸς Δολοβέλλαν φιλίας, σὺ αἴτιος, ὀψὲ ἡμῖν ἐπιστέλλων. ἀνάγκη γὰρ τὰς ἐκείνου κολακεύειν ἐπιταγὰς, πρὶν ἢ σχεῖν, πρὸς ὃν ἀποκλίνωμεν. τὴν δὲ εἰς τὸ μέλλον μετάνοιαν μὴ ἀφαιροῦ, τὴν εἰ καὶ βραδέως, ἀλλ' οὖν ὅταν δυνώμεθα, τὸ ἀγνοηθὲν διορθουμένων.

Βροῦτος Ῥοδίοις.

Ξανθίους ἀποστάντας χειρωσάμενοι, ἡβηδὸν ἀπεσφάξαμεν τήν τε πόλιν κατεπρήσαμεν. Παταρεῦσι δὲ προσθεμένοις ἡμῖν, τήν τε φόρων ἄφεσιν ἐδώκαμεν, ἐλευθέρους καὶ αὐτονόμους αὐτοὺς εἶναι συγχωρήσαντες, εἰς ἐπισκευήν τε τῶν ὑπὸ τοῦ χρόνου καταλελυμένων παρ' αὐτοῖς, πεντήκοντα τάλαντα ἐχαρισάμεθα. ἡμῖν οὖν βουλομένοις περὶ ἑαυτῶν, πάρεστιν ὁρᾶν ὀψέ, εἴτε καὶ πολεμίους ἡμᾶς, ὥσπερ Ξάνθιοι, εἴτε φίλους καὶ εὐεργέτας, ὃν τρόπον Παταρεῖς, αἱρεῖσθαι.

Ῥόδιοι Βρούτῳ.

Οὐκ εἰ σὺ βαρέως τοῖς ἐλευθεριάσασι Ξανθίων προσηνέχθης, ἤδη καὶ ἡμεῖς τοὺς ἐπὶ δουλείᾳ δεκασθέντας μιμησόμεθα Παταρεῖς. ἀλλ' ἐκείνων μὲν ἀποδεξάμενοι τὴν τύχην πειρασόμεθα τῆς εὐγενείας ἔχεσθαι. τούτους δὲ μεμψάμενοι τῆς

γνώμης, ἐ ζηλώσομεν τὴν ἀπὸ σῦ λημμάτων, ἐνδοξοτέραν ἡγέμενοι τὴν μετὰ κινδύνων ἐλευθερίαν, τῆς ἐπὶ τῷ κερδαίνειν αὐτομολίας.

Βρῦτος Κώοις.

Ῥόδος μὲν ἤδη δεδούλωται Κασσίῳ, πόλις αὔθαδες ἐρον αἰσθομένη τῆς οἰκείας ἰσχύος μᾶλλον, ἢ βεβαιότερον: Λυκία δὲ ἡμῖν ὑπήκοος πᾶσα, ἡ μὲν πολέμῳ καμοῦσα, ἡ δὲ, ἐκ τῆς ἀνάγκης ὠφελημένη τὸ ἀβίαστον. ἑκόντες γὰρ εἵλοντο, ἃ μετ᾽ ἐ πολὺ, ἔμελλον μὴ βουλόμενοι. καὶ ὑμεῖς ἐν αἱρεῖσθε. ἢ πολέμῳ βιασθέντες δῦλοι. ἢ ἑκεσίως ἡμᾶς δεξάμενοι, φίλοι γενέσθαι.

Κῶοι Βρύτῳ.

Οὔτε ἡ Ῥοδίων ἅλωσις ἐξέπληξεν ἂν ἡμᾶς, μὴ τὰ σὰ φρονοῦντας, ἔτε ἡ Λυκίων εὐπραξία μετὰ κολακείας ἔπεισεν. ἐλπὶς γὰρ καὶ φόβος, ἐν φίλοις μὲν ἀξιόπιστα, ἐν δὲ τοῖς ἀλλοτριουμένοις εὐκαταφρόνητα. ἀλλ᾽ ἡμεῖς ἄνωθεν σοι προσχωροῦντες, καθ᾽ ἓν ἀχθόμεθα, εἴγε δόξαιμεν, ἢ ἀπειλῆς, ἢ ὑποσχέσεως γεγονέναι κτῆμα. ἔχε δὲ ἡμᾶς ὑπόδειγμα φιλίας πρὸς ἄλλους μᾶλλον, ἢ ἑτέρων ἐφ᾽ ἡμᾶς προσδέει.

Βρῦτος Παταρεῦσιν.

Ἀμάσιππον Ῥοδίων ναύαρχον, μετὰ τὴν Ῥοδίων ἅλωσιν φυγόντα μετὰ δυεῖν καταφράκτων, ἐπυθόμην παρ᾽ Ἑρμοδώρε τε σαμίε ἐμπόρε πεφευγέναι ἐν τῷ μεγίςῳ ὑμετέρῳ λιμένι. καταχθῆναι μὲν ἐν αὐτὸν ἐκεῖσε, ἐδὲν ἁμάρτημα ὑμέτερον ἡγέμαι εἶναι. καταχθέντα δὲ εἰ παραιτέρω ποι τ᾽ ὑμῶν ἀποδρᾶναι ἐάσετε, καὶ ἀδικίας, καὶ ἀνανδρείας ὑμῶν καταγνώσομαι:

Παταρεῖς Βρούτῳ.

ΕΙ' θᾶττον ἡμῖν Ε'ρμόδωρος, ἢ σοὶ περὶ τοῦ ναυάρχου προσήγγειλεν, οὐκ ἂν ὥς περ εἰσπλεύσας ἔλαθε Δαμάσιππος, ὅπου δὴ καὶ ἀπαίρων διέφυγεν, ἀλλὰ μέρος ἂν τῆς Ρ'οδίων ἁλώσεως ἐγένετο. νῦν δὲ σύγγνωθι τῷ τέλει τῆς ἀγνοίας, ἧς ὑποτίμησιν καὶ τὴν ἀρχὴν δέδωκας. οὔτε γὰρ ἀδικίας ἔργον τὸ λαθόντα καταδέξασθαι, οὔτε ἀσθενείας, τὸ ἐκδιδράσκοντα ἀγνοῆσαι.

Βροῦτος Καυνίοις.

ΕΥ'νοεῖν μὲν ἡμῖν πρεσβευόμενοι προσποιεῖσθε. τὰ δὲ ἔργα, εἰς οὐδὲν ὧν ἐχρῆν ἐσπουδακότας ἐλέγχει. ὁρᾶτε οὖν μὴ καὶ ἡμεῖς τῇ διὰ τῶν ἔργων πεισθέντες δυσμενείᾳ μᾶλλον, ἢ τῇ ἐκ τῶν λόγων ἡδονῇ θηρώμενο: ὡς ἐχθροῖς ὑμῖν προσενεχθῶμεν.

Καύνιοι πρὸς ταῦτα.

ΟΥ'δὲν θαυμαστὸν εἰ πρεσβεύοντες ὑπὲρ εὐνοίας ἐν ταῖς ὑπουργίαις, καταδεέστεροι τῆς χρείας ἐλεγχόμεθα. ἐκεῖνο μὲν γὰρ ἐσπουδακότων ἔργον, τοῦτο δὲ ἀσθενούντων. διὸ χρὴ τὴν ἐκ τῆς προθυμίας διάθεσιν μᾶλλον, ἢ τὸ ἐν τοῖς ἔργοις ὑποδεὲς σκοποῦντα, φίλους νομίζειν, τοὺς καὶ ἃ μὴ δυνάμεθα σπουδάζοντας.

Βροῦτος Λυκίοις.

Ο"Σα παρ' ὑμῖν ἐστι μηχανικὰ ὄργανα τειχομαχίας, ἢ ναυμαχίας, ἐπὶ Καύνου διαπέμψατε Κασσίῳ τῷ συνάρχοντί μου πορθοῦντι Ρ'όδον, θᾶττον ἡμερῶν τριάκοντα, ἀφ' ἧς ἂν ἡμέρας τὴν ἐπιστολὴν ταύτην δέξησθε, ἵνα μὴ τοῖς κατ' ἐκείνων

ἡμῖν παρεσκευασμένοις, ἀναγκασθῶμεν χρήσασθαι καθ' ἡμῶν.

Λύκιοι πρὸς ταῦτα.

Ὀξείας ἐπιταγῆς ἀπόκρισις μία, τὸ ῥαδίως ὑπουργῆσαι. διὸ πειρασόμεθα φθάσαι τοῖς ἔργοις, τὴν ἀπὸ σοῦ προθεσμίαν. ἐπεὶ καὶ σὺ ταῖς ἀπειλαῖς τὴν παρ' ἡμῶν ὑπόσχεσιν ἔφθακας. εἴη μέντοι τὰ ὄργανα μὴ ἄχρηστα φανῆναι διὰ παλαιότητα, ὡς καὶ τὰ Ῥοδίων εὑρήσεις ἐπ' ἄλλους ἄχρηστα.

Λυκίοις Βροῦτος.

ΞΑ'νθιοι τὴν ἐμὴν εὐεργεσίαν ὑπεριδόντες, τάφον τῆς ἰδίας ἀπονοίας ἐσχήκασι τὴν πατρίδα. Παταρεῖς δὲ πιστεύσαντες ἑαυτοὺς ἐμοί, οὐδὲν ἐλλείπουσι διοικοῦντες τὰ καθ' ἕκαστα τῆς ἐλευθερίας. ἐξὸν οὖν καὶ ὑμῖν, ἢ τὴν Παταρέων κρίσιν, ἢ τὴν Ξανθίων τύχην ἑλέσθαι.

Λύκιοι πρὸς ταῦτα.

ΞΑνθίοις μὲν συναχθόμεθα τῆς συμφορᾶς, ἣν πρόστιμον ἀνοίας ἔχουσι, τὸ μηδὲ μετανοῆσαι δύνασθαι. Παταρεῦσι δὲ συνήδημεν, σωφρόνως ἅμα καὶ εὐτυχῶς ἑλομένοις, ἃ ἔμελλε συνοίσειν. αὐτοὶ δὲ οὐχ οὕτως ἠλίθια φρονοῦμεν, ὥστε παρὸν ἐν φίλοις ἀριθμουμένοις εὐτυχεῖν, τὴν τῶν δι' ἔχθραν κεκολασμένων ἀτυχίαν ἑλέσθαι.

Σμυρναίοις Βροῦτος.

ΤΟ' πρόθυμον τῶν ὑπηκόων διηνεκὲς μὲν ὄν, βεβαιότητα δηλοῖ πρὸς τοὺς ἡγεμόνας. ἐλλεῖπον δὲ, καὶ τὸν ὅτε ἑτοίμως ὑπούργει χρόνον, δι' ἀσθένειαν ἐλέγχεται τὴν ἑαυτοῦ μᾶλλον, ἢ γνώμην ὑπουργεῖν. σπουδάσατε οὖν ἐκπληρῶσαι,

ὅσα

ὅσα ὑμῖν ἐπέστειλα πρὸς τὸν πόλεμον. ὡς εἰ νῦν κακοὶ φανεῖσθε, μὴ δ' ἣν πρόσθεν ἐπορίσασθε μαρτυρίαν, ἔτι οἰσόμενοι. οὐ γὰρ χρὴ δοκεῖν ἕξειν τὰ ἴσα, μὴ ὁμοίους ἀεὶ φανέντας.

Σμυρναῖοι πρὸς ταῦτα.

Ε'Τ' χῆς ἔργον, τὸ δύνασθαι διηνεκῶς. καιροῦ δὲ, τὸ ἐνίοτε μὴ ἀρκεῖν. τὰς δ' ὑπουργίας, οὐ μόνον αἱ ἀσθένειαι τῶν κελευσθέντων, ἀλλὰ καὶ ἡ συνέχεια τῶν ἐπιταγῶν ἐλλιπεῖς ποιεῖ. ἡμεῖς δὲ εἰ καὶ πάλαι διὰ φόβον ἐλειτουργοῦμεν, οὐδ' αὖ νῦν ἐτολμῶμεν ἀρνεῖσθαι. ἀλλὰ πᾶν τοὐναντίον ἢ δοκεῖ συμβέβηκεν. ἐσπούδασε μὲν γὰρ ἡ γνώμη τότε. ὑποτιμᾶται δὲ νῦν ἡ ἀσθένεια. ὥστε ἄτοπον, εἰ τοῖς ἐλλείμμασιν αἱ ὑπουργίαι διαβληθήσονται μᾶλλον, ἢ ταῖς ὑπουργίαις παρηγορηθήσεται τὸ ἐλλεῖπον.

Βροῦτος Μιλησίοις.

ΕΙ' μὲν ἔστιν ὑμῖν ὅπλα ἐν κοινῷ, μὴ χρώμενοι τούτοις, ἁμαρτάνετε. μία γὰρ ἰσχὺς ὅπλων, τὸ χρῆσθαι. εἰ δὲ καὶ τῆς κατασκευῆς αὐτῶν ἀμελεῖτε, μεμφθέντες αὖ εἰ καὶ ἔχοντες μὴ ἐχρῆσθε, πόσῳ μεμπτότεροι μὴ δὲ ἔχοντες;

Μιλήσιοι πρὸς ταῦτα.

ΟΥ' τὰ ὅπλα ἰσχὺς ἀνδρῶν, ἀλλὰ τῶν ὅπλων οἱ ἄνδρες. ἐκεῖνα μὲν γὰρ δίχα τῶνδε, ἄπρακτα· οἱ δὲ, καὶ ποιῆσαι αὐτὰ, καὶ χρήσασθαι αὐτοῖς δύνανται. οὔτε οὖν εἰ ἄπεστιν ὅπλα, ἐνδεῖ τοῖς ποιῆσαι αὐτὰ δυναμένοις, οὔτε χρήσιμα τυγχάνει, τοῖς κἂν ἔχωσι, χρῆσθαι μὴ δυναμένοις.

Βροῦτος τοῖς αὐτοῖς.

ΑΙ' βουλαὶ ὑμῶν ὀλίγωροι, αἱ ὑπουργίαι βραδεῖαι. τί τὸ τέλος τούτων, ἐννοεῖσθε.

Βιθυνοὶ πρὸς ταῦτα.

Βουλεύεσθαι μὲν ὀκνηρῶς, ἀσφάλεια. ὑπουργεῖν δὲ βραδέως, ἀσθένεια. τούτων ἀμφοτέρων ἓν τέλος, συγγνώμη.



ΕΚ ΤΩΝ ΤΟΥ ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΠΑΡΑΒΑΤΟΥ.

Ἰουλιανὸς Λιβανίῳ.

Ἀνέγνων χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν. ἀριστήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἶ λέγειν οὕτως, μᾶλλον δὲ φρονεῖν οὕτω δυνάμενος. ὢ λόγος. ὢ φρένες· ὢ σύνεσις. ὢ διαίρεσις· ὢ ἐπιχειρήματα· ὢ τάξις. ὢ ἀφορμαί. ὢ λέξις. ὢ ἁρμονία· ὢ συνθήκη.

Ἰουλιανὸς Μαξίμῳ φιλοσόφῳ.

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτα καὶ μεθ' ἡμέραν αὐτοῦ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν. ἡμεῖς δέ σου ταῖς ἐπιστολαῖς ὥσπερ παιωνίοις τισὶ φαρμάκοις συγκαθεύδομεν, καὶ οὐ διαλείπομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαραῖς ἔτι, καὶ πρῶτον εἰς χεῖρας ἡκούσαις. εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα τῆς σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐν θυμούμενος, ὡς ἡμῖν γ' ἕως ἂν ἀπῇς, οὐδὲ ὅτι ζῶμεν, εἰπεῖν ἐστι, ἢ ὅτε μόνον τοῖς παρὰ σοῦ γραφομένοις ἐντυχεῖν ἔξεστιν.

Ἰουλιανὸς τῷ αὐτῷ.

Ὁ Μὲν μῦθος ποιεῖ τὸν αἰετὸν, ἐπειδὰν τὰ γνήσια τῶν κυημάτων βασανίζῃ, φέρειν ἄπτιλα πρὸς τὸν αἰθέρα, καὶ ταῖς ἡλίου προσάγειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ θεῷ πατέρα ἀληθῶς νεοττοῦ γινόμενον, καὶ νόθου γονῆς ἀλλοτριούμενον. ἡμεῖς δέ σοι καθάπερ Ἑρμῇ λογίῳ, τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. κἂν μὲν ὑπομείνωσι τὴν ἀκοὴν τὴν σὴν, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι. εἰ δὲ μὴ, ῥῖψον ἐκεῖ καθάπερ μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον, ὡς νόθους. πάντως οὐδὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κελτούς. ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀκολάστου λέχους τιμωρὸς πρέπων. ὅσα δ' ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τοῦ παιδὸς σωτηρίαν ἀντιδωρούμενος.

Ἰουλιανὸς Εὐγενίῳ φιλοσόφῳ.

Δαίδαλον μὲν Ἰκαρίῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ. ἐγὼ δὲ ἐκεῖνον μὲν εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι. μόνος γὰρ κηρῷ λυσίμῳ τοῦ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. εἰ δέ μοι θέμις ἦν κατὰ τὸν Τήιον ἐκεῖνον μελοποιὸν εὐχῇ τὴν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐ κἂν δήπου πρὸς Ὄλυμπον, οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ' εἰς αὐτοὺς ἂν τῶν ὑμετέρων ὀρῶν τοὺς πρόποδας ἔπτην. ἵνα σὲ τὸ μέλημα τοὐμὸν, ὅς φησιν ἡ Σαπφὼ, περιπτύξωμαι. ἐπεὶ δέ με ἀνθρώπου σώματος δεσμῷ κατακλείσασα ἡ φύσις, οὐκ ἐθέλει πρὸς τὸ μετέωρον ἁπλῶσαι τὸν λόγον, οἷς ἔχω σὲ πτεροῖς μετέρ-

χομαι, καὶ γράφω καὶ σύνειμι τὸν δυνατὸν τρόπον. πάντως που καὶ Ὅμηρος αὐτοὺς οὐκ ἄλλου του χάριν, ἢ τούτου πτερόεντας ὀνομάζει, διότι δύνανται πανταχοῦ φοιτᾶν, ὥσπερ οἱ ταχύτατοι τῶν ὀρνίθων ᾗ ἂν ἐθέλωσιν, ἄττοντες. γράφε δὲ καὶ αὐτὸς, ὦ φίλος. ἴση γὰρ δήπου σοι τῶν λόγων, εἰ μὴ καὶ μείζων ὑπάρχει ἡ πτέρωσις, ᾗ τοὺς ἑταίρους μεταθεῖναι δύνασαι, καὶ πανταχόθεν ὡς παρὼν εὐφραίνειν.

Ἰουλιανὸς Εὐστοχίῳ.

Ἡσιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορτὰς τοὺς γείτονας, ὡς συνησθησομένους. ἐπειδὴ καὶ συναλγοῦσι καὶ συναγωνιῶσιν, ὅταν τις ἀπροσδόκητος ἐμπέσῃ ταραχή. φημὶ δὲ τοὺς φίλους δεῖν καλεῖν, οὐ τοὺς γείτονας. τὸ αἴτιον δὲ, ὅτι γείτονα μὲν ἔνεστιν ἐχθρὸν ἔχειν. φίλον δὲ οὐ μᾶλλον, ἢ τὸ λευκὸν μέλαν εἶναι, καὶ τὸ θερμὸν ψυχρόν. ὅτι δὲ ἡμῖν οὐ μόνον νῦν, ἀλλὰ καὶ πάλαι φίλος εἶ, καὶ διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο τεκμήριον, ἀλλά τοί γε ἡμᾶς οὕτω διατεθεῖσθαι καὶ διακεῖσθαι περὶ σὲ, μέγα ἂν εἴη τούτου σημεῖον. ἧκε τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός. ἄξει δέ σε ὁ δημόσιος δρόμος, ὀχήματι χρώμενον ἑνὶ καὶ παρίππῳ. εἰ δὲ χρή τι καὶ ἐπεύξασθαι, τὴν Ἐνοδίαν εὐμενῆ σοι, καὶ τὸν Ἐνόδιον παρακεκλήκαμεν.

Ἰουλιανοῦ νόμος περὶ τῶν ἰατρῶν.

Τὴν ἰατρικὴν ἐπιστήμην σωτηριώδη τοῖς ἀνθρώποις τυγχάνειν, τὸ ἐναργὲς τῆς χρείας μαρτυρεῖ. διὸ καὶ ταύτην ἐξ οὐρανοῦ πεφοιτηκέναι δικαίως φιλοσόφων παῖδες κηρύττουσι. τὸ γὰρ ἀσθενὲς τῆς ἡμετέρας φύσεως, καὶ τὰ τῶν ἐπισυμβαινόντων ἀρρωστημάτων ἐπανορθοῦται διὰ ταύτης. τοιγὰρ κατὰ τὸν τοῦ δικαίου λογισμὸν, συνῳδὰ τοῖς ἄνωθεν βασιλεῦσι θεσπίζον-

τες,

τες, ἡμετέρᾳ φιλανθρωπίᾳ κελεύομεν τῶν βουλευτικῶν λειτουργημάτων ἀνενοχλήτους ὑμᾶς τοὺς λοιποὺς χρόνους διάγειν.

Ἀλεξανδρεῦσι διάταγμα.

Ἐχρῆν τὸν ἐξελαθέντα βασιλικοῖς πολλοῖς πάνυ καὶ πολλῶν αὐτοκρατόρων προστάγμασιν, ἓν γοῦν ἐπίταγμα περιμεῖναι βασιλικὸν, εἶθ' οὕτως εἰς τὴν ἑαυτοῦ κατιέναι. ἀλλὰ μὴ τόλμῃ, μὴ δὲ ἀπονοίᾳ χρησάμενον, ὥσπερ οὐκ οὖσιν ἐνυβρίζειν τοῖς νόμοις. ἐπεί τοι καὶ τὸ νῦν ἡμεῖς τοῖς Γαλιλαίοις, τοῖς φυγαδευθεῖσιν ὑπὸ τοῦ μακαρίτου Κωνσταντίου, οὐ κάθοδον εἰς τὰς ἐκκλησίας αὐτοῖς, ἀλλ' εἰς τὰς πατρίδας συνεχωρήσαμεν. Ἀθανάσιον δὲ πυνθάνομαι τὸν τολμηρότατον ὑπὸ τοῦ συνήθους ἐπαρθέντα θράσους, ἀντιλαβέσθαι τοῦ λεγομένου παρ' αὐτοῖς ἐπισκοπῆς θρόνου. τοῦτο δὲ εἶναι καὶ τῷ θεοσεβεῖ τῶν Ἀλεξανδρέων δήμῳ μετρίως ἀηδές. ὅθεν αὐτῷ προαγορεύομεν ἀπιέναι τῆς πόλεως ἐξ ἧς ἂν ἡμέρας τὰ τῆς ἡμετέρας ἡμερότητος γράμματα δέξηται παραχρῆμα. μένοντι δὲ αὐτῷ τῆς πόλεως εἴσω, μείζους πολὺ καὶ χαλεπωτέρας προαγορεύομεν τιμωρίας.

Ἰουλιανὸς Γρηγορίῳ ἡγεμόνι.

Ἐμοὶ καὶ γράμμα παρὰ σοῦ μικρὸν, ἀρκεῖ μεγάλης ἡδονῆς πρόφασιν μνηστεῦσαι. καὶ τοίνυν οἷς ἔγραψας λίαν ἡσθεὶς, ἀντιδίδωμι καὶ αὐτὸς τὴν ἴσην, οὐ τῷ τῶν ἐπιστολῶν μήκει μᾶλλον, ἢ τῷ τῆς εὐνοίας μεγέθει τὰς τῶν ἑταίρων φιλίας ἐκτείνεσθαι δεῖν κρίνων.

Ἰουλιανὸς Λουκιανῷ σοφιστῇ.

Γράφω, καὶ ἀντιτυχεῖν ἀξιῶ τῶν ἴσων. εἰ δὲ ἀδικῶ συνεχῶς ἐπιστέλλων, ἀνταδικηθῆναι δέομαι τῶν ὁμοίων παθῶν.

Ἰουλια-

Ἰουλιανὸς Δοσιθέῳ.

Μικροῦ μοι ἐπῆλθε δακρῦσαι· ἀνεμνήσθην γὰρ τοῦ γενναίου καὶ πάντα θαυμασίου πατρὸς ἡμῶν· ὃν εἰ μὲν ζηλώσεις, καὶ αὐτός τε εὐδαίμων ἔσῃ, καὶ τῷ βίῳ δώσεις, ὥσπερ ἐκεῖνος, ἐφ' ὅτῳ φιλοτιμήσηται· ῥαθυμήσας δὲ, λυπήσεις ἐμὲ, σαυτῷ δὲ ὅτι μηδὲν ὄφελος, μέμψῃ.



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΡΙΣΤΟΤΈΛΟΥΣ.

Ἀλεξάνδρῳ.

Ἀπορῶ τίνων ἢ ποίων ἀρχὴν λάβοι πρὸς σέ. ἐφ' ἃ γὰρ ἂν ἐπισκοπῶν ἐπιβάλλω τῇ διανοίᾳ, πάντα μοι φαίνεται μεγάλα καὶ θαυμαστά. καὶ λήθης οὐδὲν ἄξιον ὁρῶ, μνήμης δὲ οἰκεῖα καὶ προσθέσεως· ὧν οὐδὲν οὐδεὶς ἀμαυρώσει χρόνος. αἱ γὰρ καλαὶ τῶν διδασκάλων παραινέσεις καὶ προσθέσεις θεατὴν ἔχουσι τὸν αἰῶνα. διὸ πειρῶ τὴν ἀρχὴν μὴ εἰς ὕβριν, ἀλλ' εἰς εὐεργεσίαν κατατίθεσθαι πρὸς ἀρχήν· ἧς οὐδὲν μεῖζον τῶν ἐν βίῳ ὑπάρχειν πέφυκε. διὸ καὶ τὸ θνητὸν τῆς φύσεως πολλάκις ὑπὸ τοῦ χρεὼν διαλυόμενον ἄφθαρτον διὰ τὸ μέγεθος τῶν ἔργων κέκτηται τὴν μνήμην. τοῦτον οὖν τὴν ἔννοιαν ἔχε. οὐ γὰρ ἀλογίστως ἤχθης ὡς ἔνιοι, οἳ ἀτόπως καὶ τὰς γνώμας διετέθησαν. σοὶ καὶ γένος ἔντιμον, καὶ βασιλεία πατρῷος, καὶ παιδεία βέβαιος, καὶ δόξα περίβλεπτος. καὶ ὅσον ταῖς ἀφορμαῖς τῆς τύχης διαφέρεις, τοσοῦτον καὶ ταῖς ἀρεταῖς τῶν καλῶν πρωτεύειν σε δεῖ. τὰ δ' ἄλλα πράττε μὲν τὰ ξυμφέροντα, ἐπιτέλει δὲ τὰ δόξαντα.

Φι-

Φιλίππῳ.

Οἱ πολλοὶ τῶν φιλοσόφων τὴν εὐεργεσίαν θεῷ ἰσότιμον παρεσκεύασαν· ὡς γὰρ ἁπλῶς εἰπεῖν, χάριτος ἀμοιβὴ καὶ δόσις συνέχει τοὺς τῶν ἀνθρώπων βίους, τῶν μὲν διδόντων, τῶν δὲ λαμβανόντων, τῶν δ' αὖ πάλιν ἀνταποδιδόντων· διὸ καλὸν καὶ δίκαιόν ἐστι πάντας μὲν τοὺς ἀτυχοῦντας ἐλεεῖν. οἶκτος μὲν γὰρ ἡμέρου ψυχῆς ἐστι σημεῖον, χαλεπότης δὲ ἀπαιδεύτου. αἰσχρὸν γὰρ καὶ σχέτλιον ἀρετὴν ἀτυχοῦσαν περιορᾶν· ὅθεν ἐπαινῶ καὶ τὸν ἡμέτερον γνώριμον Θεόφραστον λέγοντα τὴν χάριν ἀμεταμέλητον εἶναι· καὶ καλὸν καρπὸν φέρειν, τὸν παρὰ τῶν εὖ παθόντων ἔπαινον. διόπερ δεῖ τοὺς νοῦν ἔχοντας τῶν ἀνθρώπων εἰς πολλοὺς αὐτὴν κατατίθεσθαι, νομίζοντας χωρὶς τῆς εὐφημίας, ἔρανόν τινα τοῦτο αὐτοῖς ὑπάρξειν ἐν ταῖς μεταβολαῖς τῶν πραγμάτων, καὶ εἴγε μὴ πάντας, ἀλλ' ἕνα τινὰ τῶν εὐεργετημάτων ἀποδώσειν τὴν χάριν. ὅθεν πειρῶ πρόθυμος μὲν εἶναι ταῖς εὐεργεσίαις, ἔποχος δὲ τοῖς θυμοῖς. τὸ μὲν γὰρ βασιλικόν τε καὶ ἥμερον, τὸ δὲ βάρβαρόν τε καὶ συγνιτόν. τὰ δ' ἄλλα καθὼς ἂν δοκιμάζῃς, πράττε, μὴ παρορῶν τὰς λυσιτελεῖς ψήφους.

Φίλιππος Ἀριστοτέλει εὖ πράττειν.

Ἴσθι μοι γεγονότα υἱόν. πολλὴν οὖν τοῖς θεοῖς χάριν ἔχω, οὐχ οὕτως ἐπὶ τῇ γεννήσει τοῦ παιδὸς, ὡς ἐπὶ τῷ κατὰ τὴν σὴν ἡλικίαν αὐτὸν γεγονέναι. ἐλπίζω γὰρ αὐτὸν ὑπὸ σοῦ τραφέντα καὶ παιδευθέντα ἄξιον ἔσεσθαι καὶ ἡμῶν καὶ τῆς τῶν πραγμάτων διαδοχῆς.

Ἀλέξανδρος Ἀριστοτέλει εὖ πράττειν.

Οὐκ ὀρθῶς ἐποίησας ἐκδοὺς τοὺς ἀκροαματικοὺς τῶν λόγων· τίνι γὰρ ἔτι διοίσομεν ἡμεῖς τῶν ἄλλων, εἰ καθ' οὓς ἐπαιδεύθη-

διʼέθημεν λόγους, οὗτοι πάντων ἔσονται κοινοί; ἐγὼ δὲ βουλοίμην ἂν ταῖς περὶ τὰ ἄριστα ἐμπειρίαις, ἢ ταῖς δυνάμεσι διαφέρειν.

Ἀριστοτέλης Ἀλεξάνδρῳ εὖ πράττειν.

Ἔγραψάς μοι περὶ τῶν ἀκροαματικῶν λόγων, οἰόμενος δεῖν αὐτοὺς φυλάττειν ἐν ἀπορρήτοις. ἴσθι οὖν αὐτοὺς ἐκδεδομένους, καὶ μὴ ἐκδεδομένους· ξυνετοὶ γάρ εἰσι μόνοις τοῖς ἡμῶν ἀκούσασιν.



ΕʼΚ ΤΩ͂Ν ΤΟΥ͂ ΔΙΟΓΕʼΝΟΥΣ ΚΑΊ ΚΡΑʼΤΗΤΟΣ.

Ἀντιπάτρῳ.

Μὴ μέμφου με ὅτι σοι μεταπεμπομένῳ ἡμᾶς ἐπὶ Μακεδονίαν οὐκ ἐπείθημεν. οὐδʼ ὅτι τοὺς Ἀθήνησιν ἄλας προυκρίναμεν τῆς παρὰ σοῦ τραπέζης. οὐ γὰρ διʼ ὑπεροψίαν τοῦτʼ ἐπράξαμεν, ἀλλʼ οὐδὲ διὰ φιλοδοξίαν, διʼ ἣν τάχʼ ἴσως ἕτεροι ἂν ἐποίησαν, ἵνα τινὲς τοῖς πολλοῖς μεγάλοι δόξωσι βασιλεῦσι δυνάμενοι ἀντιλέγειν. συγγίνωσκε οὖν. καὶ γὰρ εἰ πρόβατα ἦμεν, συνέγνως ἂν μὴ πεισθεῖσιν, ὅτι οὐκ ἦν προβάτοις τροφὴ καὶ βασιλεῦσιν ἡ αὐτή. φυλακῇ οὖν τῆς οὐσίας μᾶλλον ἀντείπαμέν σοι, καὶ οὐχ ὑπεροψίαις. ἔα οὖν ἕκαστον ὅπου δύναται ζῆν. βασιλικὸν γὰρ τοῦτο, καὶ οὐ τὸ ἕτερον.

Κράτητι.

Χωρισθέντος σου εἰς Θήβας, ἀνέβαινον ἐκ Πειραιῶς ὑπὸ μέσην ἡμέραν. καὶ διὰ τοῦτο λαμβάνει με δίψος καρτερόν. ὥρμησα οὖν ἐπὶ τὴν Πάνωπος κρήνην. καὶ ἕως ἐγὼ τὸ ποτήριον

ριον ἐκ τῆς πήρας ἐξῄρουν, ἧκέ τις θεῶν θεράπων τῶν τὴν χώραν ἐργαζομένων. καὶ συνάψας κοίλας τὰς χεῖρας ἠρύετο ἀπὸ τῆς κρήνης, καὶ οὕτως ἔπινε. καὶ ἐγὼ δόξαν μοι ποτηρίου σοφώτερον εἶναι, οὐκ ᾐδέσθην διδασκάλῳ αὐτῷ τῶν καλῶν χρήσασθαι. ἀπορρίψας οὖν τὸ ποτήριον ὃ εἶχον, καί σοι εὑρών τινας ἐπὶ Θηβῶν ἀνερχομένους τὸ σοφὸν τοῦτο ἐπέσταλκα, οὐ γὰρ βουλόμενος τῶν καλῶν δίχα σου ἐπίστασθαι. ἀλλὰ καὶ σὺ διὰ τοῦτο πειρῶ εἰς τὴν ἀγορὰν ἐμβάλλειν, ἵνα πολλοὶ διατρίβουσιν ἄνθρωποι. ἔσται γὰρ ἡμῖν οὕτω καὶ ἄλλα σοφὰ παρὰ τῶν κατὰ μέρος εὑρεῖν. πολλὴ γὰρ ἡ φύσις· ἣν ἐκβαλλομένην ὑπὸ τῆς δόξης ἐκ τοῦ βίου, ἐπὶ σωτηρίᾳ ἀνθρώπων κατάγομεν ἡμεῖς.

Κράτητι.

Ἐπυθόμην σε τὴν οὐσίαν ἅπασαν κατενεγκεῖν εἰς τὴν ἐκκλησίαν, καὶ παραχωρῆσαι τῇ πατρίδι, καὶ στάντα ἐν μέσῳ κηρύξαι, Κράτης Κράτητος Κράτητα ἀφίησιν ἐλεύθερον. ἡσθῆναι οὖν ἐπὶ τῇ δωρεᾷ τοὺς πάντας ἀστούς, καὶ ἀγασθῆναι ἡμᾶς τοὺς τῶν τοιούτων ἀνθρώπων ποιητάς, ἐθελῆσαι δὲ διὰ τοῦτο μεταπέμψαι ἡμᾶς Ἀθήνηθεν, σὲ δὲ ἐπιστάμενον τὴν ἡμετέραν κρίσιν κωλῦσαι. ἐνταῦθα μὲν οὖν ἐπαινῶ σε τοῦ νοῦ. ἐπὶ δὲ τῇ παραδόσει τῆς οὐσίας καὶ ἄγαμαι. ἐπεὶ θᾶττον ἢ προσεδόκησα, κρείττων ἐγένου τῶν δοξῶν. ἀλλὰ διὰ ταχέων ἐπάνηκε. ἔτι γάρ σοι δεῖ πρὸς τἄλλα συνασκήσεως, καὶ χρονίζειν ἔνθα μὴ εἰσὶν ὅμοιοι, οὐκ ἀσφαλές.

Ἀπολλήξιδι.

Ἐνέτυχόν σοι περὶ οἰκήσεως καὶ χάριν ὑποσχομένῳ. κοχλίαν δὲ θεασάμενος, εὗρον οἴκησιν ἀλεεινήν. ἀπολέλυσο οὖν τῆς ὑπηρεσίας καὶ σύγχαιρε ἡμῖν τὴν φύσιν εὑρίσκουσιν.

Ἀλε-

Ἀλεξάνδρῳ.

Εὐαγγελίζῃ μοι βασιλέα Μακεδόνων σπουδάζειν περὶ τὴν θέαν ἡμῶν. εὖ δὲ ἐποίησας προσθεὶς τῷ βασιλεῖ τοὺς Μακεδόνας. τὰ γὰρ ἡμέτερα ᾔδεις ἀβασίλευτα. ἰδεῖν δὲ τὸν ἐμὸν τύπον μηδεὶς ὡς ξένον βουλεύεσθω. εἰ δὲ μεταλαβεῖν Ἀλέξανδρος βίου καὶ λόγου βούλεται, λέγε αὐτῷ ὅτι ὅσην ἐξ Ἀθηνῶν εἰς Μακεδονίαν, τοσοῦτον καὶ ἐκ Μακεδονίας εἰς Ἀθήνας.

Κράτης Τοῖς ἑταίροις.

ΜΕλέτω ὑμῖν τῆς ψυχῆς. τοῦ δὲ σώματος ὅσον ἀνάγκη. τῶν δ' ἔξω μὴ δ' ὅσον. εὐδαιμονία γὰρ οὐχ ἡδονὴ, δι' ἣν τῶν ἐκτὸς χρεία, ἀλλ' ἀρετὴ μετ' οὐδενὸς τῶν ἐκτὸς τελεία.

Ἑρμαΐσκῳ.

ΕἼθ' αἱρετὸν ὁ πόνος, πόνει. εἴτε φευκτὸν, πόνει, ἵνα μὴ πονῇς. διὰ γὰρ τοῦ μὴ πονεῖν, οὐ φεύγεται πόνος. τῷ δὲ ἐναντίῳ, καὶ διώκεται.

Τοῖς ἑταίροις.

ΚΑλὸν νόμος. ἀλλ' οὐ κρείττων φιλοσοφίας. ὁ μὲν γὰρ βιάζεται μὴ ἀδικεῖν, ἡ δὲ διδάσκει. ὅσῳ δὲ χεῖρόν ἐστιν ἀνάγκη τί ποιεῖν τοῦ ἑκουσίως, τοσούτῳ ὁ νόμος φιλοσοφίας. ὥς τε διὰ ταῦτα φιλοσοφεῖτε, καὶ μὴ πολιτεύεσθε. κρεῖττον γὰρ δι' οὗ διδάσκονται ἄνθρωποι δικαιοπραγεῖν ἐπίστασθαι, ἢ δι' οὗ ἀναγκάζονται μὴ ἀδικεῖν.

Τοῖς αὐτοῖς.

ΦΙλοσοφεῖτε πολλάκις, ἢ ἀναπνεῖτε. αἱρετώτερον γὰρ τὸ εὖ ζῆν, ὃ ποιεῖ φιλοσοφία, τοῦ ζῆν ὃ ποιεῖ ἀναπνοή. καὶ μὴ ὡς ἄλλοι. ἀλλ' ὡς ἤρξατο μὲν Ἀντισθένης, ἐτελείωσε δὲ

Διο-

Διογένης. εἰ δὲ δύσκολον τὸ ὧδε φιλοσοφεῖν, ἀλλὰ συντομώτερον. πρὸς δὲ εὐδαιμονίαν, ὡς ἔλεγε Διογένης, κἂν διὰ πυρὸς βαδιστέον.

Διογένει.

Ἀπὸ μὲν δὴ τοῦ πλούτου ἤδη ἐλευθεριάζομεν. ἡ δὲ δόξα ἡμᾶς οὐδέπω ἔτι καὶ νῦν μεθίεται τῆς δουλείας. καίτοι νὴ τὸν Ἡρακλέα ἡμῶν πάντα ποιούντων εἰς τὸ ἀφεθῆναι παρ' αὐτῆς. ἄλλως δὲ καὶ τὸ δὲ ἐμαυτὸν τῆς δεσποίνης λυτρώσομαι πλεύσας Ἀθήναζε, φέρων σοι δωρεάν. εἰς ἣν ἐξείλεθ' ἡμᾶς ὁ παρὰ σοῦ λόγος ἐμαυτῷ τὸ κρεῖττον πάντων κτῆμα.

Μνασοῖ.

Μὴ ἀπέχου τοῦ καλλίστου κόσμου. ἀλλὰ κόσμει σαυτὴν ἑκάστης ἡμέρας, ἵνα διαφέρουσα ᾖς. κάλλιστος δὲ κόσμος ἐστὶν, ὁ κάλλιστα κοσμῶν. κάλλιστα δὲ κοσμεῖ, ὁ κοσμιωτάτην ποιῶν. κοσμιωτάτην δὲ ποιεῖ, κοσμιότης. ᾗ μοι δοκοῦσι καὶ ἡ Πηνελόπη καὶ ἡ Ἄλκηστις κεκοσμῆσθαι, καὶ ἔτι καὶ νῦν ἐπ' ἀρετῇ ὑμνεῖσθαι, καὶ τιμᾶσθαι. ἵν' οὖν καὶ σὺ ταύταις ἐνάμιλλος γένῃ, πειρῶ τούτων ἀντέχεσθαι τῶν παραινουμένων.

Ὠρειγένει.

Οὐ ποιεῖ ἀγρὸς σπουδαίους οὐδὲ ἄστυ φαύλους, ἀλλ' αἱ σὺν τοῖς ἀγαθοῖς καὶ κακοῖς διατριβαί. ὥστ' εἰ βούλει ἀγαθοὺς καὶ μὴ κακοὺς γενέσθαι σοι τοὺς παῖδας, πέμπε μὴ κατ' ἀγρὸν, ἀλλ' εἰς φιλοσόφους. ἵνα καὶ αὐτοὶ βαδίζοντες, τὰ καλὰ ἐμάθομεν. ἀσκητὸν γὰρ ἀρετὴ, καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.



ΕΚ ΤΩΝ ΤΟΥ ΑΛΚΙΦΡΟΝΟΣ, ΦΙΛΟΣΤΡΑΤΟΥ, καὶ ΑΡΙΣΤΑΙΝΕΤΟΥ.

Κέφαλος Ποντίῳ.

Τὴν μὲν θάλατταν ὡς ὁρᾷς φρίκη κατέχει. καὶ τὸν οὐρανὸν ὑποβέβηκεν ἀχλύς. καὶ πάντα πανταχόθεν συννέφελα· καὶ οἱ ἄνεμοι πρὸς ἀλλήλους ἀρασσόμενοι ὅσον οὔπω κυκήσειν τὸ πέλαγος ἐπαγγέλλονται. ἀλλὰ καὶ οἱ δελφῖνες ἀνασκιρτῶντες καὶ τῆς θαλάττης ἀνοιδουμένης λείως ἐφαλλόμενοι χειμῶνα καὶ τάραχον ἐπιόντα μηνύουσι. ταύρου δέ φυσιν ἐπὶ πολλὴν κατ' οὐρανὸν οἱ τὰ μετέωρα δεινοὶ τανῦν ἑστάναι. πολλάκις οὖν σώζονται ὑπ' ἀσφαλείας οἱ προθυμούμενοι φυλάξασθαι τὸν κίνδυνον· εἰσὶ δὲ οἱ παραδόντες ἑαυτοὺς ἅπαξ τῷ πελάγει ὑπ' ἀμηχανίας τῇ τύχῃ τοὺς οἴακας ἐπιτρέπουσι φέρεσθαι. ὅθεν ἀκούομεν τοὺς μὲν, κατὰ τὸ Μαλέου ἀκρωτήριον, τοὺς δὲ κατὰ τὸν Σικελικὸν πορθμὸν, ἄλλους δὲ εἰς τὸ Λυκιακὸν πέλαγος ῥύμῃ φερομένους ἐποκείλειν, ἢ καταδύεσθαι. ἔστι δὲ οὐδὲν τούτων πρὸς χειμῶνα καὶ κίνδυνον ὁ Καφηρεὺς ἐπιεικέστερος. ἀναμείναντες οὖν ἀπολῆξαι τὸ κλυδώνιον καὶ καθαρὰν εὐδείαν γενέσθαι ἀέρι, νοστήσωμεν ἄχρι καὶ αὐτοῦ τοῦ Καφηρέως τῶν ἀκτῶν. ἵν' εἴπου τι τῶν ἐκ ναυαγίας ἀποπτυσθὲν εὑρεθείη σῶμα, τοῦτο περιστείλαντες ταφῇ καλύψωμεν. οὐ γὰρ ἄμισθον τὸ εὐποιεῖν, κἂν μὴ παραχρῆμα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. τρέφει δὲ οὐδὲν ἧττον τοὺς ἀνθρώπους πρὸς τοῖς ἐλπιζομένοις ἀγαθοῖς, καὶ διαχεῖ τὴν καρδίαν τὸ συνειδός. καὶ μάλισθ' ὅταν εἰς τοὺς ὁμοφύλους οὐκ ἔτ' ὄντας τὴν εὐποιΐαν καταβάλλωνται.

Θυ-

Θυνναῖος Σκοπέλῳ.

Α'Κήκοας ἀκουσμάτων βαρυτάτων ὦ Σκόπελε; στόλον Ἀθηναῖοι διανοοῦνται πέμπειν εἰς τὴν ὑπερορίαν ναυμαχεῖν ἐθέλοντες. καὶ ἤδη μὲν ἡ πάραλος καὶ ἡ Σαλαμινία αἱ μάλιστα ταχυναυτοῦσαι πρόδρομοι λύουσι τῶν ἠϊόνων τὰ πρυμνήσια, τοὺς μαστῆρας οἳ μέλλουσιν ἐπαγγέλλειν παρ' οὗ καὶ ὅτε δεῖ ἀπιέναι πολεμήσοντας ἐνθέμεναι· χρεία ταῖς λοιπαῖς ναυσὶ τὸ στρατιωτικὸν τάγμα δεχομέναις ἐρετῶν πλειόνων καὶ οὐχ ἥκιστα ἐμπείρων, ἀνέμοις καὶ κύμασιν ἀπομάχεσθαι. τί οὖν ὦ βέλτιστε δρῶμεν φεύγομεν, ἢ μένομεν; ἀνδρολογοῦσι δ' ἐκ Πειραιῶς καὶ Φαληρόθεν καὶ Σουνίου καὶ μέχρι τῶν ἐν τῷ Γεραιστῷ προσοίκων ὁρίων τοὺς τῆς θαλάττης ἐργάτας· πῶς δὲ καὶ ἡμεῖς, εἰ μὴ δὲ τὴν ἀγορὰν εἰδότες ὑπομεῖναι μὲν παρατάττεσθαι, καὶ ὁπλομάχοις ἀνδράσιν ὑπηρετεῖσθαι. δυοῖν δὲ ὄντοιν χαλεποῖν τοῦτε φεύγειν ἐπὶ τέκνοις καὶ γυναιξὶ, τοῦτε μέλλειν ξίφεσιν ὁμοῦ καὶ θαλάττῃ παραδιδόναι τὸ σῶμα, τοῦ μένειν ὄντος ἀλυσιτελοῦς, τὸ φεύγειν ἐφάνη λυσιτελέστερον.

Ἀλίκτυπος Ἐγκύμονι.

Δυσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμὸς, φησὶν ἡ παροιμία. τίς γάρ σοι τῶν ἐμῶν φροντίς; τί δὲ τὸ παρ' ἐμοῦ ῥᾳθυμίας ἠξιωμένον, κτῆμα σὸν εἶναι νομίζεις; εἶργε τὰς χεῖρας, μᾶλλον δὲ τὰς ἀπλήστους ἐπιθυμίας. μὴ δέ σε ἡ τῶν ἀλλοτρίων ὄρεξις ἀδίκους αἰτεῖν χάριτας ἐκβιαζέσθω.

Ἀμνίων Φιλομόσχῳ.

Ἀπέκειρεν ἡμῶν ἡ χάλαζα βαρέως ἐμπεσοῦσα τὰ λήϊα. καὶ λιμοῦ φάρμακον οὐδέν. ὠνεῖσθαι ἡμῖν ἐπακτοὺς πυροὺς οὐχ

οἷόν τε διὰ σπάνιν κερμάτων· ἔστι δέ σοι ὡς ἀκούω τῆς πέρυσι εὐετηρίας λείψανα. δάνεισον οὖν μοι μεδίμνους εἴκοσι, ὡς ἂν ἔχοιμι σώζεσθαι αὐτὸς, καὶ ἡ γυνὴ, καὶ τὰ παιδία. καρπῶν δὲ εὐφορίας γενομένης, ἐκτίσομεν αὐτὸ τὸ μέτρον καὶ λῷον, ἐάν τις εὐθηνία γένηται. μὴ δὲ περιίδῃς ἀγαθοὺς γείτονας εἰς στενὸν τοῦ καιροῦ φθειρομένους.

Εὔστολος Ἐλατίωνι.

ΟΥ᾽δέν με τῆς γῆς ἀμειβομένης τῶν πόνων ἄξιον, ἔγνων ἐμαυτὸν ἐπιδοῦναι θαλάττῃ καὶ κύμασι. ζῆν μὲν γὰρ καὶ τεθνάναι μεμοίραται ἡμῖν. οὐκ ἔστι τὸ χρέος φυγεῖν, κἂν ἐν οἰκίσκῳ τις καθείρξας αὐτὸν τηρῇ. ἐνεργὸς γὰρ ἡ ἡμέρα ἐκείνη, καὶ τὸ πεπρωμένον ἄφυκτον. ὥστε τὸ ζῆν οὐχ ὑπὸ τούτων ταλαντεύεται, ἀλλ᾽ ὑπὸ τῇ τύχῃ βραβεύεται. ἤδη γάρ τινες μὲν ἐπὶ γῆς ὠκύμοροι, ἐπὶ θαλάττης δὲ μακαρόβιοι κατεβίωσαν. ὥστε εἰδὼς ταῦθ᾽ οὕτως ἔχειν, ἐπὶ ναυτιλίαν βαδιοῦμαι, καὶ ἀνέμοις ὁμιλήσω καὶ κύμασι· κρεῖττον γὰρ ἐπανήκειν ἐκ Βοσπόρου καὶ Προποντίδος νεόπλουτον, ἢ καθήμενον ἐπὶ τοῖς τῆς Ἀττικῆς ἐσχατιαῖς λιμῶδες καὶ αὐχμηρὸν ἐρυγγάνειν.

Φιλόστρατος Ἐπικτήτῳ.

ΕΙ᾽ κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πελαργοὺς ἐπειδὰν παριόντες ἡμᾶς κροτῶσιν, ἡγοῦ δῆμον τοσούτῳ σωφρονέστερον τοῦ Ἀθηναίων, ὅσῳ μὴ δὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

Φι-

Φιλήμονι.

Τὸν τραγῳδὸν Διοκλέα, εἰ μὲν ἤδη γνώσκεις, ἐπαινεῖς δήπου· εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς ἐπαινουμένοις γράφε· καὶ γενοῦ περὶ αὐτὸν οἷον εἰκός, ἢ τὸν πεπεισμένον, ἢ τὸν μὴ ἀπιστοῦντα.

ΑΡΙΣΤΑΙΝΕΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

Ἀρισταίνετος Φιλοκάλῳ.

Λαΐδα τὴν ἐμὴν ἐρωμένην εὖ μὲν ἐδημιούργησεν ἡ φύσις· κάλλιστα δὲ πάντων ἐκόσμησεν Ἀφροδίτη, καὶ τῶν χαρίτων συνηρίθμησε τῷ χορῷ. ὁ δὲ χρυσοῦς ἔρως ἐπαίδευσε τὴν ποθουμένην εὐστόχως ἐπιτοξεύειν ταῖς τῶν ὀμμάτων βολαῖς. ὦ φύσεως τὸ κάλλιστον φιλοτέχνημα, ὦ γυναικῶν εὔκλεια, καὶ διὰ πάντων ἔμψυχος τῆς Ἀφροδίτης εἰκών. ἐκείνη γάρ (ἵνα κάλλος ἀφροδίσιον εἰς δύναμιν διαγράψω τοῖς λόγοις) λευκαὶ μὲν ἐπιμὶξ καὶ ὑπέρυθροι παρειαί, καὶ ταύτῃ τὸ φαιδρὸν ἐκμιμούμεναι τῶν ῥόδων· χείλη δὲ λεπτὰ καὶ ἠρέμα διῃρημένα, καὶ τῶν παρειῶν ἐρυθρότερα. ὀφρύς τε μέλαινα, τὸ μέλαν ἄκρατον. τὸ δὲ μεσόφρυον ἐμμέτρως τὰς ὀφρῦς διορίζει· ῥὶς εὐθεῖα, καὶ παρεισουμένη τῇ λεπτότητι τῶν χειλῶν· ὀφθαλμοὶ μεγάλοι τε καὶ διαυγεῖς, καὶ καθαρῷ φωτὶ διαλάμποντες. τὸ δὲ μέλαν αὐτῶν, αἱ κόραι μελάντατοι· καὶ τὸ κύκλῳ λευκόν, αἴγλῃ λευκότατον· καὶ ἑκάτερον ὑπερβολῇ πρὸς τὸ ἕτερον ἐπιδείκνυται· καὶ τὸ λίαν ἀνόμοιον, εὐδοκιμεῖ παρακείμενον. ἔνθα δὴ τὰς χάριτας ἐγκαθιδρυμένας πάρεστι προσκυνεῖν. ἡ δὲ κόμη φυσικῶς ἐνελισσομένη ὑακινθίνῳ ἄνθει καθ' Ὅμηρον ἐμφερής· καὶ ταύτην αἱ χεῖ-

ρες τιμελοῦσι τῆς Ἀφροδίτης. τράχηλος λευκός τε καὶ σύμμετρος τῷ προσώπῳ· κἂν ἀκόσμητος ᾖ, δι' ἁβρότητα τεθάρρηκεν ἑαυτῷ. περίκειται μέντοι λιθοκόλλητον περιδέρραιον, ἐν ᾧ τοὔνομα γέγραπται τῆς καλῆς. γράμματα δ' ἐστὶ τῶν λιθιδίων ἡ θέσις. ἔστι δὲ εὐμήκης ἡλικία· σχῆμα καλόν τε καὶ περίμετρον, καὶ τῷ τύπῳ συνδιατιθέμενον τῶν μελῶν. ἐνδεδυμένη μὲν, εὐπροσωποτάτη. ἐκδῦσα δὲ, ὅλη πρόσωπον φαίνεται. βάδισμα τεταγμένον, βραχὺ δὲ, ὥσπερ κυπάριττος ἢ φοῖνιξ, σειόμενον ἡσυχῇ. ἐπεὶ φύσει τὸ κάλλος ἐστὶν ὑπερήφανον. ἀλλ' ἐκείνους μὲν, οἷα φυτὰ, κινεῖ ζεφύρου πνοή· αὐτὴν δέ πως ὑποσαλεύουσι τῶν ἐρώτων αἱ αὖραι. ταύτην ἑαυτοῖς ὡς οἷόν τε ἦν, οἱ κορυφαῖοι γεγράφασι τῶν ζωγράφων. ἡνίκα οὖν δέει γράφειν Ἑλένην ἢ Χάριτας, ἢ καὶ αὐτήν γε τὴν ἄρχουσαν τῶν Χαρίτων, οἷον εἰς ὑπερφυὲς παράδειγμα κάλλους ἀφορῶντες, ἀνασκοποῦσι τὴν εἰκόνα Λαΐδος, κἀντεῦθεν ἀποτυποῦνται θεοπρεπῶς τὸ φιλοτεχνούμενον εἶδος. μικροῦ με παρῆλθεν εἰπεῖν, ὡς κυδωνιῶντες οἱ μαστοὶ τὴν ἀμπεχόνην ἐξωθοῦσι βιαίως. οὕτω μέντοι σύμμετρα καὶ τρυφερὰ τῆς Λαΐδος τὰ μέλη, ὡς ὑγροφυῶς αὐτῆς λυγίζεσθαι τὰ ὀστᾶ τῷ περιτυπουμένῳ δοκεῖν. τοιγαροῦν, ταῦτα μικροῦ γε ὁμοίως δι' ἁπαλότητα συναπομαλάττεται τῇ σαρκὶ, καὶ ταῖς ἐρωτικαῖς ἀγκάλαις ὑπείκει. ἡνίκα δὲ φθέγγεται, βαβαὶ, ὅσαι τῆς ὁμιλίας αὐτῆς αἱ σειρῆνες· ὅσον ἡ γλῶττα στωμύληθρος. τῶν Χαρίτων πάντων ἡ Λαῒς τὸν κεστὸν ὑπεζώσατο, καὶ μειδιᾷ πάνυ ἐπαγωγόν. οὕτως οὖν τὴν ἐμὴν ὡραϊζομένην καὶ τρυφῶσαν ὑπὸ πλούτου τῆς εὐπρεπείας, οὐδ' ἂν ὁ Μῶμος ἐν ἐλαχίστῳ μωμήσαιτο. ἀλλὰ πόθεν ἄρα με τοιαύτης ἠξίωσεν Ἀφροδίτη; περὶ κάλλους οὐκ ἠγωνίσατο παρ' ἐμοί. Ἥρας, Ἀθηνᾶς, οὐκ ἔκρινα τὴν θεὸν εὐπρεπεστέραν ὑπάρχειν. ψῆφον αὐτῇ δίκης οὐκ ἀπέδωκα μῆλον. καὶ ἁπλῶς μοι ταύτην πεφιλοτίμηται τὴν Ἑλένην. ὦ πότνια Ἀφροδίτη. τί σοι τῆς Λαΐδος οὕνεκα θύσω; ἣν οἱ προσβλέποντες ἀποστοπιάζουσιν

ὧδε

ὥστε σὺν θαύματι προσευχόμενοι τοῖς θεοῖς. Ἄπιτω φθόνος τοῦ κάλλους. ἄπιτω βασκανία τῆς χάριτος. τοσοῦτον αὐτῇ πάρεστιν εὐπρεπείας, ὡς τῶν προσιόντων ἀγλαΐζειν τὰς κόρας τὴν Λαΐδα· καὶ γέροντες εὖ μάλα πρεσβῦται θαυμάζουσιν, ὡς οἱ παρ᾽ Ὁμήρου δημογέροντες τὴν Ἑλένην· καὶ εἴθε, φασὶν, ἢ ταύτην ἐτυχήσαμεν ἡβῶντες, ἢ νῦν ἠρξάμεθα τῆς ἡλικίας. Οὐ νέμεσις τὸ γυναῖον εἶναι διὰ στόματος τῇ Ἑλλάδι, ἔνθα κωφοὶ διανεύουσιν ἀλλήλοις τῆς Λαΐδος τὸ κάλλος. οὐκ ἔχω ὅτι λέγω, οὐδ᾽ ὅπως παύωμαι· λήξω δ᾽ ὅμως σὺν μέγιστον ἐπευχόμενος τοῖς γραφεῦσι, τῆς Λαΐδος τὴν χάριν· ἧς δι᾽ ἔρωτα πολὺν, οἶδα καὶ νῦν τὸ προσφιλὲς ὄνομα πολλάκις εἰπών.

ΔΟ΄ΛΟΣ ΓΥΝΑΙΚΟ΄Σ ΚΑΙΝΟΠΡΕΠΩ͂Σ ΤΟ΄Ν ΣΥ΄ΝΟΙΚΟΝ Α΄ΠΑΤΩ΄ΣΗΣ.

Ἀλκίφρων Λουκιανῷ.

Πανηγύρεως ἐν προαστείῳ πανδημεὶ τελουμένης, καὶ δημοθοινίας ἀφθόνου, Χαρίδημος ἐπ᾽ εὐωχίαν συνεκαλεῖτο τοὺς φίλους· ἔνθα καὶ γυνή τις παρῆν· ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν· ἣν αὐτὸς ὁ Χαρίδημος (οἶσθα δὲ τὸν νέον, ὡς ἐρωτικὸς) ἐν ἀγορᾷ προσιοῦσαν ἰδὼν ἀγκιστρεύει, καὶ πέπεικε παραγενέσθαι τῷ δείπνῳ. πάντων οὖν εἰς ταυτὸν ἀθροιζομένων τῶν δαιτυμόνων, ὁ χρυσοῦς ἑστιάτωρ εἰσῄει πρεσβύτην τινὰ συνεπαγόμενος, καὶ αὐτὸν δὴ συγκεκλημένον ἡμῖν· ὃν ἐκείνη προσιόντα πόρρωθεν κατιδοῦσα, ὀξέως ὑπέδυ, καὶ θᾶττον νοήματος εἰς τὸν πλησίον οἶκον ἀπέδρα· κἀκεῖσε μεταπεμψαμένη Χαρίδημον, ἀγνοίας, ἔφη, μέγιστον κακὸν κατειργάσω. Οὗτος ὁ πρεσβύτης, ἀνήρ ἐστιν ἐμὸς, καὶ τὴν ἐσθῆτα, ἣν ἐνδυσαμένη κατέλιπον ἔξω, ῥαδίως ἐπέγνω, καὶ ὑποψίας, ὡς εἰκὸς, γέγονε πλήρης. ὅμως αὖ ταύτην λάθρα καὶ βραχέα τῶν ὄψων ἐπι-

δώσης, αὐτὸν ἐξαπατήσω· καὶ τὸν νοῦν αὐτῆς κατ' ἐμοῦ διενοχλοῦντα λογισμὸν, ἑτέρως παρατρέψω. τούτων οὖν ἐπιδοθέντων, ἀνέζευξεν οἴκαδε· καὶ τὸν σύνοικον ἔφθη, οὐκ οἶδ' ὅπως ἐκφυγοῦσα· καὶ προσλαβομένη φίλην αὐτῆς ἐκ γειτόνων οἰκοῦσαν, προδιέθηκεν, ὅπως ἀμφότεραι βουκολήσωσι τὸν πρεσβύτην· εἶτα ἧκεν εὐθὺς οὗτος καὶ εἰσπεπήδηκεν ἔνδον, κεκραγὼς ἅμα καὶ πνέων θυμοῦ· τῆς τε γαμετῆς, ὧδε τὸ ἀκόλαστον ἐβόα, τὴν ἐμὴν εὐνὴν, οὔποτε χαίρουσα καθυβρίσεις, καὶ δι' ὧν ἑώρακεν ἱματίων ἀπήλεγχε τὴν μοιχείαν. καὶ ξίφος ἤδη μεμηνὼς ἐπεζήτει· τότε δὴ λοιπὸν ἡ γείτων εἰς καιρὸν ἀνεφάνη. καὶ δέχου τὴν ἐσθῆτα, φησὶν, ὦ φιλτάτη· μεγίστην οἶδά σοι χάριν. πεπλήρωκα τὴν εὐχήν. ἀλλὰ πρὸς θεῶν μηδὲν ἀλαζονικόν· μετάλαβε δὲ καὶ σὺ τῶν προτεθέντων ἡμῖν. τούτων οὖν λεγομένων, ὁ τραχὺς ἐκεῖνος ἐνέφηνε γέρων, τόν τε θυμὸν ἀνεκρούετο. καὶ μετὰ τῆς ὑπονοίας, εἰς τοσαύτην πρᾳότητα συνδιέλυσε τὴν ὀργὴν, ὡς τοὐναντίον ἀπολογεῖσθαι τῇ γαμετῇ. ὦ γύναι, συγγίνωσκέ μοι, φησίν. ἐξέστην ὁμολογῶ. ἀλλὰ τῆς σῆς οὕνεκα σωφροσύνης, θεός τις εὐμενὴς εἰς κοινὴν σωτηρίαν φιλανθρώπως ἀπέσταλκε ταύτην, ἣ καὶ ἀμφοτέρους ἀπέσωσεν εἰσδραμοῦσα.

ΠΕΡῚ ΤΗ͂Σ ΠΡῸ ΓΆΜΟΥ ΦΘΑΡΕΊΣΗΣ.

Ἑρμοκράτης Εὐφορίωνι.

ΚΌρη τὶς πρὸς τὴν ἑαυτῆς ἔφη τροφόν. εἴ μοι πρότερον ἐπομόσειας, ὃ δ' ἂν εἴποιμι φυλάξειν ἀπόρρητον, αὐτίκα τοῦτό σοι λέξω. ὀμώμοκεν ἡ τιτθή. ἡ δὲ παῖς εὐθὺς εἴρηκεν. οὐκ ἔτι σοι παρθένος ἐγὼ, ὥς γε πρὸς σὲ τἀληθὲς εἰρῆσθαι· εὐθὺς ἀνακέκραγεν ἡ γραῦς, ἅμα τὴν παρειὰν αἰκιζομένη καὶ σχετλιάζουσα τὸ συμβάν. ἡ δὲ κόρη φησί· σίγα πρὸς θεῶν, ὦ

Σω-

Σωφρόνη· ἔχε ἡσυχῆ, μήτις τῶν ἔνδον ὠτακουστῶν ὑποκλέψῃ τὸν λόγον. οἴμοι. οὐκ ἀρτίως ἐμώμοκας μηδενὶ παντάπασιν ἐξειπεῖν; τί οὖν φίλη σφόδρα καὶ μεγάλως βοᾷς; νὴ τὴν Ἄρτεμιν, ὦ μῆτερ, καίτοι πρὸς τοῦ ἔρωτος φλεγομένη δεινῶς ἐσπούδακα σωφρονεῖν, καθ' ὅσον ἠδυνάμην. σμικρὰ δὲ οἷα ἦν, καὶ δίχα μοι γέγονε τὰ νοήματα. διελογιζόμην δὲ πρὸς ἐμαυτήν· πειθαρχήσω τῷ ἔρωτι; ἀμελήσω τοῦ πόθου; ἀμφότερά με κρατεῖ. εἶτα πολὺ μᾶλλον ἐπὶ θάτερα πρὸς τὸν ἔρωτα κλίνω· ηὐξάνετο γὰρ τῇ μελήσει· καὶ ὡς φυτὸν ἐν τῇ γῇ, οὕτως ἔνδον τῆς ἐμῆς ὑπεφύετο ψυχῆς. οὕτως οὖν ἡττήθην ὁμολογῶ, τῆς αὖ ἰκήτου λαμπάδος. ἔφη τοίνυν ἡ πρεσβῦτις. χαλεπώτατον μέντοι δυστύχημα τέκνον, καὶ τὴν ἐμὴν ᾔσχυνας πολιάν. πλὴν ἐπεὶ τὸ πραχθὲν οὐκ ἂν ἄλλως ἔχει, τὰ δεύτερα παραινῶ. πέπαυσο τούτων, καὶ μηδὲ περαιτέρω ἐξαμάρτανε, μή ποτέ σου τῆς γαστρὸς ὀγκουμένης ἐπὶ προσήκοντι τῷ πράγματι καὶ τῷ χρόνῳ, ἐναργῶς καταυοήσωσι τὸ τολμηθὲν οἱ τεκόντες. ἀλλ' εἴθε σοὶ γάμον ταχὺν, πρὶν κατάφωρος γένῃ, συνεπινεύσειαν οἱ θεοί. ἤδη δὲ τηλικαύτη γεγένησαι. καὶ αὐτίκα χρημάτων εἰς προῖκα τῷ σῷ δεήθητι πατρί. τί φῄς, ὦ μῆτερ; τοῦτο δέδοικα μάλιστα πάντων. μηδὲν δείσῃς ὦ παῖ; ἐγώ σε τηνικαῦτα διδάξω, πῶς ἂν ἡ πρὸ γάμου γεγονυῖα γυνή, παρθένος ἔτι δόξῃ τῷ νυμφίῳ.

ἉΛΙΕΥ'Σ ΑἸΤΗΘΕΙ'Σ ὙΠΟ' ΚΟ'ΡΗΣ ΤΗ'Ν ΑΥ'ΤΗ͂Σ ἐσθῆτα φυλάξαι μέχρις ἂν ἀπολούσηται τῇ θαλάσσῃ, καὶ ταύτην ἐρῶν μάλιστα γυμνωθεῖσαν.

Κυρτίων Δίκτυι.

ΠΑρὰ τὴν ἀκτὴν ἑστηκότι μοι κατὰ πέτρας, καὶ τῷ ἀγκίστρῳ προσπεπηγότα κάλλιστον ἰχθὺν ἀνασπῶντι, τοῦ καλάμου

Ἀλεξάνδρῳ.

Εὐαγγελλίζῃ μοι βασιλέα Μακεδόνων σπουδάζειν περὶ τὴν θέαν ἡμῶν. εὖ δὲ ἐποίησας προσθεὶς τῷ βασιλεῖ τοὺς Μακεδόνας. τὰ γὰρ ἡμέτερα ἤδεις ἀβασίλευτα. ἰδεῖν δὲ τὸν ἐμὸν τύπον μηδεὶς ὡς ξένον βουλευέσθω. εἰ δὲ μεταλαβεῖν Ἀλέξανδρος βίου καὶ λόγου βούλεται, λέγε αὐτῷ ὅτι ὅσην ἐξ Ἀθηνῶν εἰς Μακεδονίαν, τοσοῦτον καὶ ἐκ Μακεδονίας εἰς Ἀθήνας.

Κράτης Τοῖς ἑταίροις.

Μελέτω ὑμῖν τῆς ψυχῆς. τοῦ δὲ σώματος ὅσον ἀνάγκη. τῶν δ' ἔξω μηδ' ὅσον. εὐδαιμονία γὰρ οὐχ ἡδονὴ, δι' ἣν τῶν ἐκτὸς χρεία, ἀλλ' ἀρετὴ μετ' οὐδενὸς τῶν ἐκτὸς τελεία.

Ἑρμαΐσκῳ.

Εἴθ' αἱρετὸν ὁ πόνος, πόνει. εἴτε φευκτὸν, πόνει, ἵνα μὴ πονῇς. διὰ γὰρ τοῦ μὴ πονεῖν, οὐ φεύγεται πόνος. τῷ δὲ ἐναντίῳ, καὶ διώκεται.

Τοῖς ἑταίροις.

Καλὸν νόμος. ἀλλ' οὐ κρείττων φιλοσοφίας. ὁ μὲν γὰρ βιάζεται μὴ ἀδικεῖν, ἡ δὲ διδάσκει. ὅσῳ δὲ χεῖρόν ἐστιν ἀνάγκη τί ποιεῖν τοῦ ἑκουσίως, τοσούτῳ ὁ νόμος φιλοσοφίας. ὥστε διὰ ταῦτα φιλοσοφεῖτε, καὶ μὴ πολιτεύεσθε. κρεῖττον γὰρ δι' οὗ διδάσκονται ἄνθρωποι δικαιοπραγεῖν ἐπίστασθαι, ἢ δι' οὗ ἀναγκάζονται μὴ ἀδικεῖν.

Τοῖς αὐτοῖς.

Φιλοσοφεῖτε πολλάκις, ἢ ἀναπνεῖτε. αἱρετώτερον γὰρ τὸ εὖ ζῆν, ὃ ποιεῖ φιλοσοφία, τοῦ ζῆν ὃ ποιεῖ ἀναπνοή. καὶ μὴ ὡς ἄλλοι. ἀλλ' ὡς ἤρξατο μὲν Ἀντισθένης, ἐτελείωσε δὲ

Διο-

Διογένης. εἰ δὲ δύσκολον τὸ ὧδε φιλοσοφεῖν, ἀλλὰ συντομώτερον. πρὸς δὲ εὐδαιμονίαν, ὡς ἔλεγε Διογένης, κἂν διὰ πυρὸς βαδιστέον.

Διογένει.

ΑΠὸ μὲν δὴ τοῦ πλούτου ἤδη ἐλευθεριάζομεν. ἡ δὲ δόξα ἡμᾶς οὐδέπω ἔτι καὶ νῦν μεθίεται τῆς δουλείας. καί τοι νὴ τὸν Ἡρακλέα ἡμῶν πάντα ποιούντων εἰς τὸ ἀφεθῆναι παρ' αὐτῆς. ἄλλως δὲ καὶ τὸν δὲ ἐμαυτὸν τῆς δεσποίνης λυτρώσομαι πλεύσας Ἀθήναζε, φέρων σοι δωρεάν. εἰς ἣν ἐξείλεθ' ἡμᾶς ὁ παρὰ σοῦ λόγος ἐμαυτῷ τὸ κρεῖττον πάντων κτῆμα.

Μνασοῖ.

ΜΗ ἀπέχου τοῦ καλλίστου κόσμου. ἀλλὰ κόσμει σαυτὴν ἑκάστης ἡμέρας, ἵνα διαφέρουσα ᾖς. κάλλιστος δὲ κόσμος ἐστὶν, ὁ κάλλιστα κοσμῶν. κάλλιστα δὲ κοσμεῖ, ὁ κοσμιωτάτην ποιῶν. κοσμιωτάτην δὲ ποιεῖ, κοσμιότης. ᾗ μοι δοκοῦσι καὶ ἡ Πηνελόπη καὶ ἡ Ἄλκηστις κεκοσμῆσθαι, καὶ ἔτι καὶ νῦν ἐπ' ἀρετῇ ὑμνεῖσθαι, καὶ τιμᾶσθαι. ἵν' οὖν καὶ σὺ ταύταις ἐνάμιλλος γένῃ, πειρῶ τούτων ἀντέχεσθαι τῶν παραινουμένων.

Ὠριγένει.

ΟΥ ποιεῖ ἀγρὸς σπουδαίους οὐδὲ ἄστυ φαύλους, ἀλλ' αἱ σὺν τοῖς ἀγαθοῖς καὶ κακοῖς διατριβαί. ὥστ' εἰ βούλει ἀγαθοὺς καὶ μὴ κακοὺς γενέσθαι σοι τοὺς παῖδας, πέμπε μὴ κατ' ἀγρὸν, ἀλλ' εἰς φιλοσόφους. ἵνα καὶ αὐτοὶ βαδίζοντες, τὰ καλὰ ἐμάθομεν. ἀσκητὸν γὰρ ἀρετὴ, καὶ οὐκ αὐτόματον ἐμβαίνει τῇ ψυχῇ, ὥσπερ κακία.



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ἈΛΚΙ΄ΦΡΟΝΟΣ, ΦΙΛΟΣΤΡΑ΄ΤΟΥ, καὶ ἈΡΙΣΤΑΙΝΕ΄ΤΟΥ.

Κέφαλος Ποντίῳ.

ΤΗ͂ν μὲν θάλατταν ὡς ὁρᾷς φρίκη κατέχει. καὶ τὸν οὐρανὸν ὑποβέβηκεν ἀχλύς. καὶ πάντα πανταχόθεν συννέφελα· καὶ οἱ ἄνεμοι πρὸς ἀλλήλους ἀρασσόμενοι ὅσον οὔπω κυκήσειν τὸ πέλαγος ἐπαγγέλλονται. ἀλλὰ καὶ οἱ δελφῖνες ἀνασκιρτῶντες καὶ τῆς θαλάττης ἀνοιδουμένης λείως ἐφαλλόμενοι χειμῶνα καὶ τάραχον ἐπιόντα μηνύουσι. ταύρους δέ φυσιν ἐπιπολλὴν κατ' οὐρανὸν οἱ τὰ μετέωρα δεινοὶ τανῦν ἑστάναι. πολλάκις οὖν σώζονται ὑπ' ἀσφαλείας οἱ προθυμούμενοι φυλάξασθαι τὸν κίνδυνον· εἰσὶ δὲ οἱ παραδόντες ἑαυτοὺς ἅπαξ τῷ πελάγει ὑπ' ἀμηχανίας τῇ τύχῃ τοὺς οἴακας ἐπιτρέπουσι φέρεσθαι. ὅθεν ἀκούομεν τοὺς μὲν, κατὰ τὸ Μαλέου ἀκρωτήριον, τοὺς δὲ κατὰ τὸν Σικελικὸν πορθμὸν, ἄλλους δὲ εἰς τὸ Λυκιακὸν πέλαγος ῥύμῃ φερομένους ἐπωκείλειν, ἢ καταδύεσθαι. ἔστι δὲ οὐδὲν τόπων πρὸς χειμῶνα καὶ κίνδυνον ὁ Καφηρεὺς ἐπιεικέστερος. ἀναμείναντες οὖν ἀπολῆξαι τὸ κλυδώνιον καὶ καθαρὰν εὐδίαν γενέσθαι ἀέρι, νοστήσωμεν ἄχρι καὶ αὐτοῦ τοῦ Καφηρέως τῆς ἀκτῆς. ἵν' εἴπου τι τῶν ἐκ ναυαγίας ἀποπτυσθὲν εὑρεθείη σῶμα, τοῦτο περιστείλαντες ταφῇ καλύψωμεν. οὐ γὰρ ἄμισθον τὸ εὐποιεῖν, κἂν μὴ παραχρῆμα τῆς εὐεργεσίας ἡ ἀντίδοσις φαίνηται. τρέφει δὲ οὐδὲν ἧττον τοὺς ἀνθρώπους πρὸς τοῖς ἐλπιζομένοις ἀγαθοῖς, καὶ ἐξάγει τὴν καρδίαν τὸ συνειδός. καὶ μάλισθ' ὅταν εἰς τοὺς ὁμοφύλους οὐκ ἔτ' ὄντας τὴν εὐποιΐαν καταβάλλωνται.

Θυ-

Θυνναῖος Σκοπέλῳ.

Ἀκήκοας ἀκουσμάτων βαρυτάτων ὦ Σκόπελε; στόλον Ἀθηναῖοι διανοοῦνται πέμπειν εἰς τὴν ὑπερορίαν ναυμαχεῖν ἐθέλοντες. καὶ ἤδη μὲν ἡ πάραλος καὶ ἡ Σαλαμινία αἱ μάλιστα ταχυναυτοῦσαι πρόδρομοι λύουσι τῶν ἠϊόνων τὰ πρυμνήσια, τοὺς μαστῆρας οἳ μέλλουσιν ἐπαγγέλλειν παρ' οὗ καὶ ὅτε δεῖ ἀπιέναι πολεμήσοντας ἐνθέμεναι· χρεία ταῖς λοιπαῖς ναυσὶ τὸ στρατιωτικὸν τάγμα δεχομέναις ἐρετῶν πλειόνων καὶ οὐχ ἥκιστα ἐμπείρων, ἀνέμοις καὶ κύμασιν ἀπομάχεσθαι. τί οὖν ὦ βέλτιστε δρῶμεν; φεύγομεν, ἢ μένομεν; ἀνδρολογοῦσι δ' ἐκ Πειραιῶς καὶ Φαληρόθεν καὶ Σουνίου καὶ μέχρι τῶν ἐν τοῖς Γεραιστοῦ προσοίκων ὁρίων τοὺς τῆς θαλάττης ἐργάτας· πῶς δὲ καὶ ἡμεῖς, εἰ μὴ δὲ τὴν ἀγορὰν εἰδότες ὑπομεῖναι μὲν παρατάττεσθαι, καὶ ὁπλομάχοις ἀνδράσιν ὑπηρετεῖσθαι. δυοῖν δὲ ὄντοιν χαλεποῖν τοῦ τε φεύγειν ἐπὶ τέκνοις καὶ γυναιξὶ, τοῦ τε μέλλειν ξίφεσιν ὁμοῦ καὶ θαλάττῃ παραδιδόναι τὸ σῶμα, τοῦ μένειν ὄντος ἀλυσιτελοῦς, τὸ φεύγειν ἐφάνη λυσιτελέστερον.

Ἀλίκτυπος Ἐγκύμονι.

Δυσμενὴς καὶ βάσκανος ὁ τῶν γειτόνων ὀφθαλμὸς, φησὶν ἡ παροιμία. τίς γάρ σοι τῶν ἐμῶν φροντίς; τί δὲ τὸ παρ' ἐμοῦ ῥαθυμίας ἠξιωμένον, κτῆμα σὸν εἶναι νομίζεις; εἶργε τὰς χεῖρας, μᾶλλον δὲ τὰς ἀπλήστους ἐπιθυμίας. μὴ δέ σε ἡ τῶν ἀλλοτρίων ὄρεξις ἀδίκους αἰτεῖν χάριτας ἐκβιαζέσθω.

Ἀμνίων Φιλομόσχῳ.

Ἀπέκειρεν ἡμῶν ἡ χάλαζα βαρέως ἐμπεσοῦσα τὰ λήϊα. καὶ λιμοῦ φάρμακον οὐδέν. ὠνεῖσθαι ἡμῖν ἐπακτοὺς πυροὺς οὐχ

οἷόν τε διὰ σπάνιν κερμάτων· ἔστι δέ σοι ὡς ἀκούω τῆς πέρυσι εὐετηρίας λείψανα. δάνεισον οὖν μοι μεδίμνους εἴκοσι, ὡς ἂν ἔχοιμι σώζεσθαι αὐτὸς, καὶ ἡ γυνὴ, καὶ τὰ παιδία. καρπῶν δὲ εὐφορίας γενομένης, ἐκτίσομεν αὐτὸ τὸ μέτρον καὶ λώϊον, ἐάν τις εὐθηνία γένηται. μὴ δὲ περιΐδῃς ἀγαθοὺς γείτονας εἰς στενὸν τοῦ καιροῦ φθειρομένους.

Εὔστολος Ἐλατίωνι.

Οὐδέν με τῆς γῆς ἀμειβομένης τῶν πόνων ἄξιον, ἔγνων ἐμαυτὸν ἐπιδοῦναι θαλάττῃ καὶ κύμασι. ζῆν μὲν γὰρ καὶ τεθνάναι μεμοίραται ἡμῖν. οὐκ ἔστι τὸ χρέος φυγεῖν, κἂν ἐν οἰκίσκῳ τις καθείρξας αὐτὸν τηρῇ. ἐνεργὸς γὰρ ἡ ἡμέρα ἐκείνη, καὶ τὸ πεπρωμένον ἄφυκτον. ὥστε τὸ ζῆν οὐχ ὑπὸ τούτων ταλαντεύεται, ἀλλ' ὑπὸ τῇ τύχῃ βραβεύεται. ἤδη γάρ τινες μὲν ἐπὶ γῆς ὠκύμοροι, ἐπὶ θαλάττης δὲ μακαρόβιοι κατεβίωσαν. ὥστε εἰδὼς ταῦθ' οὕτως ἔχειν, ἐπὶ ναυτιλίαν βαδιοῦμαι, καὶ ἀνέμοις ὁμιλήσω καὶ κύμασι· κρεῖττον γὰρ ἐπανήκειν ἐκ Βοσπόρου καὶ Προποντίδος νεόπλουτον, ἢ καθήμενον ἐπὶ τοῖς τῆς Ἀττικῆς ἐσχατιαῖς λιμῶδες καὶ αὐχμηρὸν ἐρυγγάνειν.


Φιλόστρατος Ἐπικτήτῳ.

Εἰ κρότῳ ἀνοήτῳ χαίρεις, καὶ τοὺς πελαργοὺς ἐπειδὰν παριόντες ἡμᾶς κροτῶσιν, ἡγοῦ δῆμον τοσούτῳ σωφρονέστερον τοῦ Ἀθηναίων, ὅσῳ μηδὲ αἰτοῦσι μηδὲν ὑπὲρ τοῦ κροτεῖν.

Φι-

Φιλήμονι.

ΤΟν τραγῳδὸν Διοκλέα, εἰ μὲν ἤδη γνώσκεις, ἐπαινεῖς δήπου. εἰ δὲ ἀγνοεῖς, ἐν τοῖς ἐπαινουμένοις γράφε. καὶ γενοῦ περὶ αὐτὸν οἷον εἰκὸς, ἢ τὸν πεπεισμένον, ἢ τὸν μὴ ἀπιστοῦντα.



ΑΡΙΣΤΑΙΝΕΤΟΥ ΕΠΙΣΤΟΛΑΙ.

Ἀρισταίνετος Φιλοκάλῳ.

ΛΑΐδα τὴν ἐμὴν ἐρωμένην εὖ μὲν ἐδημιούργησεν ἡ φύσις· κάλλιστα δὲ πάντων ἐκόσμησεν Ἀφροδίτη, καὶ τῶν χαρίτων συνηρίθμησε τῷ χορῷ. ὁ δὲ χρυσοῦς ἔρως ἐπαίδευσε τὴν ποθουμένην εὐστόχως ἐπιτοξεύειν ταῖς τῶν ὀμμάτων βολαῖς. ὦ φύσεως τὸ κάλλιστον φιλοτέχνημα, ὦ γυναικῶν εὔκλεια, καὶ διὰ πάντων ἔμψυχος τῆς Ἀφροδίτης εἰκών. ἐκείνη γὰρ (ἵνα κάλλος ἀφροδίσιον εἰς δύναμιν διαγράψω τοῖς λόγοις) λευκαὶ μὲν ἐπιμὶξ καὶ ὑπέρυθροι παρειαὶ, καὶ ταύτῃ τὸ φαιδρὸν ἐκμιμοῦνται τῶν ῥόδων· χείλη δὲ λεπτὰ καὶ ἠρέμα διῃρημένα, καὶ τῶν παρειῶν ἐρυθρότερα. ὀφρύς τε μέλαινα, τὸ μέλαν ἄκρατον. τὸ δὲ μεσόφρυον ἐμμέτρως τὰς ὀφρῦς διορίζει· ῥὶς εὐθεῖα, καὶ παρισουμένη τῇ λεπτότητι τῶν χειλῶν· ὀφθαλμοὶ μεγάλοι τε καὶ διαυγεῖς, καὶ καθαρῷ φωτὶ διαλάμποντες. τὸ δὲ μέλαν αὐτῶν, αἱ κόραι μελάντατοι· καὶ τὸ κύκλῳ λευκὸν, αἴγλην λευκότατον· καὶ ἑκάτερον ὑπερβολῇ πρὸς τὸ ἕτερον ἐπιδείκνυται· καὶ τὸ λίαν ἀνόμοιον, εὐδοκιμεῖ παρακείμενον. ἔνθα δὴ τὰς χάριτας ἐγκαθιδρυμένας πάρεστι προσκυνεῖν. ἡ δὲ κόμη φυσικῶς ἑλικουμένη ὑακινθίνῳ ἄνθει καθ' Ὅμηρον ἐμφερής· καὶ ταύτην αἱ χεῖ-

ρες τημελοῦσι τῆς Ἀφροδίτης. τράχηλος λευκός τε καὶ σύμμετρος τῷ προσώπῳ· κἂν ἀκόσμητος ᾖ, δι' ἁβρότητα τεθάρρηκεν ἑαυτῷ. περίκειται μέντοι λιθοκόλλητον περιδέρραιον, ἐν ᾧ τοὔνομα γέγραπται τῆς καλῆς. γράμματα δ' ἐστὶ τῶν λιθιδίων ἡ θέσις. ἔστι δὲ εὐμήκης ἡλικία· σχῆμα καλόν τε καὶ περίμετρον, καὶ τῷ τύπῳ συνδιατιθέμενον τῶν μελῶν. ἐνδεδυμένη μὲν, εὐπροσωποτάτη. ἐκδῦσα δὲ, ὅλη πρόσωπον φαίνεται. βάδισμα τεταγμένον, βραχὺ δὲ, ὥσπερ κυπάριττος ἢ φοῖνιξ, σειόμενον ἡσυχῇ. ἐπεὶ φύσει τὸ κάλλος ἐστὶν ὑπερήφανον. ἀλλ' ἐκείνους μὲν, οἷα φυτὰ, κινεῖ ζεφύρου πνοή· αὐτὴν δέπως ὑποσαλεύουσι τῶν ἐρώτων αἱ αὖραι. ταύτην ἑαυτοῖς ὡς οἷόν τε ἦν, οἱ κορυφαῖοι γεγράφασι τῶν ζωγράφων. ἡνίκα οὖν δέοι γράφειν Ἑλένην ἢ χάριτας, ἢ καὶ αὐτὴν γε τὴν ἄρχουσαν τῶν χαρίτων, οἷον εἰς ὑπερφυὲς παράδειγμα κάλλους ἀφορῶντες, ἀνασκοποῦσι τὴν εἰκόνα Λαΐδος, κἀντεῦθεν ἀποτυποῦνται θεοπρεπῶς τὸ φιλοτεχνούμενον εἶδος. μικροῦ με παρῆλθεν εἰπεῖν, ὡς κυδωνιῶντες οἱ μαστοὶ τὴν ἀμπεχόνην ἐξωθοῦσι βιαίως. οὔπω μέντοι σύμμετρα καὶ τρυφερὰ τῆς Λαΐδος τὰ μέλη, ὡς ὑγροφυῶς αὐτῆς λυγίζεσθαι τὰ ὀστᾶ τῷ περιτυπουμένῳ δοκεῖν. τοιγαροῦν, ταῦτα μικροῦ γε ὁμοίως δι' ἁπαλότητα συναπομαλάττεται τῇ σαρκὶ, καὶ ταῖς ἐρωτικαῖς ἀγκάλαις ὑπείκει. ἡνίκα δὲ φθέγγεται, βαβαὶ, ὅσαι τῆς ὁμιλίας αὐτῆς αἱ σειρῆνες· ὅσον ἡ γλῶττα στωμύληθρος. τῶν χαρίτων πάντων ἡ Λαῒς τὸν κεστὸν ὑπεζώσατο, καὶ μειδιᾷ πάνυ ἐπαγωγόν. οὕτως οὖν τὴν ἐμὴν ὡραϊζομένην καὶ τρυφῶσαν ὑπὸ πλούτου τῆς εὐπρεπείας, οὐδ' ἂν ὁ μῶμος ἐν ἐλαχίστῳ μωμήσαιτο. ἀλλὰ πόθεν ἄρα με τοιαύτης ἠξίωσεν Ἀφροδίτη; περὶ κάλλους οὐκ ἠγωνίσατο παρ' ἐμοί. Ἥρας, Ἀθηνᾶς, οὐκ ἔκρινα τὴν θεὸν εὐπρεπεστέραν ὑπάρχειν. ψῆφον αὐτῇ δίκης οὐκ ἀπέδωκα μῆλον. καὶ ἁπλῶς μοι ταύτην πεφιλοτίμηται τὴν Ἑλένην. ὦ πότνια Ἀφροδίτη. τί σοι τῆς Λαΐδος ἕνεκα θύσω; ἣν οἱ προσβλέποντες ἀποτροπιάζουσιν

ὧδε

ᾠδὲ σὺν θαύματι προσευχόμενοι τοῖς θεοῖς. Α'πίτω φθόνος τοῦ κάλλους. ἀπίτω βασκανία τῆς χάριτος. τοσοῦτον αὐτῇ πάρεστιν εὐπρεπείας, ὡς τῶν προσιόντων ἀγλαΐζειν τὰς κόρας τὴν Λαΐδα· καὶ γέροντες εὖ μάλα πρεσβῦται θαυμάζουσιν, ὡς οἱ παρ' Ο'μήρου δημογέροντες τὴν Ε'λένην· καὶ εἴθε, φασὶν, ἢ ταύτην εὐτυχήσαμεν ἡβῶντες, ἢ νῦν ἠρξάμεθα τῆς ἡλικίας. Οὐ νέμεσις τὸ γύναιον εἶναι διὰ σόματος τῇ Ε'λλάδι, ἔνθα κωφοὶ διανεύουσιν ἀλλήλοις τῆς Λαΐδος τὸ κάλλος. οὐκ ἔχω ὅτι λέγω, οὔτε ὅπως παύσωμαι· λήξω δὲ ὅμως ἐν μέγιστον ἐπευχόμενος τοῖς γραφεῦσι, τῆς Λαΐδος τὴν χάριν· ἧς δι' ἔρωτα πολὺν, οἶδα καὶ νῦν τὸ προσφιλὲς ὄνομα πολλάκις εἰπών.

ΔΟ'ΛΟΣ ΓΥΝΑΙΚΟ'Σ ΚΑΙΝΟΠΡΕΠΩ͂Σ ΤΟ'Ν ΣΥ'ΝΟΙΚΟΝ Α'ΠΑΤΩ'ΣΗΣ.

Α'λκίφρων Λουκιανῷ.

ΠΑνηγύρεως ἐν προαστείῳ πανδημεὶ τελουμένης, καὶ δημοθοινίας ἀφθόνου, Χαρίδημος ἐπ' εὐωχίαν συνεκαλεῖτο τοὺς φίλους· ἔνθα καὶ γυνή τις παρῆν· ὀνόματι γὰρ οὐδὲν δέομαι λέγειν· ἣν αὐτὸς ὁ Χαρίδημος (οἶσθα δὲ τὸν νέον, ὡς ἐρωτικὸς) ἐν ἀγορᾷ προσιοῦσαν ἰδὼν ἀγκιστρεύει, καὶ πέπεικε παραγενέσθαι τῷ δείπνῳ. πάντων ἤδη εἰς ταὐτὸν ἀθροιζομένων τῶν δαιτυμόνων, ὁ χρυσοῦς ἑστιάτωρ εἰσήει πρεσβύτην τινὰ συνεπαγόμενος, καὶ αὐτὸν δὴ συγκεκλημένον ἡμῖν· ὃν ἐκείνη προσιόντα πόῤῥωθεν κατιδοῦσα, ὀξέως ὑπέδυ, καὶ θᾶττον νοήματος εἰς τὸν πλησίον οἶκον ἀπέδρα· κἀκεῖσε μεταπεμψαμένη Χαρίδημον, ἀγνοίας, ἔφη, μέγιστον κακὸν κατειργάσω. Οὗτος ὁ πρεσβύτης, ἀνήρ ἐστιν ἐμὸς, καὶ τὴν ἐσθῆτα, ἣν ἐνδυσαμένη κατέλιπον ἔξω, ῥαδίως ἐπέγνω, καὶ ὑποψίας, ὡς εἰκὸς, γέγονε πλήρης. ὅμως ἂν ταύτην λάθρα καὶ βραχέα τῶν ὄψων ἐπι-

δώσης, αὐτὸν ἐξαπατήσω· καὶ τὸν νοῦν αὐτοῦ κατ' ἐμοῦ διενοχλοῦντα λογισμὸν, ἑτέρως παραστρέψω. τούτων οὖν ἐπιδοθέντων, ἀνέζευξεν οἴκαδε· καὶ τὸν σύνοικον ἔφθη, οὐκ οἶδ' ὅπως ἐκφυγοῦσα· καὶ προσλαβομένη φίλην αὐτῆς ἐκ γειτόνων οἰκοῦσαν, προδιέθηκεν, ὅπως ἀμφότεραι βουκολήσωσι τὸν πρεσβύτην· εἶτα ἧκεν εὐθὺς οὗτος καὶ εἰσπεπήδηκεν ἔνδον, κεκραγὼς ἅμα καὶ πνέων θυμοῦ· τῆς γαμετῆ, ὧδε τὸ ἀκόλαστον ἐβόα, τὴν ἐμὴν εὐνὴν, οὔποτε χαίρουσα καθυβρίσεις, καὶ δι' ὧν ἑώρακεν ἱματίων ἀπήλεγχε τὴν μοιχείαν. καὶ ξίφος ἤδη μεμηνὼς ἐπεζήτει· τότε δὴ λοιπὸν ἡ γείτων εἰς καιρὸν ἀνεφάνη. καὶ δέχου τὴν ἐσθῆτα, φησὶν, ὦ φιλτάτη· μεγίστην οἶδά σοι χάριν. πεπλήρωκα τὴν εὐχήν. ἀλλὰ πρὸς θεῶν μηδὲν ἀλαζονικόν· μετάλαβέ γε καὶ σὺ τῶν προτεθέντων ἡμῖν. τούτων οὖν λεγομένων, ὁ ταχὺς ἐκεῖνος ἐνέφηνε γέρων, τόν τε θυμὸν ἀνεκρούετο. καὶ μετὰ τῆς ὑπονοίας, εἰς τοσαύτην πρᾳότητα συνδιέλυσε τὴν ὀργὴν, ὡς τοὐναντίον ἀπολογεῖσθαι τῇ γαμετῇ. ὦ γύναι, συγγίνωσκέ μοι, φησίν. ἐξέστην ὁμολογῶ. ἀλλὰ τῆς σῆς ἕνεκα σωφροσύνης, θεός τις εὐμενὴς εἰς κοινὴν σωτηρίαν φιλανθρώπως ἀπέσταλκε ταύτην, ἣ καὶ ἀμφοτέρους ἀπέσωσεν εἰσδραμοῦσα.

ΠΕΡΙ ΤΗΣ ΠΡΟ ΓΑΜΟΥ ΦΘΑΡΕΙΣΗΣ.

Ἑρμοκράτης Εὐφορίωνι.

Κόρη τις πρὸς τὴν ἑαυτῆς ἔφη τροφόν. εἴ μοι πρότερον ἐπομόσειες, ὃ δ' ἂν εἴποιμι φυλάξειν ἀπόρρητον, αὐτίκα τοῦτό σοι λέξω. ὀμώμοκεν ἡ τιτθή. ἡ δὲ παῖς εὐθὺς εἴρηκεν. οὐκ ἔτι σοι παρθένος ἐγὼ, ὥς γε πρὸς σὲ τἀληθὲς εἰρῆσθαι· εὐθὺς ἀνακέκραγεν ἡ γραῦς, ἅμα τὴν παρειὰν αἰκιζομένη καὶ σχετλιάζουσα τὸ συμβάν. ἡ δὲ κόρη φησί· σίγα πρὸς θεῶν, ὦ

Σω-

Σωφρόνη· ἔχε ἥσυχῆ, μήτις τῶν ἔνδον ἐπακουστῶν ὑποκλέψῃ τὸν λόγον. οἴμοι. οὐκ ἀρτίως ὀμώμοκας μηδενὶ παντάπασιν ἐξειπεῖν; τί οὖν φίλη σφόδρα καὶ μεγάλως βοᾷς; νὴ τὴν Ἄρτεμιν, ὦ μῆτερ, καίτοι πρὸς τοῦ ἔρωτος φλεγομένη δεινῶς ἐσπούδακα σωφρονεῖν, καθ' ὅσον ἠδυνάμην. σμικρὰ δ' οἷα ἦν, καὶ δίχα μοι γέγονε τὰ νοήματα. διελογιζόμην δὲ πρὸς ἐμαυτήν· πειθαρχήσω τῷ ἔρωτι; ἀμελήσω τοῦ πόθου; ἀμφότερά με κρατεῖ. εἶτα πολὺ μᾶλλον ἐπὶ θάτερα πρὸς τὸν ἔρωτα κλίνω· ηὐξάνετο γὰρ τῇ μελήσει· καὶ ὡς φυτὸν ἐν τῇ γῇ, οὕτως ἔνδον τῆς ἐμῆς ὑπεφύετο ψυχῆς. οὕτως οὖν ἡττήθην ὁμολογῶ, τῆς ἀνικήτου λαμπάδος. ἔφη τοίνυν ἡ πρεσβῦτις. χαλεπώτατον μέντοι δυστύχημα τέκνον, καὶ τὴν ἐμὴν ᾔσχυνας πολιάν. πλὴν ἐπεὶ τὸ πραχθὲν οὐκ ἂν ἄλλως ἔχει, τὰ δεύτερα παραινῶ. πέπαυσο τούτων, καὶ μὴ δὲ περαιτέρω ἐξαμάρτανε, μή ποτέ σου τῆς γαστρὸς ὀγκουμένης ἐπὶ προσήκοντι τῷ πράγματι καὶ τῷ χρόνῳ, ἐναργῶς κατανοήσωσι τὸ τολμηθὲν οἱ τεκόντες. ἀλλ' εἴθε σοὶ γάμον ταχὺν, πρὶν κατάφωρος γένῃ, συνεπινεύσειαν οἱ θεοί. ἤδη δὲ τηλικαύτη γεγένησαι. καὶ αὐτίκα χρημάτων εἰς προῖκα τῷ σῷ δεήθητι πατρί. τί φῄς, ὦ μῆτερ; τοῦτο δέδοικα μάλιστα πάντων. μηδὲν δείσῃς ὦ παῖ; ἐγώ σε τηνικαῦτα διδάξω, πῶς ἂν ἡ πρὸ γάμου γεγονυῖα γυνή, παρθένος ἔτι δόξῃ τῷ νυμφίῳ.

Α'ΛΙΕΥ'Σ ΑΙ'ΤΗΘΕΙ'Σ Υ'ΠΟ' ΚΟ'ΡΗΣ ΤΗ'Ν ΑΥ'ΤΗ~Σ ἐσθῆτα φυλάξαι μέχρις ἂν ἀπολούσηται τῇ θαλάσσῃ, καὶ ταύτην ἐρῶν μάλιστα γυμνωθεῖσαν.

Κυρτίων Δίκιτυι.

ΠΑρὰ τὴν ἀκτὴν ἑστηκότι μοι κατὰ πέτρας, καὶ τῷ ἀγκίστρῳ προσπεπηγότα κάλλιστον ἰχθὺν ἀνασπῶντι, τοῦ καλάμου

κυρτουμένου τῷ βάρει, προσῆλθέ τις εὐπρόσωπος κόρη, κάλλος αὐτοφυὲς καὶ ὅμοιον αὐτομάτῳ φυτῷ φέρουσα. καὶ πρὸς ἐμαυτὸν ἔφην. ἑτέρα πολλῷ βελτίων τῆς προτέρας ἐμπέπτωκεν ἄγρα. Αὕτη, τὴν ἐσθῆτα, φησί, πρὸς τοῦ σοῦ Ποσειδῶνος, φύλαττε τὴν ἐμήν, ἄχρις ἂν τοῖς κύμασιν ἐμαυτὴν ἀπολούσω. ἥσθην ἀληθῶς, καὶ σφόδρα χαίρων τὴν αἴτησιν προσηκάμην, οἷα δὴ μέλλων αὐτὴν καταγυμνωθεῖσαν ὁρᾶν. ὡς οὖν ἐξεδύσατο καὶ τὸν ἔσχατον χειτωνίσκον, ὅλος ἐξέστην ἐκπλαγεὶς πρὸς τὴν λαμπρότητα τῶν μελῶν· ἐξέλαμπε γὰρ ἐκ πολλῆς τε καὶ μελαίνης κόμης λευκὸς μὲν ὁ τράχηλος, ξανθὴ δὲ παρειά· χρώματα λαμπρὰ μὲν τῇ φύσει· ἀνθηρότερα δὲ τῇ πρὸς τὸ μέλαν συνοικίᾳ. ἐντεῦθεν εἰς πεπήδηκεν ἔνδον, καὶ παρενήχετο τῇ θαλάττῃ· ἦν γὰρ ἀτάραχον καὶ γαληναῖον τὸ κῦμα· καὶ τῷ ἀφρῷ τοῦ περιρρέοντος κύματος ἡ χροιὰ τοῦ σώματος λευκανθίζουσα παρισοῦτο. νὴ τοὺς ἔρωτας, εἰ μὴ πρότερον ἔτυχον τεθεαμένος αὐτήν, ᾠήθην ἄν τινα τῶν θρυλλουμένων νηρηΐδων ὁρᾶν· ὡς δὲ ἱκανῶς εἶχε τῶν θαλαττίων λουτρῶν, εἶπες ἂν τὴν κόρην ἀνίσχουσαν τῶν κυμάτων ἰδών· οὕτω τῆς θαλάττης τὴν Ἀφροδίτην εὐπρεπῶς προϊοῦσαν γράφουσιν οἱ ζωγράφοι. αὐτίκα γοῦν προσδραμὼν θοιμάτιον ἐπεδίδουν τῇ ποθουμένῃ, προσπελάζων ἅμα καὶ πειρώμενος τῆς καλῆς. ἡ δὲ, (ἦν γὰρ ὡς ἔοικε σεμνή τε καὶ βλοσυρά·) ἠρυθρίασε μετ᾽ ὀργῆς· καὶ γέγονε τὸ πρόσωπον θυμουμένη καλλίων· τὸ δὲ ὄμμα, καίπερ ἀγανακτούσης ἡδύ, ὥσπερ καὶ τὸ τῶν ἄστρων πῦρ· φῶς μᾶλλον δὲ ἢ πῦρ· τόν τε θηρατικὸν κατέαξε κάλαμον, καὶ τοὺς ἰχθῦς προσέρριψε τῇ θαλάσσῃ· ἐγὼ δὲ ἀμήχανος παρεστήκειν· καὶ οὓς ἐθηρασάμην θρηνῶν, καὶ ἣν οὐκ ἤγρευσα, μειζόνως δακρύων.

ΠΑΙ͂Σ ἘΠΟΘΕΙ ΤῊΝ ΤΟΥ͂ ΦΎΣΑΝΤΟΣ παλλακὴν· ἰατρὸς διέγνω τὸν ἔρωτα τύχῃ πλέον, ἢ τέχνῃ χρησάμενος, καὶ μεθόδῳ πείθει τὸν πατέρα, τῷ παιδὶ παραχωρῆσαι τῆς παλλακίδος.

Εὐτυχόβουλος Ἀκεσοδώρῳ.


ΤΩ͂ μακρῷ καὶ τοῦτο, φίλτατε, κατέμαθον χρόνῳ, ὡς καὶ τέχναι πᾶσαι προσδέονται τύχης, καὶ τύχη διακοσμεῖται ταῖς ἐπιστήμαις· αἱ μὲν γὰρ ἀτελεῖς μὴ συνεργοῦντος τοῦ θείου· ἡ δὲ μᾶλλον εὐδοκιμεῖ τὰς ἑαυτῆς ἀφορμὰς τοῖς ἐπιστήμοσι δωρουμένη. ἐπεὶ τοίνυν μακρόν γε τὸ προοίμιον, εὖ οἶδα, τῷ ποθοῦντι θᾶττον ἀκοῦσαι, ἤδη λέξω τὸ συμβὰν, μηδὲν ἔτι μελλήσας. Χαρικλῆς ὁ τοῦ βελτίστου Πολυκλέους υἱὸς, παλλακίδος τοῦ τεκόντος ποθῶν, κλινοπετὴς ἦν, σώματος μὲν ἀφανῆ πλαττόμενος ἀλγηδόνα· ψυχῆς δὲ ταῖς ἀληθείαις ἐρωτικὴν αἰτιώμενος νόσον. ὁ γοῦν πατὴρ, οἷα πατὴρ ἀγαθὸς, καὶ σφόδρα φιλόπαις, αὐτίκα Πανάκιον μεταπέμπεται, τὸν ὄντως ἐπώνυμον ἰατρόν. ὃς τοὺς μὲν δακτύλους τῷ σφυγμῷ προσαρμόζων, τὸν δὲ νοῦν μετάρσιον ἄγων τῇ τέχνῃ, καὶ τοῖς ὄμμασι τὸ διαγνωστικὸν ὑποφαίνων κίνημα τῆς διανοίας, οὐδὲν ὅλως ἀῤῥώστημα κατενόει γνώριμον ἰατροῖς. ἐπὶ πολὺ μὲν οὖν ὁ τοιοῦτος ἰατρὸς ἀμήχανος ἦν. τῆς δὲ ποθουμένης ἐκ ταὐτομάτου παριούσης διὰ τοῦ μειρακίου, ἀθρόον ὁ σφυγμὸς ἄτακτον ἥλλατο. καὶ τὸ βλέμμα ταραχῶδες ἐδόκει. καὶ οὐδὲν ἄμεινον τὸ πρόσωπον διέκειτο τῆς χειρός. καὶ διχόθεν ὁ Πανάκιος διέγνω τὸ πάθος· καὶ ὅπερ ἁπλῶς ἐκ τέχνης οὐχ εἷλεν,

ἐκ

λεν, ἐκ τύχης μᾶλλον εἶχε λαβών. καὶ τὸ δῶρον τῆς προνοίας εἰς καιρὸν ἐταμιεύετο τῇ σιωπῇ. καὶ πρῶτος ἦν αὐτοῦ τῆς ἐπισκέψεως ἡγούμενος ὅδε ὁ τρόπος. αὖθις δὲ παραγενόμενος διεκελεύετο πᾶσαν τῆς οἰκίας κόρην τε καὶ γυναῖκα διὰ τοῦ κάμνοντος παριέναι, καὶ μὴ χύδην, ἀλλὰ κατὰ μίαν, ἐκ διαστήματος βραχέος διακρινομένας ἀλλήλων. καὶ τούτου γιγνομένου, αὐτὸς μὲν τὴν ὑποκάρπιον ἀρτηρίαν τοῖς δακτύλοις ἁρμονικῶς ἐπεσκόπει τὸν ἀκριβῆ γνώμονα τῶν Ἀσκληπιαδῶν, καὶ μάντιν ἀψευδῆ τῶν ἐμφυομένων ἡμῖν διαθέσεων. ὁ δὲ τῷ πόθῳ κλινήρης, πρὸς μὲν τὰς ἄλλας ἀτάραχος ἦν. τῆς δὲ παλλακῆς, ἧς εἶχεν ἐρωτικῶς, ἐκφανείσης, εὐθὺς καὶ τὸ βλέμμα πάλιν καὶ σφυγμὸν ἀλλοιότερος ἦν· ὁ δὲ σοφὸς καὶ λίαν εὐτυχὴς ἰατρὸς ἔτι μᾶλλον τὴν ἀπόδειξιν τῆς νόσου παρ' ἑαυτοῦ βεβαιότερον ἐποιοῦτο, τὸ τρίτον τῷ σωτῆρι φάσκων· προφασισάμενος γὰρ κατασκευῆς αὐτοῦ φαρμάκων δεῖσθαι τὸ πάθος, ἀπεχώρει τέως ὑπισχνούμενος τῇ ὑστεραίᾳ ταῦτα κομίζειν· ἅμα τε τὸν νοσοῦντα χρησταῖς παραθαρρύνων ἐλπίσι, καὶ δυσφοροῦντα ψυχαγωγῶν τὸν πατέρα. ὡς δὲ κατὰ καιρὸν ἐπηγγελμένον παρῆν, ὁ μὲν πατὴρ καὶ πάντες οἱ λοιποὶ, σωτῆρα τὸν ἄνδρα προσεῖπον, καὶ φιλοφρόνως ἠσπάζοντο προσιόντες. ὁ δὲ χαλεπαίνων ἐβόα, καὶ δυσανασχετῶν αὐστηρῶς, τὴν θεραπείαν ἀπέγνω. τοῦ δὲ Πολυκλέους λιπαροῦντος ἅμα καὶ πυνθανομένου τῆς ἀπογνώσεως τὴν αἰτίαν, ἠγανάκτει σφοδρότερον κεκραγὼς, καὶ ἀπαλλάττεσθαι τὴν ταχίστην ἠξίου. ἀλλ' ὁ πατὴρ ἔτι μᾶλλον ἱκέτευε, τά τε στήθη φιλῶν, καὶ τῶν γονάτων ἁπτόμενος. τό τε δῆθεν πρὸς ἀνάγκης, ὧδε σὺν ὀργῇ τὴν αἰτίαν ἐξεῖπε· τῆς ἐμῆς γαμετῆς οὗτος ἐκτόπως ἐρᾷ, καὶ παρανόμῳ τήκεται πόθῳ· καὶ ζηλοτυπῶ τὸν ἄνθρωπον ἤδη, καὶ οὐ φέρω θέαν ἀπειλουμένου μοιχοῦ. ὁ τοίνυν Πολυκλῆς, τοῦ παιδὸς ᾐσχύνθη τὴν νόσον ἀκούων. καὶ τὸν Πανάκιον ἠρυθρία. πλὴν ὅλως τῆς φύσεως γεγονὼς, οὐκ ἀ-

πώ-

πώκνησε περὶ τῆς αὐτοῦ γυναικὸς τὸν ἰατρὸν ἱκετεύειν, ἀναγκαίαν τινὰ σωτηρίαν, οὐ μοιχείαν τὸ πρᾶγμα καλῶν· ἔτι δὲ τοιαῦτα δεομένου τοῦ Πολυκλέους, ὁ Πανάκιος διωλύγιον κατεβόα φάσκων, οἷά περ εἰκὸς ἦν φθέγγεσθαι δεινοπαθοῦντα τὸν αἰτιώμενον ἐξ ἰατροῦ μεταβάλλειν εἰς μαστροπὸν μοιχείας, καὶ τῆς ἑαυτοῦ γαμετῆς εἰ μὴ φανερῶς οὕτω τοῖς ῥήμασιν. ἐπεὶ δὲ πάλιν ἐπέκειτο Πολυκλῆς ἀντιβολῶν τὸν ἄνδρα, καὶ πάλιν σωτηρίαν, οὐ μοιχείαν ἐκάλει τὸ πρᾶγμα· ὁ συλλογιστικὸς ἰατρὸς ὡς ἐν ἐπιθέσει τὸ συμβὰν ἀληθῶς ἀντεπάγων, ἤρετο Πολυκλέα. τί οὖν πρὸς διός, οὐδ' ἂν ὁ παῖς τῆς σῆς ἤρα παλλακίδος, ἐκαρτέρεις αὐτῷ ποθοῦντι ταύτην ἐκδοῦναι; ἐκείνου δὲ φήσαντος, πάνυ γε νὴ τὸν δία, ὁ σοφὸς ἔφη Πανάκιος· οὐκοῦν σαυτὸν, ὦ Πολυκλῆς ἱκέτευε, καὶ παραμυθοῦ τὰ εἰκότα. τῆς σῆς γὰρ οὗτος παλλακίδος ἐρᾷ. εἰ δὲ δίκαιον ἐμὲ τὴν ὁμόζυγα παραδιδόναι τῷ τυχόντι διὰ σωτηρίαν, ὡς ἔφης, πολύ γε μᾶλλον δικαιότερόν τε τῷ παιδὶ κινδυνεύοντι παραχωρῆσαι τῆς παλλακίδος. εἶπεν εὐμεθόδως, συνελογίσατο δυνατῶς, καὶ πέπεικε τὸν τεκόντα τοῖς οἰκείοις πειθαρχῆσαι δικαίοις. πρότερον μέν τοι Πολυκλῆς ἑαυτῷ προσεφθέγγετο λέγων. χαλεπὴ μὲν ἡ αἴτησις, δύο δὲ κακῶν εἰς αἵρεσιν προκειμένων, τὸ μετριώτερον αἱρετέον.



ΔΥ´Ο

ΔΥΟ ΠΟΛΕΙΣ ΚΑΤ' ΑΛΛΗΛΩΝ ΔΙΕΚΕΙΝΤΟ πολεμίως. μιᾶς τούτων βασιλεὺς ἠράσθη κόρης ἐκ τῆς ἐναντίας πόλεως, ἐπαφροδίτως ἐκμανεὶς ἐπ' αὐτῇ, καὶ γάμου τυχὼν ἐν ἀμοιβῆς μέρει πρὸς τοὺς πολίτας ἐσπείσατο τῆς φιλτάτης.

Ἀφροδίσιος Λυσιμάχῳ.

Οὐδὲν, ὡς ἐγῷμαι, πιθανώτερον πέφυκεν, οὐδ' ἀνυσιμώτερον Ἀφροδίτης. ἴσασι δ' οἱ βεβλημένοι καὶ τούτων ἡμῖν ἀντίψηφος οὐδὲ εἷς. αὕτη καὶ πόλεμον διαλύει, καὶ δυσμενεῖς παρασκευάζει βεβαιότατα σπένδεσθαι πρὸς ἀλλήλους· ἀμέλει τοι πολλάκις, μετὰ στρατηγοὺς ἀρίστους καὶ μεγάλα στρατόπεδα καὶ πολλὴν τοῦ πολέμου συσκευὴν, ὁ βραχὺς ἐκεῖνος τοξότης μικρᾶς ἀκίδος βολῇ, καὶ αὐτὸν δήπου τὸν Ἄρη περιττὸν ἀποφαίνει, πρᾳότητα αὐτῷ πορίζων. ἔνθα τις ὁπλίτην μὲν ἰδὼν εἰ καὶ δύσμαχον, προὐβάλλετο τὴν ἀσπίδα σὺν εὐτολμίᾳ, κατιθύνων τὸ δόρυ· ἔρωτος δὲ φανέντος, γέγονε ῥίψασπις εὐθὺς, ὁ τέως θρασὺς, καὶ τὴν δεξιὰν ἀκονιτὶ προσανατείνας, ὡμολόγει τὴν ἧτταν· τῆς τε μάχης ὑπανεχώρει, μεταστρέπων τὰ νῶτα παιδαρίῳ τοξότῃ, μηδὲν γ' οὖν μαλθακὸς αἰχμητὴς εἶναι δι' ἐκεῖνον τολμήσας. Μίλητος τοίνυν καὶ Μυοῦς πόλεις ἐπὶ μήκιστον χρόνον πρὸς ἀλλήλας ἀνεπίμικτοι διετέλουν· πλὴν ὅσον ἐς Μίλητον οἱ τῆς ἑτέρας ὑπόσπονδοι βραχὺ προσεφοίτων, καιρὸν ἔχοντες καὶ μέζον τῆς αὐτόθι τιμωμένης Ἀρτέμιδος τὴν πανήγυριν, καὶ σμικρὰν ἀνακωχὴν ἑκάτερος τὴν ἑορτὴν ἐποιοῦντο. τούτους Ἀφροδίτη κατελεοῦσα διήλλαξεν, ἀφορμὴν εἰς σύμβασιν μηχανησαμένη

τοι-

τοιάνδε. κόρη γάρ τις τοὔνομα Πιερία, φύσει τε καλὴ, κἀκ τῆς Ἀφροδίτης ἐπισημότερον κοσμηθεῖσα, ἐκ τοῦ Μυοῦντος ἐγκαίρως ἐπεδήμησε τῇ Μιλήτῳ· καὶ τῆς θεοῦ τὸ πᾶν διεπούσης, μετὰ τοῦ πλήθους εἰς Ἀρτέμιδος ἐχώρουν, ἡ μὲν παρθένος ταῖς χάρισιν ἀγλαϊζομένη, Φρύγιος δὲ ὁ τοῦ ἄστεος βασιλεὺς πρὸς τῶν ἐρώτων κατατοξευόμενος τὴν ψυχὴν ἐπὶ τῇ κόρῃ τὴν πρώτην αὐτίκα φανείσῃ· καὶ θᾶττον ἄμφω συνῆλθον εἰς εὐνὴν, ἵνα καὶ πρὸς εἰρήνην ὅτι τάχιστα συναφθῶσιν αἱ πόλεις. ἔφη δ' οὖν ὁ νυμφίος ἐρασμίως ἐναφροδιάσας τῇ κόρῃ, καὶ σπεύδων αὐτῇ πρέπουσαν ἀμοιβὴν ἀποδοῦναι· εἴθε γὰρ θαρροῦσα λέξειας ὦ καλὴ, τί ἄν σοι χαριέστατα γένοιτο παρ' ἐμοῦ· καὶ διπλασίαν ἡδίως τὴν αἴτησιν ἀποπληρώσω. τοιαῦτα μὲν ὁ δίκαιος ἐραστής. σὺ δὲ ὦ πασῶν ὑπερφέρουσα γυναικῶν καὶ κάλλει καὶ γνώμῃ τῆς σώφρονος οὐ παρήγαγεν σὲ βουλίας, οὐχ ὅρμος, οὐχ ἑλικτῆρες, οὐ πόλεων τὸ πολύτιμον, οὐ περιδέρραιον, οὐ Λύδιός τε καὶ ποδήρης χιτὼν, οὐ πορφυρίδες, οὐ θεράπαιναι τῆς Καρίας, οὐδὲ Λυδῶν ὑπερφυῶς ἱσουργοῦσαι γυναῖκες, οἷς ἅπασιν ἀτεχνῶς ἀγάλλεσθαι τὸ θῆλυ πέφυκε γένος. ἀλλ' εἰς γῆν ἑώρας τὸ πρόσωπον κλίνασα, ὥσπέρ τι συννοουμένη· εἶτα ἔφης ἐπιχαρίτως πεφοινιγμένη τὰς παρειὰς, καὶ τὸ πρόσωπον ἐξ αἰδοῦς ἀποκλίνασα, καὶ πῆ μὲν τῆς ἀμπεχόνης ἄκροις δακτύλοις ἐφαπτομένη τῶν κρασπέδων, πῆ δὲ περιστρέφουσα τοῦ ζωνίου τὸ ἄκρον, ἔστιν δὲ ὅτε καὶ τοὔδαφος περιχαράττουσα τῷ ποδί· ταῦτα δὴ τὰ τῶν αἰδουμένων ἐν διαπορήσει κινήματα. ἔφης οὖν μόλις ἠρεμαίᾳ φωνῇ· ἐπίνευσον ὦ βασιλεῦ ἐμέ τε καὶ τοὺς ἐμοὺς συγγενεῖς εἰς τήνδε τὴν εὐδαίμονα πόλιν, ὅταν ἐθέλοιμεν ἐπ' ἀδείας ἰέναι. ὁ δὲ Φρύγιος τῆς φιλοπάτριδος γυναικὸς ὅλον κατενόησε τὸν σκοπὸν, ὡς διὰ τούτων ἐκείνη σπονδὰς πρὸς Μιλησίους πραγματεύεται τῇ πατρίδι. κατένευσέ τε βασιλικῶς, καὶ τὸ σπουδασθὲν ἐκύρωσε τῇ φιλτάτῃ πιστότερον, ἢ κατὰ θυσίαν ἐμπεδώσας ἐξ ἔρωτος τοῖς

ἀστυγείτοσι τὴν εἰρήνην. φύσει γὰρ εὐδιάλλακτον ἄνθρωπος, ὅταν εὐτυχῇ· αἱ γὰρ εὐπραξίαι δειναὶ τὰς ὀργὰς ὑφαρπάζειν, καὶ τοῖς εὐτυχήμασι τὰ ἐγκλήματα διαλύειν. οὕτως οὖν ἐκφανῶς δεδήλωκας, ὦ Πιερία, τὴν Ἀφροδίτην ἱκανὴν εἶναι παιδεύειν ῥήτορας, οὐκ ὀλίγον ἀμείνους καὶ τοῦ Νέστορος τοῦ Πυλίου. πολλοὶ γὰρ πολλάκις ἑκατέρωθεν τῶν πόλεων σοφώτατοι πρέσβεις ἐξ ἑτέρας εἰς ἑτέραν ὑπὲρ εἰρήνης εἰσιόντες διακενῆς ὅμως κατηφεῖς τε καὶ ἀσχάλλοντες, ἄπρακτον ἀνέλυον τὴν πορείαν. ἐντεῦθεν τοιοῦτος εἰκότως παρὰ ταῖς Ἴωσι πάτριος ἐπεκράτησε λόγος. εἴθε με παραπλησίως ὁ σύνοικος τιμήσειε τὴν ὁμόζυγα, ὥσπερ ὁ Φρύγιος τὴν καλὴν τετίμηκε Πιερίαν.


ΕΥ̓́ΠΟΡΟΣ ΠΕΝΙΧΡᾺΝ ΑΥ̓ΘΑΙΡΈΤΩΣ ΓΉΜΑΣ, ἵνα μηδὲν ἀλαζονικὸν ἐκ πλουσίας ὑπομείνῃ.

Εὐβουλίδης Ἡγισιστράτῳ.

Ἀστρόπου γυναικὸς οὐδὲ πενία δεδύνηται μᾶλλον ἐξημερῶσαι τὴν γνώμην, οὐδὲ βραχὺ γοῦν αὐτὴν παρασκευάσασθαι τοῦ ἀνδρὸς κατήκοον εἶναι. ἐγὼ γὰρ πενιχρὰν ἐξεπίτηδες ἠγαγόμην, ὅπως εὐπόρου γαμετῆς μηδὲν ὑποστήσομαι σοβαρόν· καὶ ἤρων αὐτῆς αὐτίκα, τὸ πρῶτον τῆς ἀπορίας αὐτὴν ἐποικτείρων· καὶ τῆς τύχης ἐνόμιζον αὐτὴν ἐλεεῖν. οὐκ ᾔδειν δὲ ὅτι τοιοῦτος ἔλεος ἔρωτός ἐστιν ἀρχή. ἐκ γὰρ ἐλέου τὰ πολλὰ φύεται πόθος. ἀλλ' ἡ τούτων ἐξ ἀρχῆς τὴν τύχην ἐνδεὴς πάσης ὁμοζύγου πλουσίας φρύαγμα καὶ τῦφον πολλῷ τῷ μέσῳ παρῆλθεν· ἔστι δὲ καὶ τὸν τρόπον καὶ τοὔνομα Δεινομάχη, καὶ τὼ χεῖρε μόγις ἀπέχεται, καὶ ὥσπερ δέσποινα δεινή, κεκράτηκέ μου πικρῶς, οὔτε γοῦν ὡς εὔπορον τιμῶσα, οὔτε μὴν ὡς σύνοικον αἰδουμένη. ταῦτά μοι τῆς γαμετῆς ἐστιν ἡ προίξ. ναὶ μὰ Δία· ὑπε-

μνή-

μνήσθητι γάρ· θαυμαστὸν ἐπινέγκατό μοι κἀκεῖνο. ἐπεντρυφᾷ πολυτελῶς, καθάπερ ἐπειγομένη πεινητά με καταστῆσαι ταχύ. οὐδεὶς γὰρ ἐξαρκεῖ πλοῦτος αὐτῇ· οὐδ' ἂν ἐκ ποταμῶν ἐπιρρέῃ. ἐγὼ δὲ θοιμάττιον αὐτῇ δεικνὺς, ὅσπερ αὖ τύχω φέρων, κωμικῶς τὴν ἄσωτον ὑπαινίττομαι φάσκων· ὦ γύναι λίαν σπαθᾷς. ἀλλ' οὐδὲ πώποτε τῶν ἐμῶν πεφρόντικε λόγων· ὀδυνᾷ με δὲ τὸν ἀγαπῶντα μάλιστα, ἀναισθήτου γυναικὸς ἀτιμία. τοσοῦτον ἐστὶν δύσχρηστον τὸ κακόν. καὶ πέρας ἓν μόνον ἐμοὶ τούτου δοκεῖ, τὴν βάρβαρον ἐς κόρακας ἐκπέμψασθαι τῆς οἰκίας, πρίν τι σκαιότερον ὑπομείνω. φύσει γὰρ αἱ γυναῖκες ἐπὰν τούτων οἱ συνοικοῦντες ἀνέχωνται, βαρύτερον ἐπεμβαίνουσιν. ἄπιτω τοίνυν ἡ θηριώδης. ἔστω, δεδόχθω, οὐδὲν ἀμφιβάλλω. κατάδηλος ἡ γυνή. ἄρκτου παρούσης, φησὶν, οὐκ ἐπιζητήσω τὰ ἴχνη.



Ε΄Κ ΤΩ͂Ν ΤΟΥ͂ ΘΕΟΦΥΛΑ΄ΚΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ͂ ΤΟΥ͂ ΣΙΜΟΚΑ΄ΤΟΥ.

Κριτίας. Πλωτίνῳ.

Ὁ Τέττιξ ὁ μουσικὸς, ἦρος φανέντος, τῆς μελῳδίας ἀπάρχεται. ᾠδικώτερος δὲ τοῖς ἄσμασι καὶ τὴν φύσιν λαλίστερος ὥρᾳ μεσημβρίας γνωρίζεται, ἀκτίνων ὥσπερ ἡλιακῶν μεθυσκόμενος. τερετίζει γοῦν ὁ μελῳδὸς, βῆμα τὸ δένδρον ποιούμενος, θέατρον τὸν ἀγρὸν, καὶ τοῖς ὁδίταις τὴν μουσικὴν ἐπιδείκνυται. ᾄσαι γοῦν καὶ ἡμεῖς τὰς σὰς ἀρετὰς ἐπειγόμεθα. ἐκθάλπουσι γάρ πως καὶ ζωπυροῦσι πρὸς ἐγκώμιον τὰ ὑμέτερα. πάλαι γὰρ νεκρωθέντας ἡμᾶς τῷ ῥυπώδει βίῳ, ἐκ τῶν σῶν γραμμάτων πρὸς ἀρετὴν ἐψύχωσας. οὕτω γενοίμην ὁ Κριτίας Πλωτίνος

τῖνος. ἢ σώματος ἐκτὸς φιλοσοφεῖ ὁ ἐπὶ γῆς, ἡ φιλοσοφία σωματωθεῖσα μετ' ἀνθρώπων ὡς ἄνθρωπος ἀναστρέφεται.

Δόρκων Μόσχωνι.

Ὁ Ταξίαρχος τῶν προβάτων ὁ θαυμαστός μοι κριὸς ἀπόλωλε. καὶ ποιμαντικῆς ἡγεμονίας χηρεύει τὰ θρέμματα. κακόν τι πεπόνθαμεν μέγιστον· καίτοι μοι δοκῶ χαλεπαίνειν τὸν Πᾶνα· οὐ γὰρ ταῖς σίμβλων αὐτὸν ἀπαρχαῖς ἐτιμήσαμεν. διὸ πρὸς ἄστυ χωρῶ, τὸν ὀργίλον πρεσβευσόμενος, καὶ τοῖς πολίταις τὴν ἀπήνειαν διηγήσομαι, φήσας, διὰ μελιττουργίαν ὁ Πὰν τοῦ ποιμνίου μου τὸν ἡγεμόνα διώλεσεν.

Θεανὼ Εὐρυδίκῃ.

Ὁ Φυσικός σοι κόσμος παρῴχηκε, καὶ ῥυτίδων ἐγγὺς ἡ εὐπρέπεια. σὺ δὲ χαράττειν ἐπιχειρεῖς τὴν ἀλήθειαν ἐπιπλάστῳ κόσμῳ τοὺς ἐραστὰς ἐκφαυλίζουσα. πειθάρχει χρόνῳ γραΐδιον. οὐ γὰρ εὐπρεπεῖς οἱ λειμῶνες ἐν μετοπώρῳ τοῖς ἄνθεσι. μέμνησο καὶ θανάτου, τούτῳ γὰρ ἐγειτνίασας· καὶ σωφροσύνην ἐξ ἀνάγκης ἀσκεῖν ἐπιτήδευε. καὶ γῆρας γὰρ ἀδικεῖς, καὶ νεότητα. τὴν μὲν γὰρ ἐπαγγελλομένη διέψευσαι, τὸ δὲ κεκτημένη ἐνόθευσας.

Εὐαγόρας Ἀντιπάτρῳ.

Ὅρους ὁ δημιουργὸς καὶ τῷ θαλαττίῳ διετάξατο κλύδωνι. καὶ τοῖς αἰγιαλοῖς τὸ πελάγιον κεχαλίνωται ῥεῖθρον· καὶ ψάμμος τις ἐπὶ μικρᾷ ἠπείρῳ καὶ θαλάσσῃ μεταίχμιον. οὐ γὰρ ἀδικεῖν ἡ θάλασσα τὴν γείτονα γῆν συγκεχώρηται. παλινδρομεῖ δὲ πρὸς ἑαυτὸ τὸ ῥεῖθρον μαινόμενον, μεγάλην ἀπειλῆσαν τῇ χέρσῳ τὴν ἔφοδον. ὅρους τοιγαροῦν ὦ Ἀντίπατρε τῷ σῷ νομοθέτει θυμῷ, ὑπηρέτιν χεῖρα τῆς ὀργῆς μὴ ποιούμενος· τὸ μὲν οὖν

συμ-

συμφιλοσοφεῖν ταῖς χερσὶ καὶ τὴν γλῶτταν, ἐντελὴς ἀρετῆς ὅρος ἀκρότατος· εἰ δὲ μὴ ταύτης κρατεῖν οἷός τε εἶ, ὕβρεσι τὸν θυμὸν ψυχαγώγει, εἰ κυσὶν ὑλακτοῦσιν ἐοικέναι βεβούλησαι. οὕτω γὰρ καὶ χαλεπαίνουσα θάλαττα, ἀφροῦ περαιτέρω καὶ σάλου τὰ τῆς ὀργῆς οὐκ ἐνδείκνυται.

Αἴγειρος Πλατάνῳ.

ΚΑκὰς γείτονας ὦ φίλος τὰς γεραιὰς κεκτήμεθα. πόλεμον ἀθάνατον περὶ τὸ γήδιον ἔχουσιν· οὔτε γὰρ τοῖς πατράσι τοῖς ἡμετέροις ἐσπείσαντο, οὔτε τοῖς μετ' ἐκείνους ἡμῖν τὸν πόλεμον διελύσαντο. καίτοι ἀπαρχαῖς τοῦ θερισμοῦ, πολλάκις αὐτὰς ἐτιμήσαμεν. ἀλλὰ καὶ μοῖραν τοῦ γηδίου τινὰ ὥσπερ ὀργάδα θεῷ, ταῖς ἀχαρίστοις δεδώκαμεν. ἀλλ' οὐκ αἰδέσιμα τὰ δῶρα παρ' ἐκείνοις ὡς ἔοικε. τοιγαροῦν ἅπαντες τῶν ἐντεῦθεν ἀπαίρωμεν· πέτρας γὰρ ἡμῖν γεωργεῖν συμφορώτερον, ἢ πεδία καὶ γηλόφους οἰκεῖν, χαλεποὺς κεκτημένοις τοὺς γείτονας.

Διογένης Σωτίωνι.

ΤΟ μικρὸν τοῦτο δοξάριον ὕπαρ ἐνύπνιον εἶναι τοῖς εὖ φρονοῦσι δοκεῖ. καὶ τῶν πεπλασμένων μύθων τερατωδέστερόν ἐστι καὶ φαυλότερον, ἄστατον, κουφοποιὸν, παίγνιον ἤχων καὶ πνευμάτων φαντασιωδέστερον· τοῦτο καὶ μὴ παρὸν ἀνιᾷ. καὶ προσγενόμενον πλέον ἐλύπησε. μετ' οὐ πολὺ γὰρ τοὺς ἐραστὰς ἠγνωμόνησε. καὶ πρὶν γενέσθαι πρὸς τὸ μὴ εἶναι μετέδραμε. μήσε καταπληττέτω τὰ τῆς τύχης φυσήματα. ἐμπαίζει γὰρ τοὺς ἀνθρώπους ὥσπερ καὶ βούλεται. εἴδωλα γὰρ εἰδώλων τὰ τῶν ἀνθρώπων τετύχηκε πράγματα.

Ἐρατὼ Τερψιθέᾳ.

ΤΟ'ν χρυσοῦν Καλλικράτην εἰκόνα σοι γεγραφέναι φασί. τὴν δὲ γραφὴν οὐ Τερψιθέαν οἶμαι δηλοῦν, ἀλλὰ τὴν Λάκαιναν Ἑλένην, ναὶ μὰ τοὺς ἀψευδεῖς Παρασίου πίνακας. τοιγαροῦν καὶ τὴν τέχνην καὶ τὴν φύσιν ἠδίκηκας· τὴν μὲν ἐνυβρίσασα, τὴν δὲ σοφισαμένη. ψεύσασθαι γὰρ τὴν Παρασίου τέχνην ἠνάγκασας, καὶ τὰ μὴ προσόντα σοι ἐξαποικίλαι τοῖς πίναξιν, ὥσπερ τὰ τῆς φύσεως καλλωπίζουσα σφάλματα. καὶ πολλὴν ἐκείνης τὴν ἀτεχνίαν δεικνύουσα. ἐγὼ δὲ καὶ τοῦ γραφέως ἐπαινέτις εἰμὶ, οὐ γὰρ τῆς σῆς ἀμορφίας εἶναι ζωγράφος ὑπέσχετο. καὶ τῆς φύσεως τὴν σοφίαν τεθαύμακα, κακίστῃ ψυχῇ σώματος εὐπρέπειαν μὴ πιστεύσασαν.

Σωσίπατρος Τερπάνδρῳ.

ΝΟ'μος ἐστὶ ταῖς ἵπποις, ὥς γέ μοι δοκεῖ, καὶ μάλα σοφός, ἐπαινῶ γὰρ ἐγὼ τὸ περὶ ταύτας λίαν φιλόστοργον. ἀλλὰ τίς ὁ νόμος αὐταῖς; τὴν ὑπομάζιον ἵππον ὅταν ἐνδεᾶ τῆς θρεψαμένης θεάσοιντο, καὶ πόῤῥω που τὴν τεκοῦσαν, οἷα συμβαίνει, τὴν τοῦ γεννήματος, δρῶσί τι γεννικόν. οὐ γὰρ τῆς ἑαυτῶν ἐπιλανθάνονται φύσεως· καὶ περιθάλπουσι τὸ μονωθὲν, κατ' οὐδὲν δυσχεραίνουσαι, ὥσπερ ἔγγονα συνεχῆ τε καὶ γνήσια. καὶ φύσις μὲν ταύταις οὕτω φρονεῖν, οὐ γὰρ Σόλωνος ἠνάγκασε νόμος. μετοχετεύσω τὸν λόγον πρὸς σέ. τὸν ἀδελφιδοῦν ὑπερορᾷς θύραν ἐκ θύρας ἀμείβοντα, ἀθλιώτατον τριβώνιον ἀμπεχόμενον. τῶν ἀλόγων ὄντως ἀλογώτερόν σοι τὸ φρόνημα. κύνας ἀλλοτρίους σιτίζεις. οὕτω γὰρ τοὺς περὶ σὲ κόλακας εἰπεῖν οἰκειότερον. δύσνατοι γὰρ εἶναί σοι δόξουσι μέχρις ὅτου τοῖς σοῖς ἐπεντρυφῶσιν, ὦ δείλαιος· ὑλακτήσουσι δὲ πάντως καὶ σέ, ἔτι

ἔτι τῆς κραιπάλης τὸ σύαγχος ἐρδυγόμενοι. κολάκων γὰρ φύσις καὶ μνημονικὸν πρὸς κακίαν, καὶ τῶν ἀγαθῶν εὐεπίλησον. οὐδέποτε τὸν ἀδελφιδοῦν περίθαλπε Τέρπανδρε. εἰ δὲ μὴ, τὴν πρόνοιαν ἀκαταγώνιςον ἕξεις πολέμιον, τοῖς δακρύοις τῆς φύσεως τὴν ἑαυτῆς ἀκονήσασαν μάχαιραν.

Δάφνων Μύρωνι.

ΜΕ' χρι τίνος ἐπικοιλαίνεις τὸ γήδιον, καὶ τὸ κατομβρῆσαν ὕδωρ ἐπιῤῥοφήσεις ὦ δείλαιος; ἢ τάχα μοι καὶ λιμῶττειν τοὺς παῖδας διὰ τὸ κάταυχμον μηχανᾷ; τὸ σὸν μὲν γὰρ περιλιμνάζεται γήδιον· τὸ δ' ἡμέτερον καὶ φύσιν ἠγνόησεν ὕδατος. ἐρωπάθωσαν πρὸς θεῶν αἱ νεφέλαι, εἰ μόνῳ τῷ Δάφνωνι ἀφιᾶσι τὸ ὕδωρ. ἀνὴρ ἐπίφθονος μέγα κακόν. εἰ δὲ καὶ τὸ γείτων εἶναι κελήρωται, ἀπαραίτητον τὸ δυσύχημα, καὶ θανάτῳ μόγις παυσόμενον.

Ἑρμαγόρας Σωπάτρῳ.

ΛΙ'αν ἀγεννῶς ἀκήκοά σε τὴν πενίαν ὀδύρεσθαι καὶ κακίζειν τὸν πλοῦτον ὡς ὄντα παρὰ τοῖς ἀνθρώποις ἀνώμαλον, τοῖς μὲν ἐφικτὴν, τοῖς δὲ δυσέφικτον τὴν ἑαυτοῦ παρεχόμενον κτῆσιν· ὥσπερ βασκαίνουσαν ἐπὶ τούτῳ τοῖς ἀνθρώποις τὴν φύσιν. εἰ γὰρ ἡλίου λαμπηδόνες τοῖς ἀνθρώποις ἐπίσης, καὶ πυρὸς ἀφθονία τοῖς ὅλοις ἐςὶ προχειροτάτη, καὶ ποταμῶν ῥεῖθρα χειμάῤῥων τε καὶ ἀενάων ἅπασιν ἐςὶν εὐπόριςα, τί δήπατε ἔφης τὸν χρυσὸν ἡ φύσις οὕτως ἀπηκριβωμένον τοῖς ἀνθρώποις διέθετο, καὶ φιλόνεικον δῶρον τοῖς ὑπὸ σελήνην ἀπένειμε, δι' οὗ μέγιςα κακὰ τοῖς ἀνθρώποις φοιτῶσιν; ἐγὼ δὲ πλατὺν γέλωτα τῶν σῶν καταχέω δογμάτων. αὐτὸν γὰρ τὸν τῆς φύσεως ἔπαινον ὑπόθεσιν ψόγου πεποίησαι. καὶ ταυτὸν πέπονθας τῇ γλαυκί. ἀβλεψίας γὰρ αἴτιον ἐκείνῃ δοκεῖ τὰς περιφανεῖς ἡλίου ἐκ-

O 2 λαμ-

λάμψεις. λυσιτελῶς λιμώττει χρυσοῦ τὸ ἀνθρώπειον γένος Σωσίπατρε. ἐντεῦθεν γὰρ καὶ τέχναι τῷ βίῳ εἰσήχθησαν, καὶ πόλεις ᾠκίσθησαν, καὶ συναλλαγμάτων εὐμάρεια. εἰ δὲ δεῖ συλλήβδην εἰπεῖν, πάσης εὐκοσμίας ἐστέρητο ἂν τὸ περίγειον ἐνδιαίτημα, εἰ μὴ χρυσὸς τοὺς ἀνθρώπους ἀλλήλων ἐπιδεεῖς ἐπεκτήνατο. οὐ γὰρ ἂν πλωτὴρ ἐναυτίλλετο, οὐχ ὁδοιπόρος ἐνεπορεύετο, οὐκ ἀροτῆρα βοῦν οἱ γεωργοῦντες ἐκέκτηντο, οὐ βασιλικῆς ἡγεμονίας ἐπρεσβεύετο σκῆπτρα, οὐκ ἀρχαῖς καὶ προσφόροις τὸ ὑπήκοον ἐκεκόσμητο, οὐ στρατηγὸς ἐδημαγώγει τὸ στράτευμα. εἰ δὲ καὶ ἀπόρρητον λόγον θέλεις μαθεῖν, ἀρετῆς καὶ κακίας ὁ χρυσὸς τὰς ἰδίας πεπίστευται. καὶ βασανίζεται ἔφεσις ψυχῆς δι᾽ αὐτοῦ. καὶ τῷ Κελτικῷ ποταμῷ ἐστὶν ἐφάμιλλος. νόθου γὰρ ἀρετῆς καὶ κακίας ἔλεγχός ἐστιν ἀληθέστατος.

Ἀρίστων Νικίᾳ.

Φιλομαθέστατον ζῶον φασὶ τὸν ἐλέφαντα, καὶ ἀνθρωπείων διδαγμάτων μαθητὴν ἐπιδέξιον. οὐ γὰρ ὁ τοῦ σώματος ὄγκος θαυμαστὸς παρ᾽ αὐτῷ, ὅσον ὁ τῆς παιδείας κόσμος τετίμηται. καὶ ταῦτα μὲν παῖδες περιθρυλλοῦσιν Ἰνδῶν. ἐγὼ δὲ τοῦ Νικίου τεθαύμακα τῶν ἀλόγων ζώων ἔχοντος τὸν λογισμὸν ἀλογώτερον. ὑπάρχων γὰρ παῖς ἀνδρὸς σοφιστοῦ τὰ πατρῷα ἐκλελάκτικας, περὶ δὲ κύβους καὶ παλαίστρας τὴν τοῦ βίου σχολὴν καταναλώσας, καὶ γέγονας πέρας εὐγενείας τῷ γένει. εἰ τοίνυν παῖς ἀκούειν Ἑρμαγόρου ἐθέλεις, ὀψέ ποτε πρὸς τὸν ἐκείνου βίον ἐπάνηκε. ἀγαθὸν, κἂν ἐς γῆρας σοφία τε καὶ φρόνησις παρῇ, καθὰ δοκεῖ καὶ τῷ Πλάτωνι. εἰ δὲ τῶν πάλαι κακῶν δυσαναχετεῖς μεθιστάναι, καὶ παῖδα σαυτὸν Ἑρμαγόρου κηρύττεις, τυμβωρύχος ἴσθι τοῦ πατρῴου τάφου γενόμενος. τῇ σῇ γὰρ κακίᾳ τὰς ἐκείνου ἀρετὰς καθυβρίζεις.

Ἐτ.

Ἀπαλαύτῃ Κορίννῃ.

ἘΝ τῇ παλαίστρᾳ τὸν Αὐγείαν τεθέαμαι, Κόριννα. τὴν δὲ θέαν οὔτε λόγος ἐκφράσειεν, οὔτε ζωγράφου χεῖρες μιμήσαιντο· ἦν γὰρ ὁ νεανίας εὐσθενὴς, ὄρθιος, τὸ περιστέρνιον λάσιος. οἱ δὲ ὀφθαλμοὶ δορκάδος αὐτοῦ· τὸ δὲ βλέμμα οὔτε θυμῷ φοινισσόμενον, οὔτε μαλακώτερον τῇ ὑγρότητι, ἀλλ' ἀνδρεῖον καὶ πρᾶον ὁμοῦ· ἡ δὲ χροιὰ τοῦ σώματος, οὔτε πρὸς τὸ θηλυπρεπὲς ἐλευκαίνετο, οὔτε πρὸς τὸ μελάντερον κατεσκίαστο. ἡ δὲ θρὶξ ἠρέμα πως ἐπεκύμαινε τῇ οὐλότητι, καὶ κυανίζουσαν ὥρᾳ γαλήνης τὴν θάλασσαν εἰκονίζετο, ὅτε καὶ τὴν γείτονα χέρσον ἁπαλῷ περιπτύσσεται ῥείθρῳ, τὸ μανιῶδες τοῦ κλύδωνος καὶ βάρβαρον παρελάσασα. αἱ δὲ παρειαὶ οὔτε κατέρυθροι (γυναικῶδες γάρ.) οὔτε πάλιν ὠχρότητι τὴν ἀπρέπειαν ἐπεστύγναζον· ἡ δὲ ῥὶν, λίαν σεμνῶς ἐτετόρνευτο, καὶ πολλὴν τῆς δημιουργοῦ φύσεως τὴν ἐπιστήμην ἀπήλεγχε· τὸ δὲ ἔλαιον ἐπιχεόμενον ἡλιοειδῶς περιήστραπτε, καὶ ταῖς μαρμαρυγαῖς τῶν ἐκλάμψεων τὴν παλαίστραν ἀκτίνων δίκην ἠγλάϊζε. πέπονθα Κόριννα τὴν ψυχὴν, καὶ δριμυτέρας τῆς ἀλγηδόνος αἰσθάνομαι. ἐρωτικὸν γὰρ διηγήσασθαι πάθος τὸ γυναικεῖον φῦλον αἰσχύνεται.

Γοργίας Ἀριστείδῃ.

ΔΑνειζόμενος γέγηθας. εἰσπραττόμενος ἀνιᾷ. καὶ συναντῶν τοῖς δανεισταῖς καταπλήττῃ τῷ φόβῳ, ὥσπερ θηρίοις τισὶ φοβεροῖς ἐντυγχάνειν δοκῶν. καὶ περισκοπεῖς τὰς τριόδους, καὶ πρὸς τὰς στοὰς ἀφορᾷς, τοὺς δανειστὰς δραπετεύειν γλιχόμενος. ὥσπερ οἱ ναυτιλλόμενοι ἐν μεγάλῳ τῷ κλύδωνι λιμένος τυγχάνειν ὀρέγονται. ἀλλὰ καὶ κακῷ τὸ κακὸν ἐπινέμεις. δανειζόμενος γὰρ παρ' ἄλλων, ἄλλοις ἀποδίδως τὸ ὄφλημα, ταυτόν τι ποιῶν τοῖς διὰ φόβον θανάτου κατακρημνίζουσιν ἑαυτούς. ἔπιδε τὸ δανείζεσθαι. πολυσχεδὲς τοῖς ἀνθρώποις ἐστὶ

κακόν. καὶ τῆς μυθικῆς ὕδρας τοῖς αὐτομάτοις γεννήμασιν ἐστὶ χαλεπώτερον· κἂν ταῖς καθ' ὕπνον φαντασίαις βλάβου τὸ δανείζεσθαι. οὕτω γὰρ ἐλευθέρως τὰς ἡλιακὰς ἀκτῖνας προσβλέψεις. καὶ τὸν ὑπὲρ γῆν ἀέρα λίαν προσηνῶς ἀναπνεύσεις.

Λόφων Πεδιάδῃ.

ΜΗ' ἵκοιτο ὥρας ὁ Λεύκιππος. κακὸν γὰρ ἡμῖν ἔθρεψε τὸ χωρίον θηρίον περὶ τὸν ὅρον τοῦ λοφιδίου. ἐμοὶ καὶ Σωστράτῳ συνεκεκρότητο δικαστήριον. ὁ δὲ Λεύκιππος ὅλας τὰς φρένας διέφθαρτο. καὶ χρυσοῦν τὸ δικαστήριον θεάσασθαι ὠρέγετο. τοιοῦτον φιλόχρυσον πάθος κατεῖχε τὸν δύστηνον. τοῦτο δὲ Σώστρατος ἐπιγνοὺς, χρυσῷ τὴν νίκην ὠνήσατο. καὶ τὸν λαιμὸν τοῖς δώροις τοῦ Λευκίππου ἐπέβυσεν. ἡ παρθένος δίκη διέφθαρται. καὶ χρυσὸς τοῖς ἀνθρώποις τὸ νικᾶν παλαντεύεται ἡ γὰρ ἰσόρροπος κρίσις ἀπόλωλε. δῶρα γὰρ μᾶλλον, ἢ τὸ δίκαιον ἀξιόπιστον.

Διογένης Χρύσῃ.

ΠΛούτου σε ταμίαν, οὐ δεσπότην χρημάτων εἶναι φημί. τοιαύτην γὰρ τὴν καταδίκην οἱ σοὶ κατὰ σοῦ προσήνεγκαν τρόποι. ἀγαθοῦ γὰρ μετέχειν τινὸς τὰς ἀνοσίους οὐ θέμις ψυχάς. κατόρυττε τοίνυν τὴν γῆν καὶ τὸν χρυσὸν περιφρούρει τρισάθλιε. οὐ γὰρ σὸς, ἀλλὰ παρὰ σοὶ ὁ πλοῦτος εἶναι πεπίστευται. τοῦ φρυγὸς γὰρ Μίδου τὴν κακίαν ζηλώσας, λιμώττων πλουτεῖς, βρόχοις ὥσπερ, χρυσοῖς ἀπαγχόμενος.

Ἀντισθένης Περικλεῖ.

Ο' Φιλίππου παῖς Ἀλέξανδρος ἐπὶ ταῖς εὐτυχίαις οὐδαμῶς ἐτετύφωτο. ἀλλ' ἐφιλοσόφει τὰ τῆς τύχης φυσήματα, μεγίσταις εὐφημίαις οὐκ εἰωθὼς δελεάζεσθαι. διά τοι τοῦτο ἐν τῇ τοῦ πολέμου ῥοπῇ θεασάμενος πεπτωκότα Δαρεῖον, τῇ χλαμύ-

δι

δι τὸν ἐχθρὸν περιέσκεπεν, ἀρετῆς καὶ τύχης ἐνδεικνύμενος εὐγένειαν. ἐντεῦθεν ἐλοιδόρει τὸν Ἀλέξανδρον τὸ ὑπήκοον. καὶ ἦν ἔγκλημα τῷ βασιλεῖ ἡ εὐσέβεια. ὁ μὲν οὖν Ἀλέξανδρος ἅτε δὴ φιλόσοφος ὢν, ἐδεδοίκει τὸ τῆς τύχης ὡς ἔοικεν ἄδηλον· διὸ καὶ πλείστων αὐτῷ ἀγγελθέντων ὑφ' ἓν εὐτυχημάτων, ἔφη, ὦ Ζεῦ, μίξον τι τοῖς ἀγαθοῖς καὶ δυστύχημα. οὕτως εὐλαβεῖτο τὰς εἰς ἄκρον εὐεξίας ἐμφρονέστατα ὁ Ἀλέξανδρος. εἰ μὲν οὖν γειτνιῶσαν ταῖς τροπαῖς τὴν φύσιν ἠγνόησας, μετ' οὐ πολὺ τὴν πεῖραν ὄψει διδάσκαλον, καὶ τῆς γνώσεως ἕξεις πρεσβύτερα τὰ μαθήματα. εἰ δὲ τυφλώττεις ἑκὼν, χαλεπωτέρας τῆς ποινῆς ἐπιτεύξῃ, πλημμελημάτων καὶ γνώσεως εἰσπραττόμενος δίκας.

Σωσίπατρος Ἀξιόχῳ.

Τὸν ἀδελφὸν ἔναγχός σε θάψαι φασὶ, καὶ λίαν ἐπὶ τῷ πάθει ἀπαρηγόρητα δυσφορεῖν. καὶ πῶς σε φιλόσοφον ἄνδρα θαυμάσαιμι, ἐπὶ τοσοῦτον ὑπὸ τοῦ πάθους ὑπερνικώμενον; ὕπνος γάρ τις ἐστὶν ὁ παρ' ἡμῖν θρυλλούμενος θάνατος, τοῦ μὲν συνήθους τούτου μακρότερος, πρὸς δὲ τὴν μέλλουσαν ἡμέραν βραχύτατος. ἐπὶ μικρὰν ἀποδημίαν οἱ τεθνηκότες ἐστάλησαν. οὐκ ἐπὶ πολὺ τούτων ἡμῖν ὁ χωρισμός. καρτέρησον τὴν διάζευξιν, ἀναμένων αὖθις τὴν ἕνωσιν· μὴ πάθῃς τι φιλοσωμάτου ψυχῆς. ἐπεὶ καὶ Πλωτῖνος ἐδόκει αἰσχυνομένῳ ὅτι ἐν σώματι εἴη. οὕτως ἐλύπει τὸν φιλόσοφον, τὸ θνητὸν τοῦτο περισκήνιον. στῆσόν μοι μέχρι τούτου τὸ δάκρυον· ὅρους νομοθέτει τῇ λύπῃ· φρονήσει τὸ πάθος θεράπευσον. ἰατρὸς γίνου σεαυτῷ. ἔχεις λόγον τὸ φάρμακον, νηπενθές ἄχολόν τε κακῶν ἐπίληθον ἁπάντων. οὐκ ἐκ κρείττονος ἐπὶ τὸ χεῖρον παράγει ποτὲ ὁ δημιουργὸς τὰ ποιήματα. τοῖς θνητοῖς τὰ θνητὰ καταλείψωμεν. μεγάλαις γὰρ κηλῖσιν ἐνθάδε τὸ βασιλικὸν τῆς ψυχῆς καταστίζεται. ἐγὼ τὴν γένεσιν, ἢ τὸν θάνατον μᾶλλον δακρύσαιμι. τὸ μὲν γὰρ δακρύων ἀρχὴ,

τὸ δὲ τῶν ἀνιώντων κατάλυσις. ἄγνοια περιδεεῖς ἡμᾶς ἀπεργάζεται. καὶ θάνατον δυλαβύμεθα, ὐχ ὅτι κακόν, ἀλλ᾽ ὅτι τοῖς ἀνθρώποις ἠγνόηται. ὃ γάρ τις τὴν γνῶσιν ἀφήρηται, τούτυ κατηγορεῖ προχειρότατα. μὴ γένοιο τοίνυν τῇ Νιόβῃ ἐφάμιλλος, ἵνα μήπου δόξῃς καὐτὸς, λίθῳ τὴν ἀνθρωπείαν φύσιν ἀμείβεσθαι.

Ἡρακλείδης Ἀντισθένει.

Οὔπω μοι τῆς ὀργῆς ὑφῆκας Ἀντίσθενες. ἀλλ᾽ ἔτι χαλεπαίνεις ἡμῖν, καὶ κρύπτεις τὴν ἀνίαν προσώπων ῥημάτων προσχήματι, ὥσπερ οἱ ἐν αἰθάλῃ σπινθῆρα πυρὸς ταμιεύοντες. ἐκκάθαρε λοιπὸν τῆς καρδίας τὴν λύμην. τῦτο γὰρ οἱ ἡμέτεροι λόγοι πρεσβεύονται. εἰ δὲ μὴ καὶ θαλάσσης ἀπηνέστερος ἔσῃ. κατευνάζει γὰρ ἐκείνη τὸ ἄγριον, καὶ παρέχεται τοῖς πλωτῆρσιν ὄψιν φιλάνθρωπον, ἐπὴν ἅπαξ τῷ ἐλαίῳ φιλοφρονῦνται ἄγαν τοῖς κύμασι χαλεπαίνυσαν.

Λαχάνων Πηγάνωνι.

Ἥκέ μοι πρὸς πύλαιον αὔλειον. ἐν δημήσαιμι γὰρ τῦ ἄστεος, καὶ δαιτυμὼν ἔσομαι φίλτατε. νύμφαις γὰρ καὶ τῷ Πανὶ τὰς ἀπαρχὰς τῦ ποιμνίυ ἀναθήσομαι. δίδοῦσι γὰρ ἡμῖν ὀψέποτε οἱ θεοί· τὰ κισσύβια πεπλήρωταί μοι τῦ γάλακτος. αἱ ἄρνες διδύμως τετόκασι. περισκιρτῶσιν αἱ αἶγες ἐπὶ ταῖς εὐτυχίαις ὥσπερ γηθόμεναι. πεπαύμεθα πενίᾳ μαχόμενοι δυσνυθετήτῳ θηρίῳ καὶ δυσκόλῳ. δίκην γὰρ ἕλκυς τοῖς κεκτημένοις ἐμπλέκεται. φιλοσύνηθές ἐστι κακὸν, ῥαθυμοποιὸν, κατηφὲς, πρὸς λύπην ἀπαρηγόρητον, πρὸς ἀνίαν ὀξύῤῥοπον, ἄγρυπνον, φιλομέριμνον, ἐπίμοχθον, κακῶν ἐφευρετικὸν, ἄδοξον, εὐκαταφρόνητον, ἀνεπίφθονον· ὐ γάρ τις ἐθέλει τηλικύτῳ κακῷ συναντᾶν, ὐδ᾽ εἰ τὴν Ὀρέστυ μανίαν νοσεῖν κατακριθείη. ῥίψαντες τοίνυν τὰ τῆς πενίας τῇ πενίᾳ, ἐφ᾽ ἑτέραν

μετα-

μετ(ασησώμεθα λῆξιν, μετὰ τῆς ψυχῆς ἀμείψαντες καὶ τὸ φρόνημα.

Ἡφαιςίων Θάλητι.

ΤΟ΄ μηδικὸν ὄρνεον ὁ ταὼς καὶ τῶν Μήδων τὴν ὑπεροψίαν κεκλήρωται, μέγα τι καὶ ὑπέρογκον ἐπὶ τῷ κάλλει φρονῶν. τούτου καὶ τὴν θήλειαν ἡττᾶσθαι δοκεῖ. τὸ πτερὸν τοιγαροῦν οἷα δὴ κόμην ἀνίςησι, καὶ περιφανέςατόν τι τοῖς ὁρῶσι κάλλος παρέχεται καὶ κυκλικὸν ἀπεργάζεται σχῆμα. καὶ τὸν οὐράνιον εἰκονίζεται κόσμον. καὶ τοῖς ὀφθαλμοῖς τοῦ πτεροῦ τὴν τῶν ἄςρων διακόσμησιν ἀναπλάττεται. καὶ τοῦτο μὲν Μηδικῶν ὀρνέων ἦθος φιλόκαλον. οὐ γὰρ βασκαίνουσι, τὴν ἑαυτῶν εὐκοσμίαν ζωγράφους διδάσκοντες. σὺ δὲ τοῖς σοῖς ἐφέζῃ συγγράμμασι. καὶ τὰς σὰς ἀρετὰς ἐγκαλύπτεις. καὶ τοὺς πόνους ἀνεπιδείκτους ἐᾷς, τηλικαύτης ὠφελείας ὑμᾶς χηρεύοντας παρορῶν. εἰ μὲν οὖν βασκανία τίς ἐςιν ἡμᾶς τὸ λυποῦν, ἀφιλόσοφον τὸ ἐγχείρημα, καὶ τῆς σῆς ἐπαγγελίας ἀλλότριον. εἰ δὲ ὄκνος τὴν ἀναβολὴν ταμιεύεται, ταυτόν τι πέπονθας ἀνδρὶ γεωργῷ πολλοὺς τοὺς ἱδρῶτας δεδανεικότι τῇ γῇ, καὶ θέρους ἀκμῇ μὴ δρεπομένῳ τοὺς ςάχυας.

Πόας Ἀμπελίῳ.

ΔΕῦρο ξυναυλίαν γερόντιον κλαύσωμεν. ὁ ποταμὸς ἀνεσκίρτησε, καὶ κακὸν ἡμῖν ὠρχήσατο σκίρτημα. ὅλον τὸν ἀγρὸν ἐπεκλύσατο. καὶ τὰ νεογόνα τῶν ἀμπέλων ὁ φοβερὸς ἐπεβύθισε. τὸ δὲ μεῖζον δυςύχημα, οὐκ ἐθέλει ὁ μιαρὸς τῶν ἐντεῦθεν ἀπαίρειν. ἐμφιλοχωρεῖ γὰρ τῷ γηδίῳ, καὶ κοίτην τὸν ἀγρὸν πεποίηται τὸν ἡμέτερον. καὶ δακρύων ἄξιόν ἐςιν ἰδεῖν. ἀντὶ γὰρ ἀμπέλων τοὺς ἰχθύας γεωργοῦμεν οἱ τάλανες. ὅταν ὁ ποταμὸς ἐθέλῃ, ἀγρεύομεν. ὅταν ἐθέλῃ λιμώττομεν. καὶ μέγα τί μοι δῶρον φιλοτιμεῖσθαι δοκεῖ. εἴθε τῷ θέρει τὰς νεφέλας

μη-

μηδαμῶς ἱκετεύοιμεν, ὄμβροι ἡμῖν αὐχμῶσι χαρίζεσθαι. οὔπω γὰρ ἅπερ κεκτήμεθα, οὐκ ἂν ἀφῃρήμεθα. ποταμὸς γὰρ καθ' ἑαυτὸν ἐπαχθής. εἰ δὲ καὶ ὄμβροι πλουτήσαιεν, τοῦ πυρός ἐστιν ἀκρατέστερος, καὶ μείζοις οὐ χαλινοῖ τὰ φρυάγματα.

Γαλάτεια Θέτιδι.

Ἐπαινῶ σου τὴν φρόνησιν, καὶ τὸ λίαν ἐμπειρότατον ἄγαμαι· ὥσπερ γὰρ ἐκ τρίποδός τινος πυθικοῦ τὰ μέλλοντα διηγήσω μοι· καὶ τοῦ Λυγγέως ὀξύτερον τὰ βαθύτερά τε καὶ ἀφανῆ τῶν πραγμάτων ἐσκόπησας. ὁ Καλλίμαχος ἡμᾶς καταλέλοιπεν. ἀπέπτη μετεωριζόμενος ὀξυτάτῳ τοῦ κόρου πτερῷ, ἐδραπέτευσεν ἡμᾶς ὁ παμμίαρος· καὶ γέγονεν ὁ κόρος αὐτῷ τῆς ἐπιθυμίας πρεσβύτερος. σὺ δέ μοι παρῄνεις πολλά. ὅρκοις μὴ πείθου Γαλάτεια· ὅρκων τοῖς ἐρῶσιν οὐδέν ἐστιν δυσχερέστερον. ἐρωτικῶν γὰρ οἱ νέοι μεθύοντες ἡδονῶν, καὶ τὸ καλῶς ἀφαιροῦνται βουλεύεσθαι. καὶ πράττουσι καὶ φθέγγονται ὅσα νομοθετοῦσιν οἱ ἔρωτες. οὐ γὰρ αὐτοκίνητον ἔχουσι τῶν πραγμάτων τὴν ἔφεσιν, ἀπιστία πίστεως ἔοικεν ἀσφαλέστερον. καὶ πρὸς ἀπάτην ὅρκος σοφιστής ἐστιν ἀξιόχρεως.

Θεμιστοκλῆς Χρυσίππῳ.

Ἐπειδὴ σωφροσύνη καὶ παρὰ τῷ μύθῳ τετίμηται, ἄγε δῆτα Χρύσιππε διαμυθολογήσωμαί σοι μῦθον οὐκ ἄσεμνον. ἀφίκοντό ποτε πρὸς τὸν Δία τὰ ὄρνεα, καὶ ὀλύμπιον ἐπρεσβεύοντο ἡγεμόνα· ἦν γὰρ ἀναρχία τοὺς ὄρνιθας τὸ λυποῦν· καὶ μεγίστου τινὸς ἀγαθοῦ ἡγεμονίας ἐχήρευον. καὶ πολλὴν διὰ τοῦτο τὴν ἀκοσμίαν ἐκέκτηντο. ἐπένευσε τοίνυν ὁ Ζεύς, καὶ γέγονεν ἔργον τὸ βούλημα. καὶ δωρεῖται δῶρον τοῖς ἱκετεύουσι θαυμαστόν. βασιλέως γὰρ ἦν ἀξίωμα τὸ διδόμενον· προσέταττε δῆτα τοῖς ὄρνεσιν ἐπὶ λίμνας καὶ πηγὰς ἀφικέσθαι, καὶ τὸν ἑαυτῶν ἀποσμήξασθαι ῥύπον. καὶ τοῖς ὕδασι τὴν βάσανον τῆς ἡγεμονίας ἐπέστευσεν.

στῆσαι. ἦν γὰρ δὴ εὐπρέπεια παρὰ τῷ Διὶ τὸ τιμώμενον. ἐλούσαντο δῆτα οἱ ὄρνιθες. εἶτα πρὸς τὸν Δία παλινδρομοῦσιν εὐθύς. καὶ τὴν ἑαυτοῦ ἕκαστος εὐπρέπειαν ἐνεδείκνυτο. ὁ δὲ κολοιὸς τὴν οἰκείαν δεδιὼς ἀμορφίαν, τὴν τῆς φύσεως δημιουργίαν ἐνόθευσεν, ἀλλοτρίῳ κόσμῳ τὴν ἑαυτοῦ καλλωπίζων εὐπρέπειαν· ἀλλ᾽ ἤλεγξε τὴν ἀμορφίαν ἡ γλαῦξ, καὶ τὸν ἐπίπλαστον κόσμον ἐδείκνυε. τὸ γὰρ οἰκεῖον ἐπιγνοῦσα πτερὸν, ὡς ἴδιον ἀφείλετο. καὶ τοῖς ἄλλοις ὀρνέοις ἐδίδου παράδειγμα, ἕκαστον ἀφαιρεῖσθαι τὸ ἴδιον. καὶ γέγονεν αὖθις ὁ κολοιὸς κολοιός ὁ μῦθος, ὦ Χρύσιππε, τὴν ἀλήθειαν καθάπερ ὕπαρ φθέγγεται, πολλὴν σωφροσύνην ἡμῖν διηγούμενος. οὔπω γὰρ καὶ οἱ ἄνθρωποι οὐδὲν τῶν τῇδε κεκτήμεθα ἴδιον, ἀλλὰ ζῶντες μὲν πρὸς ὀλίγον ἐπιπλάστῳ σεμνυνόμεθα κόσμῳ· τεθνηκότες δὲ ἀφῃρήμεθα ἅπερ οὐκ ἔστιν ἡμέτερα. ὑπερόρα τοίνυν χρημάτων καὶ σώματος. ἀθανάτου δὲ πράγματος ἐπιμελοῦ τῆς ψυχῆς· τὸ μὲν γὰρ ἀΐδιον καὶ ἀθάνατον. τὰ δὲ θνητὰ, καὶ πρὸς ὀλίγον ἐστὶν ἡμέτερα.

Εὐελπίδης Κίμωνι.

Ἐπαγγέλλῃ πολλὰ, καὶ πράττεις ὀλίγα. καὶ τὴν γλῶτταν ἔχεις ὑψηλοτέραν τῆς πράξεως· ἀλλ᾽ εἰ μὲν ῥημάτων κομψότης τεθαύμασται παρὰ σοὶ, οἱ ζωγράφοι τῆς σῆς δυνατώτεροι γλώττης τοσαῦτα πλαστουργοῦντες τοῖς πίναξιν, ὅσα πράττειν ἡ φύσις οὐ δύναται. εἰ δὲ καὶ χαίρειν δοκεῖς ὑποσχέσεσι τοὺς ἀκούοντας, μετ᾽ ὀλίγον μὲν εὐφρανεῖς, ἀνιάσῃ δὲ μετ᾽ οὐ πολὺ χαλεπώτερον. ἐπεὶ καὶ τῶν ἐνυπνίων τὰ κάλλιστα, οὐ τοσοῦτον ἡμᾶς εὐφραίνει καθεύδοντας, ὅσον ἐγρηγορότας ἐλύπησαν. αἱ γὰρ ἐλπίδες μετὰ τοῦ ὕπνου συνανίπτανται. σύμφωνα δὴ τῇ γλώττῃ τὰ πράγματα κέκτησο, ἵνα μὴ καὶ φίλοις ἀπεχθήσῃ ψευδόμενος, καὶ τοῖς ἐχθροῖς ὑπόθεσιν ψόγου ποιήσειας, ὡς ἀληθείας ὑπάρχων ἀμέτοχος.

Σωκράτης Πλάτωνι.

Ἀδικεῖται μὲν ὐδεὶς, ἀδικῦσι δὲ πάντες, αὐτομάτως ἕκαςος ἑαυτὸν ἀδικῶν. ἀρετῆς γὰρ καὶ κακίας ἐσμὲν αὐτοκράτορες. ἀφείλετό σε Λεωνίδης τὸ γήδιον; τῦτο τῶν ἐκτὸς, τὴν σὴν ψυχὴν ὐδὲν ἐλυμήνατο. ἐζημίωσε Φίλιππος, καὶ τὸν δακτύλιον σφετερίζεται; ὐδὲν ἠδίκησαι αὐτὸς, τὸ γὰρ ἐπίκτητον οὐχ ἡμέτερον. τὸν σὸν ὑὸν ἀνεῖλον οἱ βάρβαροι; ὐ πέπονθάς τι δεινόν. ὐ γὰρ ἀΐδιον τὸν παῖδα ἐκέκτησο· ἔναγχός σοι μὴ κεκτημένῳ προσγέγονε, καὶ πάλιν ὐκ ἔςιν, ἐπείπερ ὐκ ἦν, ἀλλ' ἐγένετο. οὐκοῦν ἀδικῦσιν, ὐκ ἀδικοῦνται οἱ ἄνθρωποι. καὶ τὸν Ὁμηρικὸν τεθαύμακα κύκλωπα. ὐδένα γὰρ βλάπτειν ἀδικούμενον ἔφασκε· καὶ ἦν τῷ ποιμένι ἀπόφασις ἡ τῆς ἀληθείας κατάφασις.

Μαράθων Πηγάνωνι.

Τοὺς πολιτικοὺς κλύδωνας ἐκφυγὼν καὶ τὺς ἀπαραιτήτυς θορύβυς τῦ ἄςεος, ἐμισθωσάμην τὸν ἀγρὸν τυτονὶ, καὶ μεταβολὴν ψυχῆς ἐδόκουν εὑρεῖν. ἀλλὰ μείζοσι κακοῖς ἐμβεβλήμεθα. ποτὲ γὰρ τὴν ἐρυσίβην ἔχω πολέμιον. ποτὲ τὰς ἀκρίδας. ἄλλοτε καὶ τὴν χάλαζαν. ἡ δὲ πάχνη λυμαίνεται τὺς καρπὺς, ὡς ἀπαραίτητος τύραννος. καὶ τὺς ἱδρῶτας ὁ τάλας τοῖς ἀνέμοις χαρίζομαι· οἴμοι ὁ δύςηνος. ὅποι τράπωμαι. ὅταν τῶν γεωργικῶν πόνων μνησθῶμεν, τὰ τῦ ἄςεος ἀσπαζόμεθα. ὅταν τὸν πολιτικὸν τάραχον ἀσπασώμεθα, τῆς ἀγροικίας ἐρῶ. καὶ τῦ παρόντος ἐςὶ τὸ μὴ παρὸν εὐτυχέςερον. μία τῶν λυπηρῶν ἀνάδυσίς ἐςιν ὁ θάνατος, εἴτε φυσικός ἐςιν, εἴτε πάλιν αὐθαίρετος. ὐκῦν ἀγχόνημοι τὸ φάρμακον βδελύττομαι τὴν ζωήν. αἰωρεῖν γὰρ τὸν θάνατον τὺς δυςυχοῦντας ἠλίθιον.

Διο-

Διογένης Α'ρισάρχῳ.

Κατέπληττε τὴν Μακεδονίαν Α'λέξανδρος, τῷ βουκεφάλῳ ἐποχούμενος ἵππῳ. τὸν δὲ ἵππον χαλινῷ ἱστοροῦσι μὴ πείθεσθαι. μήτε δὲ χειροήθεσι κολακείαις μαλάττεσθαι. καὶ γὰρ ἀτιθάσσευτον τὸ ζῶον καὶ τῷ θυμῷ τὸ ἵππος εἶναι ἀφῄρητο. καὶ κακόν τι ἀπρόσιτον ἦν, καὶ τοῖς ἐντυγχάνουσι λίαν δυσαντητον. ὅτε τοίνυν ἐπιβάτην Α'λέξανδρον ἐκληρώσατο, τὴν ἀπήνειαν ὥσπερ πρᾳότητι συνεκέρασεν, ἀμειβόμενος τῇ κατηφείᾳ τὸ φρύαγμα. καὶ ἦν ἰδεῖν σώφρονα τὸν ἀκόλαστον. οὐ γὰρ Α'λεξάνδρῳ θέμις ἦν ἀντιμάχεσθαι. ἔσο τοίνυν Α'ρίσαρχε καὶ σὺ τῆς τύχης ὑπήκοος. οὐ γὰρ Α'λεξάνδρῳ, ἀλλὰ τῇ τύχῃ ὁ βουκέφαλος ἐπείθετο.

Ποιμνίων Α'ρνωνι.

Τὰ τῶν προβάτων οὔθατα ὑπὸ τοῦ γάλακτος μέλλει μοι διαρρήγνυσθαι. καὶ κισσυβίων οὐκ οἶδα πῶς ἠπορήμεθα. διὸ δίδου μὲν αὐτὸς τὰ κισσύβια. ἐγὼ δέ σοι γάλα παρέξομαι, μεγάλοις δώροις μικρὰς ἀμειβόμενος χάριτας.

Λεωνίδης Περιάνδρῳ.

Η'δέσθη καὶ Πρίαμον ὁ τῆς Θέτιδος πρεσβευόμενον. καὶ πολιὰν γὰρ ἐχθρῶν ὁ τοῦ Πηλέως ᾐδεῖτο. καὶ δίδωσι τῷ πατρὶ τεθνηκότα τὸν παῖδα, δυστυχεστάτῳ φιλοτιμούμενος δώρῳ τὸν Πρίαμον. καὶ τοῦ μὲν, τὴν τόλμαν τεθαύμακα. τοῦ δὲ τὴν φιλανθρωπίαν ἐπῄνεσα. γίνου μοι καὶ αὐτὸς Αἰακίδης. καὶ πολιὰς ἐλέησον δάκρυα, τὸν παῖδά μοι ζῶντα δωρούμενος. δυστυχοῦμεν γὰρ καὶ ἡμεῖς ὥσπερ καὶ ὁ Πρίαμος. οὐ γὰρ ἀνόντα σε πολέμιον ὑπὲρ παιδὸς ἐπρεσβεύσαμεν δακρύοις οὐ μέλανι τὰ τῆς ἐπιστολῆς ἐγχαράξαντες γράμματα. ἀλλ' εἰ μὲν τὸ αὐτὸ καὶ σὺ φιλανθρωπίας ἐρᾷς ἐπιδείξασθαι, προφθανέτω τὸ δῶρον τὴν αἴτησιν.

εἰ δὲ

εἰ δὲ μὴ λόγος παρὰ σοὶ βασιλεύοι, ἀλλὰ θυμός τε καὶ λύπη τὰ πρεσβεῖα κεκλήρωται, πρὸς ὀλίγον μὲν εὐφρανθήσῃ. λυπηθήσῃ δὲ μειζόνως, ἀφιλοσόφου θυμοῦ μεγάλας καὶ τὰς ποινὰς εἰσπραττόμενος.

Καλάμων Σπείρωνι.

ΕἸ γεωργὸς εἶναι βεβούλησαι, τῶν πολιτικῶν θορύβων ἀφίστασο. εἰ δὲ ῥήτορες παρὰ σοὶ καὶ δικαστήρια καὶ βήματα περιεσπούδαστα, τὴν δίκελλαν ἀφεὶς, καλαμίδα καὶ χάρτας ἀράμενος ἐς κόρακας χώρει γερόντιον. οὐ γὰρ συκοφάντας ἄνδρας καὶ τὸ, ἄνδρες δικασταὶ φθεγγομένους πυκνότερον, ἡ τῶν γεωργῶν πολιτεία προσίεται.

Σωκράτης. Κλέωνι.

ὍΤαν οἱ λύκοι μεγάλης περιτύχωσι θήρας καὶ τοῦ κόρου φιλοσοφήσωσιν, ὥσπερ ἐγκράτειαν ἀρνῶν ἔχουσι· τὸ ἦθος καὶ τὸ ἄγριον. πρὸς φιλάνθρωπον μεταβάλλουσι· καὶ θαυμαστήν τινα δικαιοσύνην ὁ κόρος ἐκδιδάσκει τοὺς λύκους· μετὰ τῶν προβάτων συνέμονται, καὶ γεραίρουσιν ἄχρις ἂν αὐτοῖς ἡ γαστὴρ ἀναπνεύσειεν. ἀλλὰ σὺ καὶ τῶν λύκων τὸν τρόπον ἀναιδέστερον κέκτησαι· καὶ μᾶλλον πλεονεκτικώτερον τὸ ἀκόλαστον ἔχεις, ὅταν ὁ χρυσὸς ὑπεραναβλύζῃ τῶν σῶν θησαυρῶν ὥσπερ οἱ μέθυσοι. διψῶσι γὰρ ὅταν κορεσθῶσι τοῦ οἴνου, καὶ σοφίζονται τῇ μέθῃ, μέθης ἐπίτασιν. ἐπεὶ γὰρ τὴν ἐς ἄκρον δεξίαν πρὸς τὴν ἐναντίαν διάθεσιν μεταπίπτουσι περιγανοῦντος τοῦ οἴνου τοὺς οἰνόφλυγας καὶ ἐκκαίοντος. ἄπαγε τῆς ἀκολάστου μέθης ἀκόλαστε· ἵνα μὴ πρὸς τὴν ἐναντίαν ῥοπὴν μεταχθῇς, ἀφαιρούμενος τῆς τύχης ἅπερ καὶ δέδωκε. τοιαύταις γὰρ τοὺς ἀχαρίστους ποιναῖς σωφρονίζεται.

Μή-

Μήδεια. Ἰάσωνι.

Οὐ γὰρ τοῖς ἀνθρώποις πειρατεύδασον οὕτως οὔτε δὲ προσκορέστερον ἐρωτικῆς καθέστηκε σχέσεως. πῦ σοι τῶν δακρύων τὰ ῥεῖθρα. ἃ τοῖς ἡμετέροις ποσὶν ἐπεκύμαινε; πῦ σοι διέπτησαν τὰ μυρία γένη τῶν λόγων ἐκείνων, τῶν τε ῥημάτων τὸ ὑφειμένον τε καὶ χαμαίζηλον; οἶμαι μήτε τοὺς δανειζομένους τοιούτοις πρὸς τοὺς δανειστὰς κεχρῆσθαι τοῖς ῥήμασι, μήτε τὸ θαυματίαν ταῖς τῶν πολεμίων ἁλόντα χερσίν. ἡ συντονος ἀγρυπνία παρῴχηκε. τὰ ἑωθινὰ καταλέλοιπας ἄσματα. παρώσω τὰς μυρίας πρεσβείας, τὰς σπονδάς, τοὺς ὅρκους, ἃς διὰ τῶν προσαγωγῶν γυναίων ἔσπεισώ μοι. πρὸς ἑτέραν ἄφνω παρθένον ὠλίσθησας, ὥσπερ οἱ καθεύδοντες ἀμέσως ἀφ' ἑτέρας πρὸς ἑτέραν ἐνυπνίων ὑπόθεσιν μεταβαίνοντες. ἐπαινῶ τοὺς ζωγράφους. ὑποπτέρους γὰρ τοὺς ἔρωτας ἀναγράφουσι. καὶ τέχνη διαμορφοῦσι τὰ πράγματα. καὶ τοῖς πλάσμασι τὴν ἀλήθειαν τερατεύονται.

Παρμενίδης Χρυσοθένει.

ΤΟ μὲν ἐγρηγορέναι διὰ παντὸς, ἀθανάτου φύσεως ἴδιον. ὕπνου δὲ μετρίως, τῶν καθ' ἡμᾶς ἐστὶν ὡς ἔοικε καὶ ἀνθρώπινον. τὸ δὲ πέρα καθεύδειν τοῦ πρέποντος, τοῖς τεθνηκόσι μᾶλλον ἤπερ τοῖς ζῶσιν ἁρμόδιον. τὰς πλείστας Χρυσόθενες τῆς ζωῆς μοίρας ἀφῄρησαι. ἀεὶ γὰρ καθεύδεις, καὶ τῆς ἐνθάδε μεταβέβηκας λήξεως, οἷά τις Ὀδυσσεὺς, τῆς καθ' ἡμᾶς οἰκουμένης ἔξω πλανώμενος. ὠκεανῷ τινι τῷ ὕπνῳ χρώμενος, καὶ μήτε ἀνίσχοντα μήτε δυόμενον προσβλέπων τὸν ἥλιον.

Κυπίας Κοριάννῳ.

Συνέριθος ἔσο μοι μεσημβρίας ὥρᾳ Κοριάννε. αἱ μασιᾷ γὰρ τὸν ἀγρὸν πεφυλάξομαι. κακοὺς γὰρ τοὺς ὁδίτας κεκτήμεθα. οὐχ οἷός τέ εἰμι καὶ ζώοις ἀλόγοις καὶ τοῖς ἀνθρώποις συμπλέκεσθαι. ὁ λαγωὸς τὰς ἀμπέλους, ἡ κάμπη τὰ λάχανα ὄλλυσι. τί δῆτα περὶ τῶν ἀσπαλάκων λέξαιμι; φοβερὸν γὰρ τῶν γεωργῶν τὸ κακὸν καὶ δυσανταγώνιστον τὸ πολέμιον. δίο μοι συμπαράτατ-του, καὶ τῶν πόνων συναντιλαμβάνου κἀγὼ δὲ ἐς αὖθις τοιούτοις ἔργοις ἀμείψομαι. οὕτω γὰρ καὶ οἱ μύρμηκες συμμαχοῦντες ἀλλήλοις, καὶ τὸν μόχθον σοφίζονται. καὶ τῶν μεγίστων πόνων ἐφάπτονται.

Σώστρατος Λυσιστράτῳ.

Ἐπειδή σοι πολλὰ καὶ θαυμαστὰ παραινέσαντες τὸν Πηνελόπης ἐδόξαμεν ὑφαίνειν ἱστὸν, φέρε δῆτα φέρε καὶ μυθικῶν ἀπαρξώμεθα λόγων. ἴσως γὰρ τῆς σῆς διανοίας ἐφίκοιτο δὴ τὰ λεγόμενα. ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὁ τέττιξ ὀχούμενος, ὥρᾳ καύματος ἐκελάδει. καὶ τῆς ἑαυτοῦ ἁρμονίας αἰσθανόμενος ἐπετέρπετο. ὁ δὲ μύρμηξ παρῆν τοῖς θερίζουσι καὶ περὶ τὴν ἅλω τὰς διατριβὰς ἐπεποίητο. καὶ τοῖς κόλποις τῆς γῆς τὴν ἑαυτοῦ τροφὴν ἐθησαύριζεν, οἷα προμηθέστερος ὢν ὁ μύρμηξ τοῦ τέττιγος. παρῳχήκει τοίνυν ἐκ τῶν βορείων ὁ ἥλιος. ἀπῆν τὸ μετόπωρον. καὶ ὁ χειμὼν ἀπήντα τῇ γῇ. ἡ δὲ θάλαττα τὰς γαληναίας σπονδὰς διελύσατο. οἱ πλωτῆρες τοὺς λιμένας ὡς σωτῆρας ὄντας ἠσπάζοντο καὶ ὁ γεωργὸς ἐπὶ τὴν ἑαυτοῦ ἀλέαν κατέφευγε. καὶ ὁ μύρμηξ ἐν ταῖς λαγόσι τῆς γῆς καὶ τοὺς πόνους εἶχεν ἑστίασιν ἐπιτήδειον ἱκέτευε δὴ ὁ τέττιξ τὸν φιλόπονον μύρμηκα τῶν θησαυρῶν μεταισχεῖν. ὁ δὲ τὸν μελῳδὸν τῶν ἑαυτοῦ θυρῶν ἀπεπέμπετο πολὺν αὐτοῦ τῆς ἀργίας καταχέων τὸν γέλωτα. καὶ τῶν θερινῶν ἀσμά-

μάτων αὐτὸν ἀνεμίμνησκε. διόπερ ὁ μὲν εἶχε λιμὸν τὴν ᾠδὴν, ὁ δὲ τοὺς πόνους τρυφήν. ἁρμόττει σοι ὁ μῦθος Λυσίστρατε. ἀργὸς γὰρ ὢν ἀθλιώτερος εἶ τοῦ πυρέσσοντος. ἐσθίων μάτην διπλάσια. ἄπαγε δῆτα τῆς ἀργίας ὦ βέλτιστε. τὰ τῆς φύσεως γὰρ δῶρα κατίσχυνας, τηλικαύτην ῥώμην καὶ εὐρωστίαν τοῦ σώματος ἀκόσμητον παρὼν ἐπιστήμη, πόνους ἀσκεῖν μὴ βουλόμενος.

Τεττίγων Πορφυρίωνι.

Ο Κορύδων εὐδαίμων ἀνὴρ καὶ τῆς τύχης φίλος ὡς ἔοικεν. αἱ ἄμπελοι ταῖς βότρυσιν ἄχθονται αἱ ἀχράδες βρίθουσι, καὶ τῶν τρυγώντων ὀρέγονται αἱ ἐλαῖαι τῇ γῇ προσνενεύκασι, καὶ τῷ πλήθει τοὺς ἐνεγκαμένους κλάδους βιάζονται. οἱ λειμῶνες κατάκομοι· ἢ ἄλως ταῖς νελοαῖς ἐφάμιλλος αὔλαξιν. ἀλλὰ καὶ τὸ γυναίον μετὰ τῶν ἄλλων εὐφραίνει τὸν ἄνδρα. τοσοῦτοι γὰρ παῖδες αὐτῷ, ὥστε καὶ Δαναὸν καὶ Αἴγυπτον ταῖς εὐτεκνίαις νικᾶν. ἄλλος μὲν γὰρ ἐστιν ὑπομάζιος. ἄλλος τῆς γαλουχείας ἐπαύσατο. ἕτεροι δὲ ἕρπουσι μήπω τῆς ὀρθῆς βαδίσεως ἀπαρξάμενοι. ἔνιοι παρὰ τὸ αὐλίζουσι καὶ τοὺς ὀδόντας ἀμείβουσιν. ἄλλοι τῆς ἀκμῆς ἐπιβαίνουσι, καὶ τὸ βούπαιδες εἶναι κεκλήρωνται. σύζυγγος δίκην αὐλῶν ἡ τῆς ἡλικίας αὐτῷ τάξις συντέτακται. σὺ δὲ παρῄνεις τὸ θυγάτριον μὴ παρεγγυᾶν τῷ Κορύδωνι. καὶ τὴν ἀγχιστείαν ἐκάκιζες ὥσπερ ἀφοσιούμενος τὴν δυσγένειαν. οἴμοι. βεβουκόλημαι ὁ δείλαιος. καὶ κοῦφον ἔχον τὸ φρόνημα. τοῖς ἀνθρώποις ἀνόνητον ἡ εὐγένεια. πλοῦτος γὰρ παρὰ πᾶσιν οὐδὲν ἐνδοξότερον.

Σωκράτης Μελανιππίδῃ.

Γυμνασταὶ μὲν, παιδοτρίβαι ἀπαραίτητοι παισί. τῆς σωφροσύνης δὲ διδάσκαλοι. ἐπειδὴ γὰρ φρονήσεως ἔτι καὶ νόμων οἱ παῖδές εἰσιν ἀνεπίδεκτοι, ἀπειλαῖς χαλινῶμεν τὸ τούτων ἀ-

κόλαστον. τοὺς γὰρ παῖδας λόγοις μᾶλλον ἢ μάστιξιν ἐκταράττομεν. ἐγὼ δὲ τὴν σὴν ἀναίδειαν ἄγαμαι. οὐ γὰρ κολάσεις δικαστηρίων σοι φοβεραί. οὔτε λόγος εἰσηγητικός ἐστιν αἰδέσιμος. τῶν παίδων ἀφρονεστέραν ἐν γήρᾳ τὴν διάνοιαν ἔχεις. ἴθι τοίνυν εἰ βούλοιο πρὸς βάραθρον. ὃν γὰρ λόγος καὶ μάστιγες σωφρονεῖν οὐ διδάσκουσι, τοῦτον πείθειν κακίαν ἀνέχεσθαι λίαν ἐργῶδες. καὶ τοῦ καθαίρειν τὸν Αὐγείου κόπρον ἐστὶ δυσχερέστερον. ἢ κοτύλῃ τὸ Ἀτλαντικὸν ἅπαν ἐκροφῆσαι πέλαγος.

Ἐρατοσθένης Αἰσχίνῃ.

Ἐσθίεις τοὺς ὅρκους ὡς λάχανα. καὶ κτύπος ὀδόντων εἶναί σοι δοκεῖ τὸ τελούμενον. καὶ τοῖς ἐγκαλοῦσιν ἀντιφθέγγῃ παμπόνηρε. ἡ γλῶττα ὀμώμοκεν. ἡ δὲ φρὴν ἀνώμοτος. οὐκ εἰδὼς, ἀχαλίνωτον γλῶτταν, μείζονα τοῦ πλημμελήματος, εἰσπραττομένην τὴν κόλασιν. ἃ γὰρ λόγοις ἁμαρτάνομεν, ἔργοις τὴν τιμωρίαν ὑφέξομεν. τὴν γλῶτταν δῆτα σώφρονα κέκτησο, ὀμνύειν καὶ πρὸς ἀλήθειαν διαλαβόμενος. ἀβαρές τι γὰρ χρῆμα ὁ ὅρκος εἶναι δοκεῖ, καὶ παντὸς ἄχθους ἐστὶ δυσφορώτερον. ἐντεῦθεν ὁ Τάνταλος ἐκολάζετο. περὶ τὰ θεῖα γὰρ ἔσχε τὴν γλῶτταν ἀκόλαστον.

Πλάτων Ἀξιόχῳ.

ἩΝίαις καὶ μάστιγι τοὺς ἵππους ἰθύνομεν. καὶ ναυτιλλόμεθα, πῇ μὲν τοῖς ἱστίοις τὴν ναῦν ἐκπετάσαντες, πῇ δὲ ταῖς ἀγκύραις χαλινώσαντες καθυβρίζομεν. οὕτω κυβερνητέον τὴν γλῶτταν Ἀξίοχε. πῇ μὲν τοῖς λόγοις ὁπλίζοντες, πῇ δὲ σιωπῇ κατευναζοντες.

Πρόκλος Ξανθίππῳ.

ΤΟὺς πολύποδας φασὶν ἀθηνείας τυγχάνοντας, τοὺς ἑαυτῶν κατεσθίειν πλοκάμους ὄψον ὥσπερ ἀληθῶς ἐμπαράσκευον

τὰ

τὰ ἑαυτῶν δυσυχέστατα μέλη. ἑστιῶνται γοῦν οἱ τάλανες τῶν ἑαυτῶν μορίων τὰ καίρια. καὶ δαιτυμόνες τῶν ἰδίων σαρκῶν ἀναδείκνυνται. ἆρά γε Ξάνθιππε οὐ πολύπους τὴν γνώμην εἶναι τοῖς ὅλοις δοκεῖς; ἐγὼ μὲν οἶμαι τοῦτο σαφέστατον. ἀδικεῖς γὰρ λίαν ἀπανθρωπότατα τὸν πατέρα. μήτε τὴν φύσιν αἰδούμενος, μήτε τὴν δίκην ὡς βάραθρον εὐλαβούμενος. ἀλλ᾽ εἰ μὲν μεταγνοίης ἀμνήμονα τῶν παρῳχηκότων κακῶν ἕξεις τὴν πρόνοιαν. εἰ δὲ τὴν φιλόχρυσον ἐμμονίαν ἀμετακίνητον πάθος κεκλήρωσαι, τὴν ἰσόῤῥοπον πλάστιγγα τὸ θεῖόν σοι ταλαντεύεται. καὶ παῖδας ἕξεις πατρικῆς κακίας εἰκόνας ἀληθεῖς καὶ ἰνδάλματα. οὕτω γὰρ καὶ τὰ τῆς ἐχίδνης κυήματα, μητρικὴν ἀνοσιότητα διαδέχεται, τὴν κυοφόρον καὶ τιθηνὴν γαστέρα διαῤῥηγνύοντα.

Ἰσοκράτης Διονυσίῳ.

ΠΡόπομποι καὶ ῥαβδοῦχοι καὶ κήρυκες καὶ θρόνων ὑψηλοτάτων ἐπίδειξις, φιλοσοφίας εἰσὶν ἀχλὺς καὶ διαιρετικώτατος πέφυκε τῆς ἀρετῆς χωρισμός. οὐκ ἤμειψας μετὰ τῆς τύχης τὴν φύσιν. ἔτι τὸν θύλακον ἔχεις δερμάτινον. θνητὴν γὰρ ἔχεις ἐκ προοιμίου τὴν σύστασιν. τί δῆτα τὸ κενὸν τοῦτο δοξάριον ἐπὶ τοσοῦτον τὸν πήλινον ἀσκὸν διεφύσησε; μεγάλης ἀνοίας ἐνεφορήθης ὦ δύστηνε καὶ τῆς φύσεως τὴν γνῶσιν ἀφῄρησαι. οὕτω τὰ μετέωρα τῆς τύχης κινήματα ἐκστῆναί σε τῆς πάλαι θεωρίας ἠνάγκασαν, καὶ τῆς σώφρονος ἐκείνης μανίας ἀπαναχωρεῖν παρεσκεύασαν. ἦν σοι πάλαι μετάρσιον τὸ χαμαίζηλον. νῦν δὲ καὶ χθαμαλὸν καὶ περίγειον ὁ τῆς τύχης ὅρος ἀκρότατος. οὐκοῦν τῆς ψευδοῦς εὐδαιμονίας ἀφίστασο. καὶ τὴν δραπέτιν τύχην δραπέτευε. προφθάνων γὰρ τὴν ἀγνώμονα, ἄφνω τὴν μεταβολὴν οὐ δυσφορήσεις προσπίπτουσαν.


Σωκράτης Ἀλκιβιάδῃ.

Καὶ τὰ τῆς ποιήσεως παίγνια, πάσης σύμπλεα σοφίας καθέστηκε. κηρῷ τοὺς Ὀδυσσέως ἑταίρους ἐμβῦσαι τὰ ὦτα φησὶν ὁ τοῦ Μέλητος, ὅτε ταῖς ὁλκάσι πρὸς τὰς ἀκολάστους σειρῆνας ἀνήγοντο. τὸν δὲ Λαέρτου δεσμοῖς ἀπεῖρχθαι ὡς ἐν εἱρκτῇ δυσφύκτῳ τινί. μυθολογεῖται τὰ τῆς φιλοσοφίας ἀπόρρητα. σειρῆνας γὰρ δοκῶ τὰς ἀσχήμονας ἡδονὰς τὴν ποίησιν ἀναπλάττεσθαι. καὶ θαυμάζω λίαν τὸν Ὅμηρον συγκρίνοντα τοῖς πράγμασι τὴν ἀλήθειαν, καὶ κυκεῶνα νέκταρος προσηνέστερον ταῖς ἀκοαῖς ἡμῶν ἀναμίξαντα, οἷάπερ ὕδωρ τὸ ψεῦδος οἴνῳ τονικωτάτῳ τινὶ τῇ ἀληθείᾳ κεράσαντα. οὔτω γὰρ οὔτε τοῖς πλάσμασιν ἀπατώμεθα. οὔτε τῇ δυσεφίκτῳ τῶν ὄντων καταλήψει τὸν νοῦν μεθυσκόμεθα. διὸ κηρῷ μὲν τὴν ἀπειρίαν, δεσμῷ δὲ τὴν φιλοσοφίαν ἐδήλωσεν. ἐντεῦθεν Ὀδυσσέα μόνον τῶν ὑπερκυκνίων μελῶν ἀκούοντα τερατεύεται, καὶ τοῖς δεσμοῖς τὴν ἔφεσιν διακόπτεσθαι. ἡ μὲν γὰρ τῶν κακῶν σαφήνεια, ἡ φιλόσοφος ἀρετή. ἡ δὲ τῶν ἡδονῶν ἀναχώρησις φιλοσοφίας ἐναγώνιον τρόπαιον. Ἐπειδὴ τοίνυν Ἀντίμαχε τῆς Ὀδυσσέως πλάνης ὁ παρὼν βίος εἰκόνισμα, καὶ τῇ θαλάττῃ τῶν θορύβων ὁ δείλαιος ἄνθρωπος περινήχεται, καὶ σειρηναίων ἡμᾶς ἡδονῶν περιπολοῦσιν ἠχήματα, καὶ πνευμάτων δίκην, ποτὲ μὲν ἐνθένδε, ἄλλοθεν δέποτε περικρατοῦσιν ἐξαίσια, τὸν Πηνελόπης ὁμόζυγα μιμησώμεθα ἀρρηκτόν τινα τῆς ἀρετῆς καὶ θεῖον δεσμὸν τὴν φιλοσοφίαν ἀσκήσαντες.

Ἄνθινος Ἀμπελίνῳ.

Ὁ τρυγητὸς ἤδη προκέκυφε. καὶ ὁ βότρυς γλυκέως πεπλήρωται. περιφρούρει γοῦν τὴν λεωφόρον κάλλιστα, καὶ τὴν κρῆσαν κιώα συνέριθον κέκτησο. ὁδίτου γὰρ χεῖρες ἀκόλαστοι, καὶ γεωργικοὺς ἱδρῶτας ἀδικεῖν ἑτοιμόταται.

ἘΚ



Ε'Κ ΤΩ͂Ν ΤΟΥ͂ ΑΙ'ΛΙΑΝΟΥ͂, καὶ Α'ΙΝΕΙ'ΟΥ ΤΟΥ͂ ΣΟΦΙΣΤΟΥ͂.

Βαίτων Α'νθεμίωνι.

ΤΑ' σμίωη μοι τῶν μελιττῶν κενά· καὶ ἀπεφοίτησαν τῆς ἑςίας ὐκ ὖσαι πέως δραπέτιδες. ἀλλὰ γὰρ καὶ πισαὶ διέμενον. καὶ ᾤκουν ὡς οἴκους τὰς αὐτῶν σίμβλες. εἶχον λειμῶνα εὔδροσον καὶ δὴ καὶ ἀνθῶν εὔφορον. καὶ εἱςιῶμεν αὐταῖς πανδαισία. αἱ δὲ ὑπὸ τῆς φιλεργίας τῆς ἄγαν ἀνθεςίων ἡμᾶς πολλῷ καὶ καλῷ τῷ μέλιτι. ὐδέ ποτε τῆσδε τῆς ὠδῖνος τῆς γλυκείας ἦσαν ἄγονοι. νιῶ δὲ ᾤχοντο ἀπιοῦσαι λυπηθεῖσαι πρὸς ἡμῶν ὐδεν, οὐ μὰ τὸν Α'ρισαῖον καὶ τὸν Α'πόλλω αὐτόν· καὶ αἱ μεν εἰσι φυγάδες. ὁ δὲ οἶκος αὐτῶν χῆρός ἐςι, καὶ τὰ ἄνθη τὰ ἐν τῷ λειμῶνι περὶ αὐτὰ γηρᾷ. ἐγὼ δὲ αὐτῶν ὅταν ὑπομνησθῶ τῆς πτήσεως καὶ τῆς ἀχαρίςυ χηρείας, ὐδὲν ἄλλο ἢ νομίζω θυγατέρας ἀφῃρῆσθαι. ὀργίζομαι μεν ουῶ αὐταῖς. τί γὰρ ἀπέλιπον τροφέα αὐτῶν καὶ ἀτεχνῶς πατέρα καὶ φρυρὸν καὶ μελεδωνὸν ὐκ ἀχάριςον; δεῖ δέ με ἀνιχνεῦσαι τίω πλάνίω αὐτῶν, καὶ ὅποι ποτὲ ἀποδρᾶσαι κάθηνται. καὶ τίς αὐτὰς ὑπεδέξατο. καὶ τῦτο ἔχει γάρ τοι τὰς μηδὲν προσηκύσας. εἶτα δρῶν, ὀνειδιῶ πολλὰ τὰς ἀγνώμονας καὶ ἀπίςους.

Καλλιππίδης Κνήμωνι.

Α'Γροίκυ βίυ τάτε ἄλλα ἐςὶ καλὰ, καὶ δὴ καὶ τὸ ἥμερον τῦ τρόπυ. ἡ γὰρ ἡσυχία καὶ τὸ ἄγειν χολίω τοῖς τῆς γῆς, καλίω πρᾳότητα ἐνεργάζεται. σὺ δὲ ὐκ οἶδ' ὅπως ἄγροικος εἶ, καὶ γείτοσιν ὐκ ἀγαθὸς πάροικος. βάλλεις ουῶ ἡμᾶς ταῖς βώλοις καὶ

ταῖς ἀγκάσι. καὶ μέγα κέκραγας ἰδὼν ἄνθρωπον ὡς διώκων λύκον. καὶ ἀργαλέος εἶ. καὶ τοῦτο δὴ τὸ λεγόμενον, ἁλμυρὸν γειτόνημα. ἐγὼ δὲ εἰ μὴ πατρῷον ἀγρὸν ἐγεώργουν, ἄσμενος ἂν αὐτὸν ἀπεδόμην φυγῇ φοβεροῦ γείτονος. ἀλλ' ὦ βέλτιστε Κνήμων τὸ σκαιὸν τοῦ τρόπου κατάλυσον. μὴ δέ σε ὁ θυμὸς εἰς λήθην προαγέτω, μὴ καὶ μανεὶς, σεαυτὸν λάθῃς. ταῦτά σοι φίλα παρὰ φίλου παραγγέλματα ἔστω, καὶ ἴαμα τοῦ τρόπου.

Φαιδρίας Σθένωνι.

Φύτ' ἐστι μὲν ἐν τοῖς ἀγροῖς καλὰ πάντα, κεκόσμηταί τε ἡ γῆ τούτοις, καὶ τρέφει παῖδας. καὶ τὰ μέν ἐστι τῶν καρπῶν διετήσια. τὰ δὲ καὶ πρὸς ὀλίγον ἀντέχοντα ἔστι τρωκτὰ ὡραῖα. πάντων δὲ τούτων, θεοὶ μὲν ποιηταὶ, ἡ γῆ δὲ μήτηρ ἅμα καὶ τροφὸς αὐτῶν. φύεται δὲ καὶ δικαιοσύνη καὶ σωφροσύνη, καὶ ταῦτα ἐν τοῖς ἀγροῖς δένδρων τὰ κάλλιστα καρπῶν τὰ χρησιμώτατα. μὴ τοίνυν γεωργῶν καταφρόνει. ἔστι γάρ τις καὶ ἐνταῦθα σοφία, γλώττῃ μὲν οὐ πεποικιλμένη οὐδὲ καλλωπιζομένη λόγων δυνάμει. σιγῶσα δὲ εὖ μάλα, καὶ δι' αὐτοῦ τοῦ βίου τὴν ἀρετὴν ὁμολογοῦσα. εἰ δὲ σοφώτερα ταῦτα ἐπέσταλταί σοι ἢ κατὰ τὴν ἀγρῶν χορηγίαν, μὴ θαυμάσῃς. οὐ γάρ ἐσμεν οὔτε Λίβυες οὔτε Λυδοὶ, ἀλλ' Ἀθηναῖοι γεωργοί.

Αἰνείας Κάστῳ.

Λαέρτης ὁ γέρων οὐκ ἔτ' ἤθελεν εἶναι βασιλεὺς, οὐδ' ἀνθρώπων ἄρχειν, ἀλλὰ κηπουρός τε εἶναι καὶ τῶν δένδρων ἐπιμέλεσθαι. σὺ δέ μοι δοκεῖς ἐζηλωκέναι τὸν ἄνθρωπον. οὐ γὰρ αὐτὴν πόλιν καὶ τοὺς σαυτοῦ ἀπολιπὼν, χρόνον οὔπω μακρὸν ἐν ἀγρῷ προσκαθήμενος τοῖς φυτοῖς διηνεκὲς λαλῶν. ἔδει δὲ οὐ τοῦ Λαέρτου μεμνῆσθαι. ἀλλὰ Σωκράτους καὶ τῶν Σωκράτους δογμάτων, ἐν οἷς ἐκεῖνος χαριέντως καὶ σεμνῶς λέγων φιλοσοφεῖ. ὅτι τὰ χωρία καὶ

τὰ

τὰ δένδρα οὐδὲν ἐθέλει διδάσκειν. οἱ δ' ἐν τῷ ἄστει ἄνθρωποι. τούτῳ μᾶλλον πειθόμενος, μακρὸν τῶν ἀγρῶν ὑπεριδὼν ἐν οἷς ἄπορον σοφίας καρπὸν τοὺς γεωργοῦντας δρέπεσθαι, ἀναμνήσθητι τῶν συνήθων ἐκείνων διατριβῶν, ἐν αἷς ἔνεστι σοφόν τι μαθεῖν καὶ διδάξαι, καὶ τὸ δὴ μέγιστον, εὐφραίνειν τοὺς φίλους.

Οὐλπίᾳ.

ΚΑκοὶ κακῶς ἀπόλοιντο, οἵ τινές ποτε ἦσαν οἱ τὸν ὑμέτερον οἶκον οὕτω πονήρως διαθέντες. ὅσον γὰρ ἠνιάθην ἐγὼ, μὰ τοὺς θεοὺς οὐκ ἂν δυναίμην εἰπεῖν. ἀλλά μοι τις εὐτυχῶς ὀψέποτε παραπέπτωκε παραμυθία, ἧς καλὸν ὑμᾶς κοινωνεῖν ἐνεθυμήθην. ὡς οὐ παντελῶς ἄχρηστος ἡ συμφορά. νῦν γὰρ βεβαιότερον γνώσεσθε, ὅτι χρυσὸς καὶ ἄργυρος καὶ περιφανεῖς ἐσθῆτες, τοῖς μὲν πολλοῖς περιμάχητον, ἀβέβαιον δέ τι χρῆμα καὶ οὐχ ἑστηκὸς, οὐδὲ τοῦ ἔχοντος ὡς ἀληθῶς, εἴγε τῷ βουλομένῳ διαρπάζειν ἔξεστι. τὰ δὲ μαθήματα καὶ ἡ σοφία τοῖς μὲν ἀνοήτοις καταγέλαστον, βέβαιον δέ τι κτῆμα καὶ πεπηγὸς καὶ ἀνάλωτον καὶ τὸ ὅλον κρεῖττον λῃστείας. τούτου μᾶλλον ἀντέχετε. καὶ οὐκέτι πρὸς φυλακὴν δεήσεσθε, οὐ τείχους, οὐχ ὅπλων, οὐ φυλαττόντων φάλαγγος.

Σαραπίωνι.

ΤΟ παρ' ὑμῖν ἀκήκοα δρᾶμα. καὶ αὐτὴν ἐδάκρυσα τὴν γῆν. εἰ ἐκ τῶν ἱερέων ὁ πόλεμος ἄρχεται, παρ' οἷς εἰρήνη τὸ κήρυγμα. εἰ γὰρ ὅθεν ἔδει σεσῶσθαι, ἐντεῦθεν ἀπολλύμεθα, τίς πόρος σωτηρίας ἡμῖν καταλείπεται; ταῦτα μὲν οὖν εἴποι τις ἂν οἶμαι θρηνῶν. ἐγὼ δὲ συνάχθομαι καὶ συνήδομαι. ἀνιαρὸν μὲν γὰρ τῶν κινδύνων ἡ πεῖρα. ἀκριβεστάτη δὲ μεγαλοψυχίας βάσανος ἡ ἐν τοῖς κινδύνοις εὐψυχία. ποία γὰρ ἀρετῆς κτῆσις, ἧς ἀγὼν μὴ προηγήσατο; εἰ μὴ καὶ στρατηγὸν φαίης ἄρι-


ςον, τὸν μὴ δὲ πώποτε κατιδόντα πολέμιον. φέρειν δὲ δεῖ, καὶ μὴ ἀθυμεῖν. ἐκ πολέμου γὰρ ἡμῖν εἰρήνη βεβαιοῦται. εἰ δὲ μὴ, ἀγεννῶς τὸν πόλεμον διενέγκοιμεν. ἀλλ᾽ οἷα δρᾶτε τοὺς φίλους. ἐγὼ τῆς ῥητορικῆς ἐρᾶν πρὸς ὑμᾶς ὡμολόγουν, ἐλπίσας παρ᾽ ὑμῶν εὑρήσειν τὸ φάρμακον. ἀλλὰ τοὐναντίον γέγονεν· ηὐξήσατε γὰρ μᾶλλον ἢ διελύσατε τὸν ἔρωτα, θέατρον τῇ ἐπιστολῇ συλλέγοντες καὶ κρότον διεγείροντες. πῶς οὖν ἄν τις ἀτιμάσῃ τὸ παρ᾽ ὑμῶν ἐπαινούμενον;

Ἐπιφανίῳ Σοφιστῇ.

ΕΙ´ς κάλλος ζῆν καὶ γράφειν μεμελέτηκεν, ᾧ δεδώκαμεν τὴν ἐπιστολήν. δύναται δὲ καὶ εὐδαιμονοῦσαν οἰκίαν τοῦ κεκτημένου ἐξασώζειν καλῶς. πόσοι γοῦν τοῦ βίου κοινωνὸν ἔχειν ἐβούλοντο; ὁ δὲ τῆς πατρίδος μᾶλλον ἢ περιουσίας ἐρᾷ. πολλὰς δὲ πόλεις καταμαθὼν, οἷά τις Ὀδυσσεὺς, ὡς ὑμᾶς οἷα πρὸς Ἀλκίνουν ἀφῖκται. καὶ ὁ μὲν ὑμῖν διηγήσεται τὴν πλάνην, οἷον ἐκεῖνος ἐκείνῳ. ὑμεῖς δὲ καταλύσαντες τὴν πλάνην, οἴκαδε διασώσατε; ὃ ὥσπερ ἐκεῖνος ἐκεῖνον. μὴ γὰρ διαμάρτοι τῆς δόξης δι᾽ ἐμοῦ πρὸς ὑμᾶς καταφυγών.

Διοδώρῳ Σχολαστικῷ.

ΕΙ´ πόλεμος ἡμᾶς πρὸς ἀλλήλους πολλὰ κελεύει λαλεῖν, εἰρήνη δὲ συχνὴν ἐπάγει τὴν σιωπὴν, μόνος οὗτος ὁ πόλεμος εἰρήνης κρείττων ἐστί. τί γὰρ χαριέστερον ἢ θαμὰ παιδικοῖς ἀδολεσχεῖν; λύσωμεν τοίνυν ἢ τὴν εἰρήνην ἢ τὴν σιωπήν. μὴ γὰρ τοὺς φίλους, μὴ τοὺς ῥήτορας σιωπῶντας ὁ ἥλιος κατίδοι.



Ἐκ τῶν τοῦ Προκοπίου τοῦ σοφιστοῦ.

Νηφαλίῳ.

Ἥσθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολήν. εἰς ἔργον δὲ παύτην ἄγειν βουλόμενος, οὐκ ἔσχον ὑπουργοῦσαν τῇ προθυμίᾳ τὴν χρείαν. τὸ δ' αἴτιον, τύχην μὲν οὐκ ἂν ποτε εἴποιμι καὶ μάλιστα πρὸς ὑμᾶς, θεοῦ δὲ πάντως πρόνοιαν κυβερνῶσαν ὡς βούλεται τὰ ἡμέτερα.

Φιλίππῳ ἀδελφῷ.

Τοῖς ἀγαθοῖς τῶν ἀνδρῶν ἀρκεῖ μὲν εἰς σύστασιν φιλίας ὁ τρόπος. ἀλλ' ἐπειδὴ καὶ ἀφορμὴν εἶναι προσήκει τινὰ, δι' ἧς δεῖ πρῶτον εἰς λόγους ἐλθεῖν, εἶτα πειραθέντας θαυμάζειν, τούτου χάριν ἐπέδωκα τῷ λογίῳ Θέωνι τὴν ἐπιστολήν. πρῶτον γὰρ διὰ ταύτην εὐμενῶς αὐτὸν ὄψει. ὕστερον δὲ περιττὰ νομίσας τὰ γράμματα, δι' αὐτὸν οἶμαι θαυμάσεις τὸν ἄνδρα.

Γερμανῷ.

Ὅσον ἀγαθοὶ λυποῦσιν ἄνδρες πεῖραν αὐτῶν παρέχοντες καὶ ἀφιστάμενοι τῶν ἐγνωκότων, νῦν ἔργῳ μαθὼν καὶ διηγοῦμαι τοῖς ἄλλοις· ὑμᾶς γὰρ ᾔδειν μὲν καὶ πρὶν εἰς λόγους ἐλθεῖν. εἰ δὲ θαυμάζεις ὁπόθεν, διδασκάλους εἶχον ὅσοι πειραθέντες ἐθαύμαζον. ὡς δὲ κἀγὼ συμμίξας ἐμάνθανον, χάριν μὲν ὡμολόγουν τῇ τύχῃ. πάλιν δὲ ταύτην ἐμεμφόμην, εἰ τοσούτου γεύσασα πράγματος, ἄκρῳ δακτύλῳ φασὶν, εἶτα τὴν ἡδονὴν ἀφαιρήσεται. καὶ οὐ τοσοῦτον εὔφραινε τὸ παρὸν, ὅσον αἱ τοῦ μέλλοντος ἐλπίδες ἐλύπουν.

που. ἐλογιζόμην γὰρ ὅτι δὴ θᾶττον ἡμᾶς οἰχήσῃ καταλιπών. τοῦτο καὶ γέγονε, καὶ συμβὰν λυπεῖ, καὶ ἀποροῦμαι τῷ πράγματι. σὺ δὲ φιλονεικεῖς ἐπὶ τὸ μεῖζον ἡμῖν ἐξάπτειν τὸν ἔρωτα καὶ πόῤῥω γενόμενος. τῇ γὰρ εἰς ἐμὲ σπουδῇ καὶ τὰς ἐμὰς ἐλπίδας ὑπερβάλλων ἐνίκας· ἀλλ' εἴθε γάρ τις θεῶν εὐμενὴς ἡμῖν γένοιτο, καὶ σὲ θᾶττον ὡς ἡμᾶς αὖθις ἐνέγκοι.

Φιλίππῳ.

ΜΑκρὸν ἡμῖν ἐσίγησας χρόνον καὶ τὸ πρᾶγμα φέρειν οὐκ ἔχω. σκόπει γάρ. χειμὼν ἦν καὶ οὐ μετρίως ἐφέρομεν. ὤφθησαν χελιδόνες, καὶ οὐ μετὰ τούτων ἐφθέγξω. καὶ νῦν ᾄδουσι τέττιγες, καὶ παρ' ἐλπίδας ἡμῖν ἡ σιγή. εἰ μὲν πρὸς λύπην ταῦτα, ἀγνοοῦμεν ὅ, τι ποτὲ παθὼν λυπεῖς. ὅμως οὐκ ἂν οἶμαι μείζω τιμωρίαν λαβεῖν. εἰ δὲ τῆς πάλαι σπουδῆς εἰς ῥαθυμίαν μετέστης, ἀδικεῖς μὲν συγγενείας νόμον, παραβαίνεις δὲ φιλίας θεσμόν. εἰ δὲ μὴ δυσχερὲς εἰπεῖν, τάχα τίς σε φαίη καὶ σαυτοῦ κατήγορον γεγενῆσθαι. οἷς γὰρ ἡμῖν σιωπῶσιν ἐπέπληξας, τούτοις ὤφθης αὐτὸς ἁλισκόμενος. καὶ πῶς ἔχοι λόγον τὸν πεπεικότα λαλεῖν, τὴν τοῦ πεισθέντος μεταλαμβάνειν σιωπήν. ἀλλ' ὥρα λοιπὸν καὶ σοφιστὴν με καλεῖν καὶ παίζειν ἅμα τῷ λόγῳ. οὐδὲν τοῦτο πρᾶγμα πάντως. καὶ ὅ, τι ἂν λέγῃς, οἴσω μετρίως, εἰ φθεγγομένου μόνον ἀκούσομαι,

Ἰωάννῃ.

ΟʹΛογιώτατος Διόδωρος λύσις ἡμῖν ἔσω τῆς πρὸς ἀλλήλους σιγῆς, καὶ σὲ γράφειν ἀπαιτῶν, καὶ τὰ παρ' ἡμῶν σοι διδούς. φίλος μὲν γὰρ οὗτος ἐμός. ἤδη δὲ πρὶν ἰδεῖν καὶ σὸς ἐτύγχανεν ἐραστής. οἱ γὰρ ἐξ ἡμῶν λόγοι τὸ περὶ σοῦ διηγούμενοι, καὶ πρὸ τῆς θέας ἐποίουν τὸν ἔρωτα. ὁ γὰρ ἀνὴρ ἐρωτικός ἐστι τῶν καλῶν καὶ πολυπραγμονεῖ τοὺς χρηστούς, ὥσπερ δεδιὼς μή ποτέ τις τοιοῦτος ὢν διαλάθῃ. καὶ τί σοι τὰ περὶ τούτου λέγειν μεδεῖ. πάντως

γὰρ

γὰρ τῇ πείρᾳ τοῦτο μαθὼν, ἐλάττω νομίσεις τὸν ἔπαινον. καὶ ἀσθενῆ με καλέσειας ῥήτορα, ὡς οὐ δὲ τὰ προσήκοντα λέγειν δυνάμενον.

Ἰλασίῳ.

ΕἸ τὰ τῶν φίλων κοινὰ παλαιὸς εἶναι βούλεται λόγος, ἐμοὶ δὲ φίλος ὁ λογιώτατος Πέτρος, καὶ σὸς ἂν εἰκότως νομίζοιτο. εἰ δὲ δικαίως τοῦτον ἀσπάζομαι, δείξει μὲν πολλάκις ἡ πεῖρα. εἰ δὲ θεάσῃ, τέως μαρτυρήσει τὸν τρόπον. τοῦτο ὑμῶν τι δεόμενος, καὶ βουληθεὶς πάντως τυχεῖν, ἐμὲ πρὸς ταύτην ἐκίνησε τὴν ἐπιστολὴν, νομίζων τοσοῦτόν με δύνασθαι παρ' ὑμῖν, ὡς μηδὲν ἂν εἰκότως ἐξαμαρτεῖν. ἀλλ' εἰ μὲν ἀληθῆ νομίζει, βεβαίωσον ἔτι τὴν γνώμην. εἰ δὲ ψευδῆ, καὶ οὕτως ὑπούργησον, ἵνα μὴ δειχθῶμεν ἐν τοῖς ἄλλοις τὴν πρὸς ἀλλήλους φιλίαν πλαττόμενοι· ἔχει δὲ καὶ τὸ δίκαιον συμμαχοῦν. ὅπερ σοι καὶ μηδενὸς αἰτοῦντος, καθέστηκε φίλον τὸ δὲ δυνάμενον ἀδικίαν κωλύσαι περιιδεῖν, ἐν ἴσῳ καθέστηκε τοῦ ποιεῖν. ὅπερ τῆς σῆς γνώμης ἀλλότριον· ἴσθι δὲ ὡς πάντως ἐπιδώσεις ἢ τοῖς γράμμασι τοῖς ἐμοῖς ἢ τῇ παρουσίᾳ πειθόμενος· οὐ μόνον λυπήσεις, ἀμβλυτέραν τῇ ἀναβολῇ τὴν ἀρετὴν ἐνδεικνύμενος.

Στεφάνῳ.

ἜΤι παρὰ τὸν Νεῖλον οἰκεῖς; ἔτι ποθοῦντας ὑπερορᾷς; τί τοσοῦτον εἰπέ μοι παθών; εἰ μὲν γὰρ οἴει τὸ βραδὺς ἐπὶ πλέον ἡμῖν ἐξάπτειν τὸν ἔρωτα, ἴσθι δὴ καλῶς ὡς εἰς ἄκρον ἀφῖκται, καὶ οὐκ ἂν ἔχοις ὅτι προσθήσεις ἔτι τοῦ πράγματι εἰ δέ σε τοῦ Μακεδόνος ἡ πόλις ἐφέλκεται, χαλεπῶν οὕνεκεν καὶ τοῦ δοκεῖν αὐτὸν ἔχειν ἤδη τὸν Ἑλικῶνα, ζήλου τὸν Ὀδυσσέα καὶ παρελθὼν τὰς σειρῆνας μέμνησο τῆς Ἰθάκης. καὶ γάρ σε νῦν ἐπιθυμῶν ἀρχαίων σχήματι τεττιγοφόρον ἰδεῖν, κέχηνα τῇ θαλάττῃ,

τῃ, καὶ περισκοπῶ τὰς ὁλκάδας εἴποτε παρόντα θεάσομαι. σὺ δέ μοι δοκεῖς τὸν Θησέως ἐκεῖνον ἐζηλωκέναι, καὶ ταῦτα τοῖς παισὶ καθηγούμενος. νυμφίε Δημοφόων ἄδικε ξένε, ὃς οὐδὲ παιδὸς θέλεις ἐπιμεμνῆσθαι καλοῦντε ὄντος, καὶ εἴγε παρείης ἤδη σε δυναμένου πατέρα καλεῖν.

Θωμᾷ.

ΤΩν ἀγαθῶν ἀνδρῶν εὐφραίνειν οἶδε καὶ χωρὶς θέας ἡ μνήμη, καὶ τότε μᾶλλον ἡνίκα τοὺς πειραθέντας ὅλου πληρώσαντες ἔρωτος, μηκέτι παρῶσι χορηγοῦντες ἀεὶ τῇ θέᾳ τὴν ἡδονήν. τότε γὰρ ἀπορούντες οἵ τινες γένωνται, τὸν πόθον ἔχουσιν ἀντὶ τῆς θέας ἀεὶ χορηγοῦντα τὴν μνήμην. ἑαυτοῖς γὰρ ἀνατυποῦσι τοὺς ἀπελθόντας, καὶ παρόντων σοφίζονται μίμημα. ταῦτα γνωμολογῶ τοιούτῳ πάθει περιπεσὼν, ἐξ οὗ καὶ πειραθεὶς ἐθαύμασα, καὶ μὴ παρόντα πάλιν ζητῶ. καὶ τὴν τύχην προσδέχομαι μηχανᾶσθαί τι καινὸν, καὶ συνάγειν ποτὲ τοὺς τοσοῦτον ἀλλήλων ἀπέχοντας ἐραστάς.

Στεφάνῳ.

ΗΣθην δεξάμενος τὴν ὑμετέραν ἐπιστολήν. ὃν ἡδόμην ἀεὶ τῇ μνήμῃ λαβὼν, τοῦτον διὰ τῶν γραμμάτων θεώμενος, εἴγε τῆς ψυχῆς εἰκόνες ὄντως οἱ λόγοι. καὶ εἴ μοι δίδως εἰπεῖν, μείζων ἢ κατ᾽ ἐμαυτὸν ἐδόκουν γενέσθαι, σκοπῶν ὡς με φίλων ἐγκαταλέγεις χορῷ, καὶ λόγος ἐμοὶ παρὰ σοί. καὶ γραμμάτων ἀρχὴ προκαλουμένων τὰ παραπλήσια. δι᾽ ὧν δὴ θαυμάζειν ἐδόκεις. σαυτὸν ὁρᾷν παρεῖχες τοῖς γράμμασι. δι᾽ ἐμοῦ μέσου τὰ σαυτοῦ διηγούμενος. ὥστε με μειδιῶντα λέγειν πρὸς ἐμαυτὸν, ὡς ἀληθεῖς οἱ λόγοι, νὴ τοὺς θεοὺς, εἰ περὶ τοῦ γεγραφότος ἐλέγοντο. νυνὶ δὴ λέγων ἐλάνθανες οὐχ οἷος ἐγὼ, ἀλλ᾽ οἷον εἶναί με δεῖ τοιούτων ἐπαίνων τυγχάνοντα. πολλὰ δέ σοι κἀγαθὰ γένοιτο καὶ σπουδῆς ἕνεκα καὶ τρόπων πρᾳότητος, καὶ μνήμης

μης εὐνοίας. καὶ τὸ δὴ μέγιστον ὅτι καὶ μὴ παρὼν καθέστηκας παραπλήσιος.

Παγκρατίῳ.

ΟΙ' τὰς σειρῆνας ποτὲ παραπλέοντες, καὶ τὰ μέλη ταῖς ἀκοαῖς ἀρυόμενοι, οὐ πατρίδας ἐπόθουν, οὐ παίδων ἀνεμιμνήσκοντο. πάντα δὲ πάσχειν αὐτοῖς ἐδόκει καλὸν, ἢ τούτων ἀπαίρειν, ὧν τῆς ἡδονῆς ἐπειράθησαν. ἡμεῖς δὲ τῆς σῆς μούσης ἄκρῳ φασὶ δακτύλῳ γευσάμενοι, οὕτως ὅλῳ πόθῳ πρὸς αὐτὴν ἐβακχεύσαμεν, ὡς μηδὲ μικρὸν ἀπεῖναι ταύτης αἱρεῖσθαι, κἂν ἀνάγκη διεστάναι τοῖς σώμασιν. ἀναγομένοις δὲ ἡμῖν τῇ διανοίᾳ συνανηγόμεθα. καὶ τὴν Α'λεξάνδρου νῦν οἰκοῦμεν, τὸ σὺν ὑμῖν εἶναι τῇ φαντασίᾳ πλαττόμενοι. τοιαύτην μοι γνώμην ἐναποτίκτουσιν ἔρωτες. κἂν πρὸς ὀλίγον ἀνενεγκὼν, ἐν ἐμαυτῷ πάλιν γένωμαι, τοῖς σοῖς ἐπεντρυφῶ διηγήμασι. καὶ πάντες ἀνὰ μέρος τὰ ὑμέτερα μνημονεύουσιν, ὁ μὲν τοῦ λόγου τὸ ἥμερον, ὁ δὲ τῶν τρόπων τὸ σεμνόν. ἄλλοι γλυκὺ προσωνόμασαν. ὁ δὲ τῆς γνώμης λέγει τὸ μέτριον. ὁ δέ σε φέρειν ἐπὶ τῆς γλώττης εἶπε τὰς μούσας. καὶ πᾶς τις φιλονεικεῖ φθάσαι τοὺς ἄλλους, μόνος τὰ σὰ διηγούμενος. σὺ δὲ γράφε τὴν ἀπουσίαν θεραπεύων τοῖς γράμμασι, καὶ τὸν φέροντα τὴν ἐπιστολὴν ἡδέως ἰδεῖν καταξίωσον.

Νηφαλίῳ.

Ο'́Σον ἡμῖν πάλαι τὸν θυμὸν ἐπαφῆκας τοῖς γράμμασι, τοσοῦτον νῦν χρηστότητι τὰς ἡμετέρας ἐλπίδας ἐνίκησας. τὸ γὰρ διορθοῦσθαι τὰ φθάσαντα καὶ παραμυθεῖσθαι τὸν εἰς φιλίαν ἀδικεῖσθαι πειθόμενον, πῶς οὐ σοφοῦ τὴν γνώμην ἀνδρὸς καὶ τὸ λυποῦν θεραπεύειν εἰδότος; ἐν με μόνον τῶν ὑμετέρων ἠνίασεν. εἰ τοσοῦτον ἐμὲ πεπονθέναι δοκεῖς, ὡς καὶ δώρων δεῖσθαι μεταβαλλόντων τὴν γνώμην. ὥς που καὶ Α'γαμέμνων

τὸν Θετταλὸν στρατιώτην. πλὴν καὶ τὰ δῶρα δέχομαι προθύμως, οὐ ταῦτα ζηλώσας μᾶλλον, ἢ τὴν τοῦ πεποιθότος προαίρεσιν. ὁ δὲ φέρων τὴν ἐπιστολὴν τῆς ἡμετέρας εὐνοίας δεόμενος, τυγχανέτω ταύτης, ἐν οἷς αὐτῷ οὐ λυπεῖ.

Ἰουλίῳ.

ΟἹά μοι συνέβη δεξαμένῳ τὴν ὑμετέραν ἐπιστολὴν, οὐ χεῖρον πρὸς ὑμᾶς διηγήσασθαι. πρώην γάρ τις τὰ οὐράνια σοφὸς εἶναι βουλόμενος, καὶ τέχνην ἔχων ὡς ἔλεγεν ἐκ τῶν ἀστέρων προλέγειν τὰ μέλλοντα, περιτυχὼν ἐξαίφνης ἐμοὶ, καὶ θεὶς ἐπὶ δακτύλων τὴν ψῆφον, ὡς εὐτυχὴς φησιν ὑπάρχων ἐλάνθανες. μέγα τί σοι καὶ λαμπρὸν ὅσον οὔπω παρ' ἐλπίδα γενήσεται. ἐγὼ δὲ τούτων ἀκούσας, τὸν πλοῦτον ἐφανταζόμην αὐτόν. ἀξιωμάτων ἔγεμον τὴν διάνοιαν καὶ τῆς σὺν ἐλπίδι τύχης σοβαρωτέραν εἶχον τὴν γνώμην· ὡς οὖν οὕτως ἔχοντί μοι προσιών τις ἐπεδίδου τὰ ὑμέτερα γράμματα. τοῦτο ἔφην ἐκεῖνο. προῆλθεν εἰς ἔργον ὁ λόγος. χρηστὰ γάρ μοι μηνύειν μαθόντες, πρὸ τῶν ἄλλων ἐπείγονται· τί γὰρ αὖ καὶ παθόντες, οὔπω νῦν παρ' ἐλπίδας ἐπέστελλον; ὡς δὲ τοῖς ἔνδον ἐντυχὼν καλαμοναῦ ἔγνων ἀπόβλητον, καὶ ἐμπορείαν ἀτιμοτάτην, ἰοὺ ἰοὺ πρὸς ἐμαυτὸν ἔφην παρ' ἐλπίδας ἠτύχηκα. τὸ δὴ λεγόμενον ἀφ' ἵππων ἐπ' ὄνους μεταβεβήκαμεν· πάντα μὲν οἵ μοι καινίζειν οἶδεν ἡ τύχη. ἀλλ' οὔποτ' αὖ ἤλπισα καλάμων γενέσθαι πατὴρ ὑπὸ καλύβῃ καθήμενος. ταῦτά μοι ζῶῆς ὡς ἔοικεν ἀνατέλλων χαρίζεται. καὶ γέλως διὰ τῶν ἀκουόντων, ἐπέξεισιν ἐπ' ἐμοί. καὶ δέχου τὸν ἄνδρα φασι, καὶ τὴν ὄρνιν τοῦ θεοῦ.

Γεασίῳ παραμυθητική.

ὩΣ πικρὰ τὰ καθ' ἡμῶν τῆς τύχης βουλεύματα, καὶ πρὸς δεινῆς ἀρκοῦντα τραγῳδίας ὑπόθεσιν. οὔπω παίδων οἰκ-

τισ-

τις ὃ τάφου πεπαύμεθα, καὶ τὴν τεκοῦσαν ἐφέλκεται, ἐκείνη μὲν ἴσως δρῶσα καθ᾽ ἡδονὴν, εἰ παισὶ φιλτάτοις προσέθηκεν. ἡμῖν δὲ πάθη συνάπτουσα πάθεσι, καὶ τάφῳ τάφον ἐργαζομένη βαρύτερον. καὶ τῆς μητρὸς ἀπεστέρησεν οἴμοι παιδάρια ἔτι τῆς μητρῴας ἐξηρτημένα θηλῆς. δακρύων ὄντως καὶ ταῦτα καὶ σκηνῆς ἐπέκεινα πάθη. καὶ οἷα βεβαιῶσαι μῦθον ὡς γυνὴ δυστυχὴς, ἀνθρώπου λίθος ἐγένετο. ἦν γὰρ ὡς ἔοικε Φρυγία καὶ βάρβαρος, καὶ πρὸς τὸ τῆς τύχης πόμα τοῖς ἐκ φιλοσοφίας φαρμάκοις οὐ προκατειλήπτο τὴν ψυχήν. οἷα δὴ τὸν μέγαν ἐκεῖνον Ἀναξαγόραν λόγος, προσαγγειλάντες αὐτῷ τινὸς τοῦ παιδὸς τὴν ἄωρον τελευτὴν, εἰπεῖν εὐθέως ὡς δὴ παρεσκευασμένον ἐκ πολλοῦ καὶ μηδὲν μέγα παθόντα πρὸ τῆς ἀκοῆς, ὡς ᾔδειν κἀγὼ θνητὸν γεννήσας. καὶ οἶμαί γε τοῖς εἰρημένοις τεκμαιρόμενος, ὡς εἰ καὶ τὸ γυναιόν τις ἀπήγγειλεν ἐπὶ τῷ παιδὶ κεῖσθαι, πάντως ἂν προσέθηκεν, ὡς ᾔδειν καὶ θνητῇ συνοικῶν· ὅθεν ἐπαινῶ τοὺς πρώτους τραγῳδίαν εὑρόντας, ὅτι καταμαθόντες τὴν τύχην ἄνω καὶ κάτω κυκῶν τὰ τῶν ἀνθρώπων πράγματα, τὴν σκηνὴν ἡμῖν ἐπενόησαν. ἀλλοτρίοις εὖ μάλα κακοῖς τὰς τῶν οἰκείων προκαταλαμβάνοντες συμφοράς. τί γὰρ δεινὸν ἐν ἡμῖν ὃ μὴ φθάσας ὁ χρόνος ἀπέδειξε; τί δ᾽ ἂν γένοιτο καινὸν ὃ μὴ πρὸς εἰκόνα παραπλησίαν ἀνάγεται; ἀλλ᾽ εἴγε φίλον ἡμῖν τῆς τύχης ὀφθῆναι κρείττοσι, πρὸς τὸν τῆς συνήθους φιλοσοφίας ὅρμον ὑποδράμουμεθα, τίνες τε ἐσμὲν σκοποῦντες, καὶ ὅθεν ἀφίγμεθα, καὶ τίνες ἄρα τῶν καθ᾽ ἡμᾶς πραγμάτων οἱ λόγοι καὶ ὡς δεθέντας λυθῆναι δεῖ πάντως ὁπηνίκα δόξει τῷ δήσαντι, καὶ ἀποθέσθαι τὸ προσωπεῖον ὅπερ ἡμῖν ὁ τοῦ μεγάλου δράματος περιτέθεικε ποιητής. τοῦτο γὰρ ὄντως ἡ τοῦ σαυτὸν γνῶθι παραίνεσις· τοῦτο σὸν ἔργον ὦ σοφώτατε, καὶ τῆς προνοίας ὡς οἶμαι λόγους συνεχῶς ἀνελίττοντος, καὶ τοῖς σοφίας ἀμυήτοις καρτερίας σαυτὸν παρεχομένου παράδειγμα. ὅθεν εἰς ἑαυτοὺς ἐπανέλθωμεν. ἀλλὰ τίκεν ῥέξαιμεν λέγοντες καὶ τὸ, θεὸς ἔξα πάν-

τα

τα τελευτᾷ. ταῦτα γὰρ σκοπῶν σαυτῦ τε δράσεις ἄξια, καὶ τὸ θεῖον παρασκευάσεις εὐμενέσι ποτὲ τὰ καθ' ἡμᾶς ἰδεῖν ὀφθαλμοῖς,

Παγκρατίῳ.

Οὕτω παρορᾷς τοὺς ποθοῦντας; οὕτω τῆς γλώττης ἐπέχεις τὰ νάματα; ἀλλ' ἐμοὶ καὶ διαγράφει τὴν ὑμετέραν θέαν ὁ πόθος, καὶ νῦν ἔγνων ὀνειροπολεῖν ἐγρηγορότος τοῦ σώματος. ἀλλὰ δίδου σαυτὸν μέχρι γοῦν γραμμάτων ἡμῖν· τοῖς γὰρ ποθοῦσι παραμυθία καὶ τὸ, μικρόν τι σύμβολον τῶν ἐρωμένων ἰδεῖν. μέμνησο δὲ καὶ τῶν λόγων ἐκείνων ἐν οἷς ὑποσχέσεις ἦσαν, ἢ θᾶττον ἐλθεῖν εἰς ἡμᾶς, ἢ γράμμασι πυκνοῖς ἀνεπαίσθητον τὴν ἀπουσίαν ποιεῖν. νυνὶ δὲ κινδυνεύω γράφεσθαί σε παρὰ ταῖς μούσαις ὡς ὁ σοφὸς Παγκράτιος δεινὸς ἦν λέγειν, ἃ μὴ ποιεῖν ἐλογίζετο.

Ἠλίᾳ Ἐπισκόπῳ.

Πολλῶν ὄντων εἰπεῖν ἐξ ὧν αὖτις τὰ τῆς τύχης ἐξαγορεύσειε παίγνια, μεταποιούσης ἀεὶ πρὸς τὸ δοκοῦν τὰ ἡμέτερα, καὶ μηδὲν ἑστάναι συγχωρούσης ἐπὶ τοῦ σχήματος, ταῦτα μὲν σιωπήσω πρὸς ἄνδρα πάλαι κατεγνωκότα τῶν ἐπὶ γῆς, καὶ τὴν τύχην νικῶντα δι' ὧν ὑπερορᾷ μηδὲν ἐκείνης θαυμάζειν ἐθέλων· τοσοῦτον δὲ μόνον ὑπεμνήσω, ὡς οὐδὲν οὕτως ἡμέτερον ὡς ἡμεῖς ἑαυτῶν. τί δὲ ἡμεῖς; οὐ σῶμα δήπου τοῦτό γε τὸ ῥευστὸν, οὐδὲ χρημάτων ὕθλος, οὐδ' ὅσα τὴν ἰσχὺν παρασκευάζει τῇ τύχῃ, ἀλλὰ ψυχὴ λογικὴ δι' οὓς τινας δὴ λόγους πεπεδημένη τῷ σώματι. ὅθεν οἱ φρονεῖν ἐγνωκότες τὰ δέοντα, πᾶν ὅτιοῦν παρὰ ταύτην ἀπεσκευάζοντο ὥσπερ ἄχθος ἀλλότριον, μηδὲν πρὸς ἰδίαν οὐσίαν ταῦτα τείνειν ἡγούμενοι. καὶ οὐδὲν ἐποιοῦντο τῆς γνώμης ἐμπόδιον, οὐ σώματος αἰκισμὸν, οὐ χρημάτων ἀποβολὴν, οὐ και-

οὐ καιροῦ δυσκολίαν. ἀλλ᾽ εἰς ἑαυτοὺς ἀνατρέχοντες ἐλεύθεροί τε ἦσαν καὶ μίαν ηὐλαβοῦντο ζημίαν τῆς ἀρετῆς ἐκπεσεῖν, καὶ χρημάτων πόθῳ καὶ φειδοῖ τοῦ σώματος ἐν ἀνδραπόδου λόγῳ τετάχθαι, τὸ κρεῖττον ἀναξίως ὑποβαλόντες τῷ χείρονι, καὶ θαυμάζοντες ἄνδρας ὑβριστὰς πάντα μᾶλλον πλουτοῦντας ἤπερ αὐτούς. ὅθεν ὁ μὲν ὡς ἀλλοτρίῳ κεχρημένος σώματι, τὴν ἐλευθέραν ἐκείνην ἀφῆκε φωνὴν, πτίσσε λέγων πτίσσε τὸν Ἀναξάρχου θύλακον, αὐτὸν γὰρ Ἀνάξαρχον οὔποτε πτίσσεις. ὁ δὲ τὴν ὑπαρχόντων ἐκβολὴν αὐθαίρετον ποιησάμενος, Κράτης ἔφασκε Κράτητα ἐλευθεροῖ. ταῦτα καὶ τὰ τοιαῦτα γενναίας ὄντως ψυχῆς· ἥτις ἑαυτῆς ἐστι πατοῦσα τὰς ἡδονὰς, καὶ τοῖς καιροῖς οὐκ οἶδε συμμετατίθεσθαι. μέμνησο τοίνυν, ὡς Ἐπικτήτῳ δοκεῖ ὅτι ὑποκριτὴς εἶ δράματος οὗ ἂν θέλῃ ὁ ποιητής. καὶ Πλάτωνι δέ που δοκεῖ, ὡς ὁ σοφὸς εὐδαίμων, κἂν πάντα δὴ τὰ μὴ ἐπὶ τούτῳ πράττῃ κακῶς. ἡνίκα γὰρ τὰ ἐφ᾽ ἡμῖν εὐπραγῇ, τῶν ἔξωθεν δήπουθεν ὀλίγη φροντίς. ἑτέρῳ γὰρ ἐκεῖνα φέρεται ῥεύματι.

Κληδονίῳ.

Εὖ γε τῆς ἐν τοῖς γράμμασι χάριτος καὶ γλώττης ἀκωλύτως ῥεούσης, καὶ λέγειν δυναμένης ὅσα καὶ βούλεται. ὅπου γὰρ ἐμὲ τὸν μικρὸν ἐν λόγοις καὶ τὴν τέχνην μέχρι τοῦ σχήματος περικείμενον, τοσοῦτον ἦρας ἄνω, ὡς ἀπορεῖν με λοιπὸν, μή ποτε πρὸς ἄλλους γράφων, εἶτά μοι κατὰ λήθην προσηγορίαν ἐπέγραψας, τί οὐκ ἂν ῥᾳδίως εἴποις βουλόμενος; καί μοι δοκεῖς τοσοῦτον κεκινηκέναι τὴν γλῶτταν, δηλῶσαι θέλων, ὡς ἀπαιτήσεις παρ᾽ ἐμοῦ τὸ παιδίον οὔπω λέγειν δυνάμενον. ὅθεν μοι καὶ τοσοῦτον ἀγῶνα πεποίηκας, ὥστε μικροῦ δεῖν, καὶ τὴν τοῦ διδάξειν αὐτὸν ἀνεδυόμην ὑπόσχεσιν. εἰ μή με λογισμὸς εἰσῆλθεν, ὡς τὴν τοῦ πατρὸς φύσιν λαχὼν, ἐκ τῶν εἰκότων ὁ νέος νικήσει τὴν ἐμὴν διδασκαλίαν, τὸ λεῖπον ἐκ ταύτης οἴκοθεν παρεχόμενος· ὥστε σοι καιρὸς μὴ παρ᾽ ἐμοῦ τὸ πᾶν ζητεῖν, ἵνα

μὴ πρὸς τὰς εὐθύνας ἀπορῶν σιωπήσωμαι. τὴν δὲ πρὸς αὐτὸν εὔνοιαν τοσαύτην κατεπαγγέλλομαι, ὅσην ἂν αὐτὸς παρέσχες, εἰ διδάσκων ἐτύγχανες. προσεφέλκεται γάρ με πρὸς ταύτην ὁ νέος, τῇ φύσει τὴν σπουδὴν ἐφάμιλλον παρεχόμενος.

Γεωργίῳ.

ΤΗς μὲν χθὲς νῦν ὦ λῷστε πρὸς τὸ γράφειν ὁρμῆς Σωκρατικῶς εἰπεῖν, δαιμόνιόν τι πέφηνεν ἐναντίωμα, νοσήμασιν ἡμᾶς ἐξ ἄλλων ἄλλοις περιβάλλον. οἷα δὴ συμβαίνει τῆς παρούσης ἡμᾶς ἀπολαύειν ζωῆς. μυρίων γὰρ ὄχλος κακῶν τὸν τῶν ἀνθρώπων οὐκ οἶδ' ὅπως ἐκληρώσατο βίον· καὶ τὸν μὲν, πενία παρενοχλεῖ· τὸν δὲ πάθη παρατείνει ψυχῆς. ἄλλῳ διάκειται τὸ σῶμα κακῶς· ἕτερος παιδίον οὐκ ἔχων θρηνεῖ· ὁ δὲ τοὺς ὄντας ὀδύρεται. καὶ τί δεῖ λέγειν γυναικῶν καὶ παίδων ἀποβολήν; ἅπερ ἡμῖν οὐχ ὡς ἔδει, γνῶναι τῇ πείρᾳ παρέσχεν ἡ πεῖρα. καὶ μακρὸν ἂν εἴη τῷ λόγῳ περινοστεῖν ἃ πρόκειται τῇ θέᾳ, καὶ δείκνυσιν ἡμῖν ἐπὶ τῶν ἔργων ὁ βίος, οὕτως ἄγοντος τοῦ θεοῦ τὰ ἡμέτερα ἐμοὶ δοκεῖν, ὅπως ἀβουλήτων πλήθει περιπεσόντες, τῶν ἐπὶ γῆς μηδαμῶς ἀντεχώμεθα μηδὲν ἐχόντων ἑστηκὸς καὶ ἀκίνητον. ἀλλὰ καταλιπόντες τῶν συμφορῶν τὸ χωρίον, πρὸς ἑτέραν ζωὴν ἐπειγώμεθα, ἐπ' αὐτὸν ἀναπτάντες τῇ διανοίᾳ τὸν οὐρανὸν, εἰ καὶ μένειν ἔτι τὸ σῶμα βιάζεται· μηδὲ θρηνῶμεν τὸν ἀπελθόντα τῶν ἐντεῦθεν δεσμῶν φανέντα μόγις ἐλεύθερον. ἐπαινῶ γὰρ τὸν εἰπόντα ὅς τίς ποτε ἦν ὁ τοῦ λόγου τούτου πατὴρ, ὡς ἀρχῆθεν μὴ φῦναι τοῖς ἐπὶ γῆς ἄριστον. φύντα δ' ὅτι τάχιστα πύλας αἴδαο περῆσαι. ὅπερ ἡ σκηνὴ παρασπάσασα, δεῖν ἡμᾶς φησιν ἐπὶ συλλόγους ἰόντας τὸν φύντα θρηνεῖν ὅς εἰσέρχεται κακά. τί οὖν ἔτι θρηνοῦμεν ἐκ τῆς τοῦ βίου ζάλης ἀσφαλῶς τοὺς φιλτάτους προπέμψαντες, πρὶν ἂν πεῖρα γενέσθαι τῶν ἐντεῦθεν κακῶν; τί δὲ πρὸς τὸ δοκοῦν ἡμῖν τὸ θεῖον εἶναι βουλόμεθα, δέον τοῦτο κρίνειν καλὸν, ὅπερ ἂν ἐκείνῳ δοκῇ.

κῇ; τοιοῦτος ἦν ὄντως ὁ τὸν πολὺν ἐκεῖνον Πυθαγόραν ἐζηλωκώς. ὅς τις γε δὴ πρὸς τὸν ἐν εὐχῆς εἰπόντα μέρει, δώη σοι ὁ θεὸς ἅπερ ἂν τύχῃς βουλόμενος, εὐφήμει φησίν. ἀλλὰ βουλοίμην ἄγε καὶ δίδωσι. πολλὰ γὰρ ἡμῖν γενέσθαι πολλάκις εὐξάμενοι, εἶτα μὴ τυχόντες, ἔγνωμεν ἐκ τῶν ἔργων ὡς δεόντως οὐ γέγονε. πολλῶν δὲ καὶ κατὰ γνώμην δῆθεν τυχών, μικρὸν ὕστερον ἐμεμψάμην τὴν τύχην ὅτι καὶ γέγονεν. οὕτως ἄρα πρὸς μικρὰ βλέποντες ἄνθρωποι, τὴν φύσιν οὐκ ἔχουσι ἐξαρκῆ. καὶ ἅπερ ἂν μέλλῃ καθάπαξ λυσιτελεῖν ἠγνοήκαμεν. τοιγαροῦν παραχωρεῖν ἀνάγκη τῷ κρείττονι, σοφῶς ἄγοντι τὰ ἡμέτερα, κἂν ἡμῖν ἀγνοῆται τὰ δόγματα.

Μουσαίῳ.

Ὁ λογιώτατος Παλλάδιος, χρυσὸν ὅλον ἧκεν ἄγων τὴν ὑμετέραν ἐπιστολήν. καὶ εἴγε μοι τὰ Κροίσου κεκόμικε τάλαντα, οὐκ ἂν οὕτως εὐμενέσιν εἶδον αὐτὸν ὀφθαλμοῖς. ἄλλοις μὲν γὰρ ἄλλος μέγα φρονεῖ· ὁ Λυδὸς χρυσῷ. ὁ Σπαρτιάτης τῷ δόρατι· χορδαῖς Ἀρίων καὶ κρούσμασιν. ἐμοὶ δὲ σεμνολόγημα σή τε θέα καὶ γράμματα σά, καὶ πᾶν ὅ,τι ἂν ὑμῶν ἀπολαύειν ἐξῇ· ὥστε τῷ νέῳ καὶ μισθὸν ἡμεῖς ἐκ τῶν δικαίων ὀφείλομεν. ὃν οὐκ ἀποδιδόντες, εἰκότως ἂν αἰσχυνοίμεθα· ὁ δὲ μισθός, οὐ μὰ Δία χρυσός, οὔτε λίθοι τινὲς Ἰνδικαί. οὔτε γὰρ τούτων πλουτῶ, οὔτε τούτων θηρεύσων ὁ νέος ἀφῖκται. ἀλλ' οὐδὲ λόγων κάλλος. οὐ γὰρ μουσῶν εὔφορος ἐγώ. οὐδὲ γὰρ τοῖς ἐξ Ἀττικῆς ἐναβρύνομαι. ταῦτα γὰρ εὐδαιμόνων ἐτύχησαν παῖδες. ἀλλ' εἰ τὴν ἐμὴν δόσιν ἥ τίς ἐστιν ἐθέλεις σκοπεῖν, εὔνοιά γε καὶ προθυμία. τούτων γὰρ κύριος ἐγὼ Δημοσθένης φησίν. τῶν δὲ ἄλλων τύχη καὶ μοῦσαι πρὸς τὸ δοκοῦν αὐταῖς τὴν δωρεὰν πρυτανεύουσαι.

Μεγέθιος Προκοπίῳ.

Οὗτε πρῶτον εἰς μέσους ἡμᾶς τὸν ἐπιτάφιον λόγον παρῆλθες, τοσοῦτον ἦθην ταῖς Ἀττικαῖς σου μελίτταις, ὥς τε καὶ ἡγούμην τὸν μουσηγέτην αὐτὸν συνεργάσασθαί σοι μετὰ τῶν χαρίτων τὸν λόγον. ἐφ᾽ ἑκάστῳ μὲν οὖν τῶν ὀνομάτων, ἐγώ τε καὶ ὅσοι τῶν ἀκροωμένων ἐνέπλησαν τότε τὸ θέατρον, βοῶντες ἕκαστοι τὸ Στεντόρειον. ὡς δὲ κατὰ τὴν πόλιν γεγόναμεν, ἐντεῦθεν μᾶλλον ἐπετείνετό σοι τὸ θαῦμα. καὶ ἦν ἐν τοῖς ἁπάντων στόμασι τὰ χρυσᾶ σου γεννήματα, κρινόντων μὲν ταῦτα πρὸς ἄλληλα, τῷ μήτῳ παραπλήσιον εἶναι, ἀπορουμένων δὲ ποῖα δεῖ μᾶλλον τῶν ἄλλων στεφανῶσαι τοῦ κάλλους. ἴσαι προσέβαλλον αἱ χάριτες. ἐπεὶ οὖν ὅσοις δι᾽ ἀσχολίαν ἀνηκόοις γενέσθαι τοῦ λόγου συμβέβηκεν, ἱκέτευον ἀπογεύσασθαι δι᾽ ἐμοῦ τῆς Ἀττικῆς σου μελίττης, πέμπε τὸν λόγον, εὖ εἰδὼς ὡς μυρίοις αὖθις αὐτὸν καταστέψαντες τοῖς ἐγκωμίοις, εἰσαῦθις ἀποστελοῦμεν.

Νεστορίῳ.


Διεψεύσθημεν ἐλπίδας μακρᾶς μὲν καὶ τῷ χρόνῳ λυπούσης ὅτι μὴ τὸ πέρας ἐδέχετο. εὔφρανε δὲ ὅμως καὶ μετριωτέρους ἐποίει. τὴν γὰρ σὴν ἐπιστολὴν εἰς μνήμην ἄγουσι παρεῖχε μὲν ἐννοεῖν ὅτι δὴ θᾶττον ἡμῖν ἐπανέλθοις. νυνὶ δὲ καὶ τῆς ἐλπίδος αὐτῆς ἐκπεσόντες, πῶς ἂν ἔχοιμεν φέρειν μετρίως. ἀλλ᾽ ὦ τύχη, τύχη (τραγῳδήσω γάρ τι μικρὸν εἰς παραμυθίαν τῆς λύπης) τί σε τοσοῦτον εὐφραίνομεν ἀνιώμενοι; ὤφειλες γὰρ ἢ μὴ συναγαγεῖν εἰς πόθον ἀνθρώπους, ἢ γοῦν ἀπολαύειν ἀλλήλων ἐᾶν, καὶ μὴ χωριζομένοις ἐφήδεσθαι. ἀλλὰ γὰρ ξένον οὐδὲν ἀνθρώπους ἡμᾶς ὄντας τοιούτων πειρᾶσθαι. ἀλλ᾽ ὑποκύπτειν δεῖ τὸν αὐχένα καὶ ζυγὸν ἀνάγκης ὑπομένειν ἑκόντας. οἱ γὰρ ἑκούσιοι πόνοι τοῖς κάμνουσι μετριώτεροι.

Ζαχαρίᾳ.

Ὄσης με φιλοτιμίας ἐνέπλησας τὴν μικρὰν ἐξάρας ἐπιστολὴν καὶ τὸ ὡς ἂν αὐτὸς εἴποις Λακωνικήν. ἰδοὺ δή σοι καὶ σοβαρὸν ὁρῶ. καὶ Σπαρτιάτης αὐτόσχημα γεγένημαι. καί μοι πάντα Λυκοῦργος. ὁ δὲ Σόλων οὐδέν. μικροῦ δεῖν καὶ Δωρικὴν ἀφῆκα φωνήν, τῆς Ἀττικῆς ἐκείνης εἰς λήθην ἐλθών. λυπεῖ με δὲ καὶ πατρὶς ἐκ μέρους τετειχισμένη, ὅτι δὴ μὴ τῆς ἀτειχίστου Σπάρτης ἐστὶν εἰκών. τοιαῦτα δύναται ῥήτωρ ἀγαθός, πρὸς πάθος ἕλκων, οἷον καὶ βούλεται. εἰ δέ με πάλιν ὡς Ἀττικὸν ἐπαινέσεις, ὅρα μὴ τὴν Σπάρτην αὖθις ἀρνήσωμαι. οὕτω πόθῳ τῶν σῶν γραμμάτων μεθέλκομαι. ἀλλ᾽ ὅρα ὅπως μὴ παίζειν ἐθέλων, ἐπαινέσεις τὴν Αἴγυπτον, καὶ τῷ λόγῳ γενοίμην Αἰγύπτιος. οὐκοῦν φεῖσαι πρὸς διός. οὐ γὰρ ἔχω μὴ θαυμάζειν ὁπόσα καὶ σύ.

Νηφαλίῳ.

Σὺ μὲν πλήθει χρημάτων ἀπορίαν θρηνεῖς. ἐγὼ δὲ τὰ χρήματα καὶ τοὺς πλουτοῦντας περιφρονῶ, καίτοι πενίᾳ θαυμαστῇ συνεχόμενος. οὕτως ἄρα τὸ πένεσθαι καὶ πλουτεῖν ἡ γνώμη ποιεῖ, οὐ χρήματα παρὰ τῆς τύχης τῇδε κἀκεῖσε πλανώμενα. τοιγαροῦν παῦσαι μικροψύχως ἡμῖν ὀδυρόμενος, μηδὲν μέγα νομίζων πλὴν εἰ μή τι φέρει πρὸς ἀρετήν. ὅτι γὰρ μὴ τοιοῦτον, ἀλλότριόν τέ ἐστι, καὶ πρὸς ἀπάτην ἐφέλκεται. ὅθεν οἱ φρονεῖν εἰδότες ὥσπερ τινὰ μέθην καὶ φλυαρίαν ταῦτα ἀποσεισάμενοι, τὴν γῆν καταλιπόντες τῇ γῇ, μεταρσίῳ γνώμῃ περιπολοῦσι τὸν οὐρανόν, τὰς αἰσθήσεις καὶ τὴν ὕλην καὶ τὸ τῆς πλάνης χωρίον ὥσπερ τινὰ χαλεπὴν ἐκνηξάμενοι θάλατταν.



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΔΙΟΝΥΣΊΟΥ ΣΟΦΙΣΤΟΥ͂ ἈΝΤΙΟΧΕΊΑΣ.

Στεφάνῳ.

Ὅτι γραμμάτων ἐμῶν ἐπιθυμεῖς, ἠγνόουν. ὡς δὲ ᾐσθόμην ἀφ' ὧν ὁ γραμματικὸς Βερονικιανός μοι διελέχθη, γράφων μὲν οὐ παύσομαι, φιλῶν δὲ οὐκ ἐπαυσάμην.

Εὐσεβίῳ.

Ποιήσαντες ὑμῶν ἐραστὴν, ἐποιήσατέ με καὶ τολμηρόν. ὥστε οὐ παύσομαι γράφων, κἂν πολλάκις αἰτιάσησθέ με θρασύτητος. τί γὰρ ἂν καὶ ποιήσειεν ἄνθρωπος ἐρῶν, καὶ παύσασθαι μὴ δυνάμενος.

Τῷ τὰ ὀξίδια πέμψαντι.

Ἡ φιλότιμος καὶ δικαία σου δωρεὰ, μέχρι μὲν πρώην ἀνεπαφος ἦν, ἐπεὶ μὴ δὲ ἰδεῖν αὐτὴν ὑπεισχόμην οὔπω μεγάλην οὖσαν ἐρυθρειῶν. ὡς δὲ ἔδει τῶν κεράμων ἕνα πέμψαι φίλῳ γνησίῳ κατὰ χρείαν ἐπιδημοῦντι, τότε ᾐσθόμην, ὅτι καὶ δόλον εἶχεν ἐν ἀπορρήτῳ, καὶ τὸν πέμψαντα ὡς ἀληθῶς ἐμιμεῖτο· γελοῖον δὲ, ὅτι καὶ σημεῖον ἐπέθηκας αὐτοῖς, οἷον εὐφρᾶναι τὸν ἀπατώμενον. οὐκοῦν δὲ ἀπεικὸς ἐπεπόνθειν, πολλάκις ἐφ' οἷς ἐπείσθην ἐξαμαρτών.

Ἰλασίῳ.

Ἆρα μὴ λέληθα ἐμαυτὸν εἰς παροιμίαν ἐλθὼν; καὶ γέγονα λύκος χανὼν διὰ κενῆς; ἢ τίς ἂν πιστεύσειε ταύτην ἐπ' ἐμὲ τὴν

τὴν παροιμίαν ἰσχύειν, ὅτε ὑμεῖς αὐτὴν προσδοκίαν ἐποιήσατε, συζεύξαντες τὰ ἆθλα τοῖς ἐπιτάγμασιν; εἰ μὲν οὖν ὡς ἐχρῆν ἠγωνίσμεθα, καὶ λαμπρὰν αἰτοῦμεν τὴν δωρεάν. εἰ δὲ ἧττον ἐξελέγξαμεν ἢ νομίζομεν, ἀλλ' οὐ χεῖρον ἠβουλήθημεν ἤπερ ἐφάνημεν. βουλήσει δὲ ἴσως ἅπαντα κρίνεται. ἀπόδοτε τὴν σύνταξιν ἀνθρώποις ἢ δυναμένοις ἢ βουλομένοις. καὶ δότε πρόφασιν ὑμνῆσαι τὴν φιλότιμον καὶ σοφωτάτην ἀρχὴν, αὐτοὶ πρὸς ἕκαστον ὑφηγούμενοι τῶν πεπραγμένων.

Ῥωμύλῳ.

ΕΚ μὲν τῆς ἤδη γραφείσης ἐπιστολῆς, καὶ πτερωτὸν εἶναί σε διὰ τῆς προθυμίας ἐνόμισα. χρόνου δὲ ἐγγενομένου, καὶ πεμφθέντος οὐδενὸς ὧν προσεδόκησα, γράφειν εὐθὺς ἐγκλήματα πικρὸν ἡγησάμην. παρακαλῶ δὲ ἔτι, σπεῦσον. ἢ πάντως ἔλπιζε τὰ ἐγκλήματα.

Εὐτοκίῳ.

ΠΡὸς σαυτοῦ καὶ τῆς παλαιᾶς φιλίας ἡμῶν, οὐ δοκῶ σοι γράφων, ἀναισχυντεῖν, ἀεὶ μηδὲ εἰδέναι μου βουλομένῳ τὰ γράμματα; ἀλλ' ἔτι μὲν ἐλπίζων μεταθήσειν ἡμᾶς καὶ ἐπὶ τοῦ παρόντος ἐπεστάλκειν. ἀποτυχὼν δὲ νῦν αὖθις, ἀναιδὴς οὐ κληθήσομαι. τοῦ Μοδέστου δὲ πολύν τινα ἔπαινον ὑπὲρ σοῦ κινοῦντος παρὰ πολλοῖς, ἀναγκαῖον ἡγησάμην καὶ δι' αὐτοῦ καθάπερ διὰ τῆς ἐπιστολῆς, ὑμῖν ὁμιλῆσαι.

Ἀραβιανῷ.

ΗΜὲν ἐπιστολὴ γέγραπται παρ' ἐμοῦ. τὴν χάριν δὲ οὐκ αἰτῶ μόνος, ἀλλὰ πολλοὶ δέχονται μετ' ἐμοῦ. σκόπησον οὖν, ὅπως μήτε τὴν ἐπιστολὴν τοῖς αἰτήσασι καταλίπωμεν, μήτε οἱ δεηθέντες ὑμῶν ἀποτύχωσι δι' ἐμοῦ.

Ἀνθεμίῳ.

Οὐ παύσομαι γράφων, ἕως ἂν ἀπείπωμεν, ἐγὼ μὲν γράφων, αὐτὸς δὲ ἐνοχλούμενος, ὅπως ἂν καὶ μάθω βεβαίως, εἰ δεῖ με περὶ ὧν ἐδεήθην τὴν ἐλπίδα τηρεῖν, ἢ μᾶλλον ἀποβαλεῖν.

Φιλοξένῳ.

Εὖ πράττε φίλων ἄριστε καὶ ῥητόρων. οὕτω γὰρ ἐγὼ διατελῶ περὶ σοῦ, τὰ μὲν εὐχόμενος, τὰ δὲ προσδοκῶν. καὶ σὺ μὲν ὅτι μέμνησαι φίλων καὶ σπεύδεις ὑπὲρ ἡμῶν, εἰσὶν οἱ δεῦρο ταῦτα συνεχῶς ἀπαγγέλλοντες. προστίθει δὲ τούτοις τὸ λειπόμενον, καὶ δίδου συνεχῶς ὑμετέραις ἐντυγχάνειν ἐπιστολαῖς.

Εὐσταθίῳ.

Ὁ γράφων ἐγὼ τὴν ἐπιστολὴν, φίλος ὑμῖν. ὁ κομίζων, φίλος ἐμοί. γένοιτο τοίνυν καὶ σοὶ δι' ἐμέ. ἔγνωθι κἂν ταῦτα, ποδαπός τις εἰμὶ, φίλους εἰσάγων τοῖς φίλοις. ἐφ' οἷς δὲ ἥκει, καὶ ὅπως αὐτὰ χρὴ διαθεῖναι, τὰς μὲν αἰτίας αὐτὸς διηγήσεται. πρὸς δὲ τὸ δεύτερον ἡμεῖς ὑφηγήσασθε καὶ φιλοῦντες ἄγαν καὶ φρονοῦντες ἱκανῶς.

Ἰωάννῃ.

Εἰ μὲν φόβος ἡγεῖταί μοι τῆς πρὸς ὑμᾶς ἐπιστολῆς. θεραπεύει δὲ αὐτὸν ἡ πρᾳότης ἡ παρ' ὑμῖν. γράφω τοιγαροῦν τῆς εἰς ὑμᾶς ἐλπίδος ἀντεχόμενος, ὥσπερ οἱ κυβερνῆται βλέποντες εἰς τὴν ἀποδυθυόντα τῶν ἀστέρων. ἐπεὶ οὖν καὶ ὑμεῖς οὕτω καταλάμπετε, μείνατε καὶ οὕτως εὐεργετοῦντες.

Ἐλισσαίῳ.

Μία πρὸς ἡμᾶς ἐπιστολὴ παρὰ σοῦ. παρ' ἐμοῦ δὲ εἴτις ὑμῖν ἀποδέδωκεν, αὕτη τετάρτη. πράττε τοίνυν καλῶς καὶ

μεμνή-

μέμνησο τῶν φίλων. κἄν τί σε δεξιὸν περιστῇ, γράφε πρὸς ἐρῶντα μαθεῖν.

Πλακιδιανῷ.

Ὁ Πρότερον πιστεύσας σοι δι' ἐμὲ, νῦν ἐμὲ μέμφεται διὰ σέ· λῦσον οὖν τὸ χρέος. ἵνα μὴ κἀγὼ σοι μέμψωμαι δι' ἐκεῖνον.

Ἱερίῳ.

Εἶτα ὦ σοφώτατε τῶν ἐν τῇ γῇ, χρήματα μὲν αἰτήσας ἔλαβον ἂν καὶ ῥᾳδίως· ἐπιστολὴν δὲ ὑμετέραν ἰδεῖν, πολλάκις μὲν δεξάμενος, πολλάκις δὲ ἱκετεύσας, ἀνάξιος εἶναι τοῦ τυχεῖν ὑποπτεύομαι; καίτοι φιλῶ μὲν ὡς ὀλίγοι, τιμῶ δὲ ὑπὲρ τοὺς ὀλίγους.

Ἡσυχίῳ.

Ἐγὼ καὶ σοῦ κήδομαι καὶ Τιμοθέου. σοῦ μὲν ὡς μὴ ἀδικοίης. Τιμοθέου δὲ ὡς μὴ ἀδικοῖτο. εἰ δὲ καὶ σοὶ δοκεῖ μετὰ Πλάτωνος τὸ ἀδικεῖν τοῦ ἀδικεῖσθαι μεῖζον εἶναι κακὸν, ἔοικα σοὶ μᾶλλον ἢ τούτῳ χαρίζεσθαι, δεόμενος ὑπὲρ αὐτοῦ πραττομένου δίκας, ὑπὲρ ὧν οὐκ ἐξήμαρτε.

Σεργίῳ.

Πολλῆς ἐνέπλησέ με φροντίδος κομίσας τὶς περὶ ὑμῶν ἀπαγγελίαν ἐπαχθῆ. καίτοι τὰ βελτίω προσεδεχόμην ἀκούειν. πέμψον οὖν θᾶττον ἐπιστολὴν περιμένοντί μοι συνδιατεθῆναι τοῖς γραφομένοις.

Λεωνίδᾳ.

Ἔρρωσο. τοῦτο γὰρ ἐγὼ καὶ συνεύχομαί σοι. καὶ ἀκοῦσαι ποθῶ περὶ σοῦ. κἂν ὅτι τοῦτό ἐστι παρ' ὑμῖν ἐπιστείλῃς, οὐ μικρὰν ἔχειν δωρεὰν ἡγοῦμαι παρὰ τῆς τύχης.

Μο-

Μοτερνίῳ.

ΚΑὶ βραχέα τῷ μεγέθει σοι γράφων, ὅτι φιλῶ καὶ μέμνημαι δείκνυμι. ποιῶν δὲ καὶ αὐτὸς ὥσπερ ἐγὼ, τοῦτο δείξεις ὅπερ ἐγώ.

Ἰωάννῃ.

ΤῸν οἶνον τὸν Κνίδιον φασὶν οὕτω πολὺν ἔχειν ὑμᾶς, ὥστε καὶ ἐπ' ἀγορᾶς αὐτὸν διατίθεσθαι. ἡμεῖς δὲ οἱ τὴν Σύρων οἰκοῦντες, ἄλλας μὲν εὐτυχοῦμεν ἀμπέλους· τὰς δὲ παρ' ὑμῖν μακαρίζομεν, οὕτως εὐδαιμονέστερον, ὅτι καὶ ἀναγκαιότερον. πέμψατε οὖν μοι κεράμους ἀρκοῦντας εἰς ἔτος, ἢ ληψόμενοι τὴν τιμὴν ἢ χάριν ἀντὶ χάριτος ἀπαιτήσοντες.

Ἀβραμίῳ Ἐπισκόπῳ.

ἜΔει πρὸς ἀνδρὸς ἀρετὴν τοὺς μέλλοντας γράφειν, καὶ χρόνου μῆκος ἐπιζητεῖν, καὶ δύναμιν λόγων ἀξίαν εὑρεῖν. ἁμάρτημα γὰρ οὐ φορητὸν, τοιούτοις πράγμασιν ἐγχειρεῖν, ἀφ' ὧν καὶ τὰ τῆς προπετείας ἐλέγχεται, καὶ τὰ τῆς ἀρετῆς ἐκ τῆς μικρολογίας ὑβρίζεται. τοῦτο τοίνυν ἡμῖν καὶ τὴν ἀναβολὴν πεποίηκε, καὶ τὸ δοκοῦν ἔγκλημα περιέθηκε. φίλων γὰρ ἐδόξαμεν ἀμνημονεῖν πρὸς αὐτοὺς μηδὲ γράμμασι φανέντες. γνοὺς τοίνυν τὴν αἰτίαν καὶ σκοπῶν τὴν φιλίαν, μὴ παντελῶς τὴν ἐμὴν ἀβέβαιον νομίσῃς διάνοιαν. οὐδὲ γὰρ οὐδὲ αὐτὸς οἶμαι, τὴν τοιαύτην κακίζειν ἐπείγῃ προαίρεσιν, ἥτις μικρᾶς γοῦν ἀσφαλείας πεφρόντικεν. εὔχου τοίνυν περὶ ἡμῶν. τοῦτο γὰρ κἀμοὶ ποθεινὸν καὶ σωτήριον, καὶ σοὶ προσφιλὲς ἅμα καὶ νόμιμον.


Εὐσε-

Εὐσεβίῳ.

ΚΑὶ τῶν ἵππων λέγουσι τοὺς ἀρίστους, ἐπειδὰν εἰς ἀγῶνα ἔλθωσιν, εἶναι τὰ τελευταῖα βελτίους ἢ τὰ πρῶτα τῶν δρόμων. καὶ ὁ καλὸς Ἀκυλῖνος, φιλοτιμότερός ἐστιν ἐν τοῖς πόνοις νῦν μᾶλλον, ἢ πάλαι, καὶ προθυμεῖται μὲν οὐδὲν εἶδος ἀγνοῆσαι παιδείας, τοὺς δὲ περὶ αὐτοῦ παλαιοὺς ἐπαίνους ἐπιδεῖξαι μικρούς. αἱ τοιαῦται δὲ τῶν νέων ἐπιθυμίαι, βίβλων ἐπιδέονται πλήθους. τοῦτο δὲ οὐκ ἂν γένοιτο, εἰ μὴ παρείη χρυσός.

Ῥούφῳ Σχολαστικῷ.

ΛΟ'γος ἐστὶ παλαιὸς, μὴ ῥᾳδίως Κίλικας ἀληθεύειν. καὶ δέδοικα μὴ Κιλικίαν ἰδὼν, ἐκοινώνησας αὐτῇ καὶ τῶν τρόπων. ποῦ γὰρ τὰ γράμματα; ποῦ δὲ τὸ συνεχῶς ἐπιστέλλειν; ἢ οὐχ αὕτη μὲν ἦν ἡ ὑπόσχεσις, μεμένηκε δὲ λόγος ὑπόσχεσις, ἐμὲ μὲν λυπεῖσθαι ποιῶν, σὲ δὲ Κίλικα δεικνύων.



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΓΡΗΓΟΡΊΟΥ ΤΟΥ͂ ΘΕΟΛΟ'ΓΟΥ.

Κελευσίῳ Ἄρχοντι.

ἘΠειδή μοι τὴν σιωπὴν ἐγκαλεῖς, καὶ τὴν ἀγροικίαν, ὦ καλὲ καὶ ἀστικὲ, φέρε σοι δὴ καὶ μυθολογήσω μῦθον οὐκ ἄμουσον, εἴπως ἄρα ταύτῃ γε δυναίμην ἐπισχεῖν σε τῆς φλυαρίας. ἐπέσκωπτον αἱ χελιδόνες τῶν κύκνων, τὸ μὴ ἐθέλειν ὁμιλεῖν τοῖς ἀνθρώποις, μήτε δημοσιεύειν τὴν μουσικὴν, ἀλλ' ἀμφὶ τοὺς λειμῶνας διάγειν, καὶ τοὺς ποταμοὺς καὶ τὴν ἐρημίαν

ἀσπάζεσθαι, καὶ βραχέα μὲν ᾄδειν, ἃ δὲ καὶ ᾄδοιεν, ᾄδειν ἐν σφίσιν αὐτοῖς, ὥσπερ αἰσχυνομένας τὴν μουσικήν. ἡμῶν δὲ ἔφασαν, εἰσὶν αἱ πόλεις, καὶ οἱ ἄνθρωποι, καὶ οἱ θάλαμοι, καὶ περιλαλοῦμεν τοῖς ἀνθρώποις, καὶ τὰ ἡμέτερα αὐτοῖς διηγούμεθα· ταῦτα δὴ ταῦτα τὰ ἀρχαῖα καὶ Ἀττικά, τὸν Πανδίωνα, τὰς Ἀθήνας, τὸν Τηρέα, τὴν Θράκην, τὴν ἀποδημίαν, τὸ κῆδος, τὴν ὕβριν, τὴν ἐκτομὴν τῆς γλώττης, τὰ γράμματα, καὶ ἐπὶ πᾶσι τὸν Ἴτυν, καὶ ὡς ἐγενόμεθα ἐξ ἀνθρώπων ὄρνιθες. οἱ δὲ μόλις μὲν αὐτὰς ἠξίωσαν καὶ λόγου, τῆς ἀδολεσχίας μισήσαντες. ἐπεὶ δὲ ἠξίωσαν, ἀλλ᾽ ἡμῶν μὲν οὕνεκεν, ὦ αὗται, κἂν εἰς τὴν ἐρημίαν ἀφίκοιτό τις, ὥστε ἀκοῦσαι τῆς μουσικῆς, ὅταν ἀνῶμεν τῷ ζεφύρῳ τὰς πτέρυγας ἐμπνεῖν ἡδύ τι καὶ ἐναρμόνιον, ὥστ᾽ εἰ μὴ πολλὰ καὶ ἐν πολλοῖς ᾄδομεν, ἀλλ᾽ αὐτὸ δὴ τοῦτο κάλλιστόν ἐστιν ἡμῶν, ὅτι μέτρῳ φιλοσοφοῦμεν τὸ μέλος, καὶ οὐκ ἀναμίγνυμεν θορύβοις τὴν μουσικήν. ὑμᾶς δὲ καὶ εἰσοικιζομένας οἱ ἄνθρωποι δυσχεραίνουσι, καὶ ᾀδούσας ἀποστρέφονται, καὶ μάλα ἐν δίκῃ. αἵ γε οὐδὲ ἐκτμηθεῖσαι τὴν γλῶτταν δύνασθε σιωπᾶν, ἀλλ᾽ αὐταὶ τὴν ἀφωνίαν ὑμῶν ὀδυρόμεναι, καὶ τὸ ἐφ᾽ ὑμῖν πάθος, ἔπειτα ἐστὲ λαλίστεραι τίνος οὐχὶ τῶν εὐγλώττων, καὶ μουσικῶν. Συνῆκες ὅ, τι λέγω, φησὶν ὁ Πίνδαρος, κἂν εὕρῃς τὴν ἐμὴν ἀφωνίαν, ἀμείνω τῆς σῆς εὐγλωττίας, παῦσαι καταφλυαρῶν ἡμῶν τῆς σιωπῆς. ἢ σοι παροιμίαν ἐρῶ μάλιστα μὲν ἀληθῆ, μάλιστα δὲ σύντομον, ὅτι τότε ᾄσονται κύκνοι, ὅταν κολοιοὶ σιωπήσωσιν.

Τῷ Νικοβούλῳ.

ΑʼΕὶ προτιμήσας ἐμαυτοῦ τὸν μέγαν Βασίλειον, εἰ κἀκείνῳ τοὐναντίον δοκεῖ, καὶ νῦν προτιμῶ, οὐχ ἧττον διὰ τὴν ἀλήθειαν, ἢ τὴν φιλίαν. διὰ τοῦτο προτιθεὶς τὰς ἐκείνου ἐπιστολάς, τὰς ἐμὰς ὑποτίθημι. καὶ γὰρ ἐπιθυμῶ πανταχοῦ συνεζεῦ

νεζεσχθαι ἡμᾶς ἀλλήλοις, καὶ ἅμα τύπον παρέχων τοῖς ἄλλοις τῆ μετρίε καὶ τῆς ὑφέσεως.

Τῷ αὐτῷ.

ΤΟ' λακωνίζειν ἐ τῦτό ἐςιν, ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλείςων ὀλίγας. ὅτως ἐγὼ καὶ βραχυλογώτατον Ο'μηρον λέγω, καὶ πολλὺ τὸν Α'ντίμαχον. πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' ἐ τοῖς γράμμασι.

Πρὸς τὸν μέγαν Βασίλειον.

Ε'ψευσάμην, ὁμολογῶ τὴν ὑπόσχεσιν, συνέσεσθαί σοι καὶ συμφιλοσοφήσειν καθομολογήσας ἐκτοῦ Α'θηνῶν ἔτι καὶ τῆς ἐκεῖσε φιλίας καὶ συμφυΐας. ἐ γὰρ ἔχω τί τέτων εἰπεῖν οἰκειότερον. ἐψευσάμην δὲ ἐχ ἑκὼν, ἀλλὰ νόμε νόμον νικήσαντος, τῦ θεραπεύειν κελεύσαντος τὲς γεννήτορας, τὸν τῆς ἑταιρείας καὶ συνηθείας. ἐ μὴν παντάπασι ψεύσομαι αὖ τῦτο αὐτὸ εἰ καταδέξη. τὰ μὲν γὰρ ἡμεῖς σοι συνεσόμεθα. τὰ δὲ αὐτὸς ἡμῖν θέλησον, ἵν' ἦ τὰ πάντα κοινὰ, καὶ τὸ τῆς φιλίας ὁμότιμον. ὅτω γὰρ ὑπάρξει, καὶ τὸ τέτες μὴ λυπεῖν, καὶ τὸ σῦ τυγχάνειν.

Τῷ αὐτῷ.


ΠΩ'ς ἐπιφυλλὶς ἡμῖν τὰ σὰ, ὦ θεία καὶ ἱερὰ κεφαλή; ποῖον σὲ ἔπος φύγεν ἕρκος ὀδόντων; ἢ πῶς τῦτο εἰπεῖν ἐθάρσησας, ἵνα τί καὶ αὐτὸς θαῤῥήσω μικρόν; πῶς ἡ διάνοια ὥρμησεν; ἢ μέλαν ἔγραψεν; ἢ χάρτης ἐδέξατο; ὦ λόγοι καὶ Α'θῆναι καὶ ἀρεταὶ, καὶ λόγων ἱδρῶτες μικρῦ γάρ με καὶ τραγῳδὸν, οἷς γράφεις, ποιεῖς. πότερον ἡμᾶς ἀγνοεῖς, ἢ σεαυτὸν, ὁ τῆς οἰκεμένης ὀφθαλμὸς, ἡ μεγάλη φωνὴ καὶ σάλπιγξ, τὸ τῶν

λό-

λόγων βασίλειον; μικρὰ Γρηγορίῳ τὰ σά; τί οὐδεὶς ἄλλο θαυμάσειεν τῶν ἐπὶ τῆς γῆς, εἰ μὴ σὲ Γρηγόριος; ἓν μὲν ἔαρ ἐν ὥραις, εἷς δὲ ἥλιος ἐν ἀστράσιν, εἷς δὲ περιέχων ἅπαντα οὐρανός, μία δὲ κατὰ πάντων φωνὴ ἡ σή, εἴπερ τι ἐγὼ ἱκανὸς τὰ τοιαῦτα κρίνειν, μὴ δὲ ἀπατᾷ με τὸ φίλτρον, ὅπερ οὐκ οἴομαι. εἰ μὲν ὅτι μὴ πρὸς ἀξίαν θαυμάζομεν, τοῦτο ἐγκαλεῖς, ἐγκαλεῖς καὶ πᾶσιν ἀνθρώποις. οὐδὲ γὰρ ἄλλος τις ἀξίως ἐθαύμασεν ἢ θαυμάσεται, ὅτι μὴ σύ, καὶ ἡ σὴ μεγαλοφωνία, εἴπερ οἷόν τε ἦν ἑαυτὸν ἐπαινεῖν, καὶ τοῦτο εἶχεν ἡμῖν ὁ τῶν λόγων νόμος. εἰ δὲ τὸ καταφρονεῖν ἐγκαλούμεθα, τί μὴ μανίαν πρότερον; ἀλλ᾽ ὅτι φιλοσοφοῦμεν ἀγανακτεῖς; δὸς εἰπεῖν, τοῦτο μόνον καὶ τῶν λόγων τῶν σῶν ὑψηλότερον.

Βοσπορίῳ Κολωνίας.

Δὶς ἤδη τοῦτο ἐπτέρνισμαι παρ᾽ ὑμῶν καὶ ἠπάτημαι. οἶδας ὃ λέγω. καὶ εἰ μὲν δικαίως, ὀσφρανθείη κύριος ὑμῶν ὀσμὴν εὐωδίας· εἰ δὲ ἀδίκως, συγγνοίη κύριος. οὔπω γὰρ ἐμὲ περὶ ἡμῶν λέγειν δεῖ λόγον, ἐπειδὴ φέρειν καὶ ἀδικούμενοι προστετάγμεθα· πλὴν ὥσπερ ὑμεῖς κύριοι τῆς ὑμετέρας γνώμης, οὕτω κἀγὼ τῆς ἐμῆς. οὐκ ἔτι βαρὺς ὑμῖν ἔσται Γρηγόριος, οὐ βαρύς. ἀναχωρήσω πρὸς θεὸν τὸν μόνον καθαρόν τε καὶ ἄδολον. εἰς ἐμαυτὸν συσταλήσομαι. ταῦτα ἐμαυτὸν νενουθέτηκα. δὶς γὰρ πρὸς τὸν αὐτὸν λίθον προσπταίειν, τοῖς ἀνοήτοις μόνοις ἡ παροιμία δίδωσιν.



ΚΑΙΣΑΡΙΩ ΤΩ ἸΔΙΩ ἈΔΕΛΦΩ.

Ἐλέγχεται ταύτῃ ὁ Καισάριος, ὅτι Ἰουλιανῷ τῷ Παραβάτῃ παρίστατο ταμίας γενόμενος.

Ἱκανῶς ἠρυθριάσαμεν ἐπὶ σοί. τὸ γὰρ ὅτι ἐλυπήθημεν, τί χρὴ γράφειν, τῷ γε πάντων μάλιστα πεπεισμένῳ; ἵνα γὰρ μὴ τὰ ἡμέτερα λέγωμεν, μηδὲ ὅσης ἀθυμίας ἐνέπλησεν ἡμᾶς ἡ περὶ σὲ φήμη, δὸς δὲ εἰπεῖν, καὶ δέους, ἐβουλόμην εἴπως οἷόν τε ἦν, παρεῖναί σε τοῖς τῶν ἄλλων λόγοις, οἰκείων ὁμοίως καὶ ξένων, καὶ τῶν ὁπωσοῦν γνωρίμων ἡμῖν, ἀλλ' οὖν Χριστιανῶν, οὓς περὶ σοῦ τε καὶ ἡμῶν λέγουσι, οὐχ οἱ μὲν, οἱ δὲ οὔ, ἀλλὰ πάντες ἑξῆς ὁμοίως, ἐπειδὴ καὶ προτιμότερον ἐν τοῖς ἀλλοτρίοις φιλοσοφοῦσιν ἄνθρωποι. ὥσπερ ἄλλη τὶς μελέτη γέγονεν αὐτοῖς ταῦτα τὰ ῥήματα. νῦν μὲν υἱὸν ἐπισκόπου στρατεύεσθαι, νῦν δὲ ὀρέγεσθαι τῆς ἔξωθεν δυναστείας καὶ δόξης, νῦν δὲ ἡττᾶσθαι χρημάτων, ὁπότε χρημάτων κοινὸν ἅπτεται πῦρ καὶ τὸν περὶ ψυχῆς δρόμον τρέχουσιν ἄνθρωποι· ἀλλ' οὐχὶ μίαν ἡγεῖσθαι καὶ δόξαν καὶ ἀσφάλειαν καὶ εὐπορίαν, τὸ γενναίως ἵστασθαι πρὸς τὸν καιρὸν, καὶ ὅτι πορρωτάτω ποιεῖν ἑαυτὸν παντὸς ἄγους τε, καὶ μιάσματος· πῶς δ' ἂν ἄλλον νουθετήσειαν οἱ Ἐπίσκοποι, μὴ παρασύρεσθαι τῷ καιρῷ, μηδὲ τοῖς εἰδώλοις συναναφύρεσθαι; πῶς δ' ἂν τοῖς ἄλλο τι πλημμελοῦσιν, αὐτὸς ἀφ' ἑστίας τὴν παῤῥησίαν οὐκ ἔχων; ταῦτα καθ' ἑκάστην ἀκούοντας ἡμᾶς τὴν ἡμέραν, καὶ ἔτι πλείω τούτων καὶ χαλεπώτερα, τῶν μὲν καὶ διὰ φιλίαν λεγόντων ἴσως, τῶν δὲ καὶ διὰ δυσμένειαν ἐπιτιθεμένων, πῶς οἴει διακεῖσθαι, καὶ τίνας ἔχειν ψυχὰς ἀνθρώπους τῷ θεῷ προθεμένους δουλεύειν, καὶ πρὸς τὰς μελλούσας ὁρᾶν ἐλπίδας, μόνον ἀγαθὸν κρίνοντας; τὸν μὲν οὖν κύριον τὸν πατέρα ἡμῶν πάνυ δυσφοροῦντα πρὸς τὴν ἀκοὴν, καὶ πρὸς τὸν βίον

αὐ-

αὐτὸν ἀπαγορεύοντα, ὁπωσοῦν αὐτὸς παραμυθοῦμαι καὶ ψυχαγωγῶ, τὴν σὴν ἐγγυώμενος γνώμην, καὶ πείθων ὅτι οὐχ ὑπομενεῖς ἔτι πλεῖον λυπεῖν ἡμᾶς. τὴν δὲ κυρίαν τὴν μητέρα, εἰ πύθοιτό τι τῶν κατὰ σὲ (μέχρι γὰρ τοῦ νῦν τέως ἀπεκρυψάμεθα πολλαῖς ἐπινοίαις) οἶδα καὶ παντελῶς ἀπαραμύθητον ἕξειν τὸ πάθος, ὡς γυναῖκά τε οὖσαν μικρόψυχον, καὶ ἄλλως διὰ τὸ λίαν εὐλαβὲς μετριάζειν περὶ τὰ τοιαῦτα οὐ δυναμένην. εἰ μὲν οὖν τινα καὶ σεαυτοῦ καὶ ἡμῶν ποιῇ λόγον, βούλευσαί τι βέλτιον καὶ ἀσφαλέστερον. πάντως γὰρ καὶ τὰ ἐνταῦθα, πρὸς ἐλευθέριον διαγωγὴν αὐτάρκη, τῷγε λίαν μὴ ἀπλήστῳ, μηδὲ ἀμέτρῳ περὶ τὴν ἐπιθυμίαν τοῦ πλείονος. ἀλλὰ καὶ τοῦ καταστάσεώς σε τυχεῖν, οὐχ ὁρῶ τίνα καιρὸν ἀναμενοῦμεν, τὸν νῦν ἐάσαντες. εἰ δὲ τῆς αὐτῆς ἔχῃ γνώμης, καὶ μικρὰ πάντα σοι πρὸς τὴν ἰδίαν ὁρμὴν, ἄλλο μὲν οὐδὲν εἰπεῖν βούλομαι δυσχερὲς, τοσοῦτον δὲ προλέγω καὶ διαμαρτύρομαι, ὅτι δυοῖν ἀνάγκη θάτερον, ἢ γνήσιον μένοντα χριστιανὸν, τὴν ἀτιμοτάτην αὐτοῦ τετάχθαι, καὶ πράττειν ἀναξίως καὶ σεαυτοῦ, καὶ τῶν ἐλπίδων· ἢ τῆς τιμῆς ἐφιέμενον, περὶ τὰ καιριώτερα βλάπτεσθαι, τοῦ καπνοῦ γε μετέχοντα, εἰ καὶ μὴ τοῦ πυρός.

ΣΩΦΡΟΝΙΩ ΥΠΑΡΧΩ.

Τούτου τὴν βοήθειαν ἐπιζητεῖ ὁ θεολόγος κατὰ τῶν διαρπασάντων τὰ τοῦ Καισαρίου μικρῷ ἔμπροσθεν τεθνηκότος.

Ὁρᾷς οἷα τὰ ἡμέτερα, καὶ ὅπως κύκλος τῶν ἀνθρωπίνων περιτρέχει πραγμάτων, νῦν μὲν τῶν, νῦν δὲ τῶν ἀνθούντων καὶ ἀπανθούντων, καὶ οὔτε τοῦ εὖ πράττειν ἑστῶτος ἡμῖν, οὔτε τοῦ δυστυχεῖν, ὃ δὴ λέγουσιν, ἀλλὰ τάχιστα μετακινουμένου, καὶ μεταπίπτοντος· ὡς αὔραις εἶναι μᾶλλον πιστεύειν, καὶ γράμμασι

τοῖς

τοῖς καθ' ὕδατος, ἢ ἀνθρώπων εὐημερία. τίνος ἕνεκεν; ἐμοὶ δοκεῖ, ἵνα τὸ ἐν τούτοις ἄστατον καὶ ἀνώμαλον θεωροῦντες, μᾶλλόν τι προστρέχωμεν τῷ θεῷ καὶ τῷ μέλλοντι, καί τινα ποιώμεθα καὶ ἡμῶν αὐτῶν ἐπιμέλειαν, βραχέα τῶν σκιῶν καὶ τῶν ὀνειράτων φροντίζοντες. ἀλλὰ πόθεν ἡμῖν ὁ λόγος; οὐ γὰρ εἰκῇ ταῦτα φιλοσοφῶ, οὐδὲ διακενῆς καλλωπίζομαι. ἦν ποτε τῶν οὐκ ἀφανῶν καὶ ὁ σὸς Καισάριος, εἰ δὲ μὴ ὡς ἀδελφὸς ἀπατῶμαι, καὶ τῶν λίαν ἐπιφανῶν, γνώριμος μὲν ἐπὶ παιδεύσει, καλοκαγαθίᾳ δὲ ὑπὲρ τοὺς πολλοὺς, λαμπρὸς δὲ φίλων περιουσίᾳ. ὧν πρῶτον, σέ τε καὶ τὴν σὴν εὐγένειαν ὑπάρχειν αὐτῷ, αὐτός τε ἐφρόνει, καὶ ἡμᾶς ἔπειθε. τὰ μὲν δὴ παλαιὰ ταῦτα. καὶ τὰ πλείω παρὰ σεαυτὸν προσθήσεις τιμῶν αὐτὸν ἐπιτάφια, καθ' ὃ φύσει πάντες ἔχομεν ἄνθρωποι, μᾶλλόν τι τῷ ἀπελθόντι χαριζόμενοι. τὰ δὲ νῦν (καὶ ὅρα ὅπως μὴ παραδράμῃς ἀδακρυτὶ τὸν λόγον, ἢ δακρύσαις γε εἰς καλὸν καὶ χρήσιμον) ὁ μὲν κεῖται νεκρὸς, ἄφιλος, ἔρημος, ἐλεούμενος, σμύρνης ὀλίγης ἠξιωμένος (εἴ γε καὶ τούτου) καὶ μικρῶν ἐνδυμάτων τῶν εὐτελῶν· πολύγε ὅτι καὶ τούτων ἐλεούμενος. ἐπιπεπτώκασι δὲ οἱ ἐχθροὶ, ὥς γε πυνθάνομαι· καὶ ἄλλος ἄλλοθεν τὰ ἐκείνου κατὰ πολλὴν ἐξουσίαν, οἱ μὲν διαρπάζουσιν, οἱ δὲ μέλλουσιν, ὢ τῆς ἀναλγησίας, ὢ τῆς ὠμότητος, καὶ ὁ κωλύσων οὐδείς· ἀλλ' ὅγε φιλανθρωπότατος, τοῦτο χαρίζεται μόνον, ἀνακαλεῖται τοὺς νόμους. καὶ εἰ δεῖ συντόμως εἰπεῖν, δρᾶμα γεγόναμεν, οἱ ποτὲ νομισθέντες εὐδαίμονες. ταῦτα μὴ ἀνεκτὰ φανήτω σοι. ἀλλὰ καὶ συνάλγησον, καὶ συναγανάκτησον, καὶ δὸς χάριν νεκρῷ Καισαρίῳ. ναὶ πρὸς τῆς φιλίας αὐτῆς, ναὶ πρὸς τῶν σῶν φιλτάτων καὶ τῶν ἐλπίδων. ἃς ποίησον σεαυτῷ δεξιὰς, πιστὸς τῷ ἀπελθόντι φανεὶς καὶ γνήσιος, ἵνα καὶ τοῖς ζῶσι τοῦτο χαρίσῃ, καὶ ποιήσῃς αὐτοὺς εὐέλπιδας. οἴῃ περὶ χρημάτων ἡμᾶς ἀλγεῖν; τὸ τῆς αἰσχύνης ἡμῖν ἀφορητότερον, εἰ δόξειε μόνος τῶν ἁπάντων Καισάριος μὴ ἐσχηκέναι φίλους, ὁ δὴ καὶ πολλοὺς ἔχειν οἰόμενος. ἡ-

μὲν οὖν πρεσβεία τοιαύτη, καὶ παρὰ τοιούτων, ἐπειδήσοι καὶ τὸ καθ' ἡμᾶς ἴσως οὐ πάρεργον. αἱ δὲ βοηθήσεις, καὶ δι' ὧν, καὶ ὅπως, τά τε πράγματα ὑποθήσεται, καὶ ἡ σὴ διασκέψεται σύνεσις.

ΠΡΟ'Σ ΤΟΥ'Σ Ε'Ν ΚΑΙΣΑΡΕΙ'Α Ω'Σ Ε'Κ ΠΡΟΣΩ'ΠΟΥ.

Τοῦ ἑαυτοῦ πατρός.

ΕΙ' μὴ μὲν ποιμὴν ὀλίγος, καὶ ποιμνίου μικροῦ προεστηκὼς καὶ πολλοστὸς ἐν ὑπηρέταις τοῦ πνεύματος. ἡ χάρις δὲ οὐ στενὴ, οὐδὲ τόποις περιγραπτή. διὰ τοῦτο δεδόσθω καὶ τοῖς μικροῖς παῤῥησία, ἄλλως τε καὶ περὶ κοινῶν καὶ τηλικούτων ὄντος τοῦ λόγου, καὶ μετὰ τοσαύτης βουλευομένοις τῆς πολιᾶς, ἣ τυχὸν ἔχει τι καὶ τῶν πολλῶν συνετώτερον· οὐ περὶ μικρῶν, οὐδὲ τῶν τυχόντων βουλεύεσθε, ἀλλ' ὧν εὖ ἢ κακῶς ἐχόντων, ἀνάγκη καὶ τὸ Κοινὸν ἢ ἐκείνως ἢ οὕτως ἔχειν. περὶ γὰρ ἐκκλησίας ἡμῖν ὁ λόγος, ὑπὲρ ἧς Χριστὸς ἀπέθανε, καὶ τοῦ ταύτην θεῷ παραστήσοντος καὶ προσάξοντος. λύχνος μὲν γὰρ τοῦ σώματός ἐστιν ὀφθαλμὸς, ὡς ἠκούσαμεν, οὐ μόνον οὗτος ὁ σωματικὸς ὁρῶν καὶ ὁρώμενος, ἀλλὰ καὶ ὁ πνευματικῶς θεωρῶν καὶ θεωρούμενος· λύχνος δὲ τῆς ἐκκλησίας, ἐπίσκοπος· ὃ δῆλον ὑμῖν κἂν αὐτοὶ μὴ γράφωμεν. ἀνάγκη τοίνυν ὥσπερ ἐκείνου καθαρῶς μὲν ἔχοντος ὀρθῶς ἄγεσθαι καὶ τὸ σῶμα, μὴ καθαροῦ δὲ τυγχάνοντος οὐκ ὀρθῶς, οὕτω δὴ καὶ τῷ προστάτῃ τῆς ἐκκλησίας, ὁποτέρως ἂν ἔχῃ, πάντως ἢ συνδιακινδυνεύειν, ἢ συνδιασώζεσθαι. πάσης μὲν οὖν ἐκκλησίας φροντιστέον ὡς Χριστοῦ σώματος, μάλιστα δὲ τῆς ὑμετέρας, ἣ μήτηρ σχεδὸν ἁπασῶν τῶν ἐκκλησιῶν ἦν τε ἀπ' ἀρχῆς καὶ νῦν ἐστὶ καὶ νομίζεται, καὶ πρὸς ἣν τὸ κοινὸν βλέπει, ὡς κέντρῳ κύκλος περιγραφόμενος, οὐ μόνον διὰ τὴν ὀρθοδοξίαν ἄνωθεν

πᾶσι

πᾶσι κεκηρυγμένην, ἀλλὰ καὶ τὴν ἐκ Θεοῦ δεδομένην αὐτῇ προδήλως χάριν τῆς ὁμονοίας. ἐπεὶ τοίνυν κεκλήκατε μὲν καὶ ἡμᾶς εἰς τὴν περὶ τούτου διάσκεψιν ποιοῦντες ὀρθῶς καὶ κανονικῶς, κρατούμεθα δὲ γήρᾳ καὶ ἀρρωστίᾳ, εἰ μὲν καὶ αὐτοὶ παρείημεν τοῦ πνεύματος ἐπιρρώσαντος (οὐδὲν γὰρ ἄπιστον τοῖς πιστοῖς) τοῦτο τῷ παντὶ βέλτιον καὶ ἡμῖν ἥδιον, ἵνα καὶ ὑμῖν τι συνεισενέγκωμεν, καὶ αὐτοὶ τῆς εὐλογίας μετέχωμεν. εἰ δὲ τὰ τῆς ἀσθενείας νικώσης ἀπολειφθείην, ὅσαγε ἀποῦσι δυνατὸν, συνδιαφέρομεν. πείθομαι δὲ ἄλλους εἶναι τῆς προστασίας ἀξίους παρ᾽ ὑμῖν ὡς ἐκ πόλεως τοσαύτης καὶ οὕτω καὶ ὑπὸ τοιούτων ἡγουμένης ἄνωθεν. ἑνὸς δὲ οὐδένα δύναμαι προτιμῆσαι τῶν παρ᾽ ἡμῖν τιμωμένων τοῦ θεοφιλεστάτου υἱοῦ ἡμῶν Βασιλείου πρεσβυτέρου, λέγω δὲ ὡς ὑπὸ Θεῷ μάρτυρι, ἀνδρὸς καὶ βίῳ καὶ λόγῳ κεκαθαρμένου, καὶ μόνου τῶν πάντων, ἢ ὅτι μάλιστα κατ᾽ ἀμφότερα δυναμένου στῆναι πρὸς τὸν νῦν καιρὸν, καὶ τὴν κατέχουσαν τῶν αἱρετικῶν γλωσσαλγίαν. ταῦτα καὶ ἱερατικοῖς γράφω καὶ μοναστικοῖς, καὶ τοῖς ἐκ τοῦ ἀξιωματικοῦ καὶ βουλευτικοῦ τάγματος, καὶ τοῦ δήμου παντός. εἰ μὲν οὖν τοῦτο συνδόξειε, καὶ ἡ ψῆφος ἡμῶν κρατοίη, οὕτως ὑγιῶς τε καὶ ὀρθῶς ἔχουσα ὡς μετὰ Θεοῦ ψηφίζομαι, καὶ πάρειμι πνευματικῶς καὶ παρέσομαι. μᾶλλον δὲ, καὶ ἐπιβέβληκα τὴν χεῖρα ἤδη, καὶ θαρρῶ τῷ πνεύματι. εἰ δὲ ἄλλο τι καὶ μὴ τοῦτο συνδόξειε, καὶ κατὰ φρατρείας καὶ συγγενείας τὰ τοιαῦτα κρίνοιτο, καὶ ὀχλώδης χεὶρ πάλιν παρασύροι τὸ ἀκριβὲς, πράττοιτε καθ᾽ ἡμᾶς αὐτοὺς τὸ ἀρέσκον, ἡμεῖς δὲ συσταλησόμεθα.

Τῷ μεγάλῳ Βασιλείῳ.

Ε᾽Πειδή σε πεσόντα ἐπὶ τὸν ὑψηλὸν θρόνον ἔγνων, καὶ τὸ πνεῦμα ἐνίκησε, τὸν λύχνον ἐπὶ τῆς λυχνίας δημοσιεῦσαν, οὐδὲ τὸ πρὶν ἀμυδρῶς λάμποντα, ἥσθην μὲν, ὁμολογῶ. τί δὲ οὐκ ἔμελλον, τὸ κοινὸν τῆς ἐκκλησίας ὁρῶν κακῶς ἔχον, καὶ τοιαύ-

της χείζον χειραγωγίας; προσέδραμον δὲ οὐκ εὐθὺς, οὐδὲ προσδραμοῦμαι· μηδέ γε τοῦτο αὐτὸς ἀπαιτήσῃς. πρῶτον μὲν ἵνα σοι τὸ σεμνὸν φυλάξω, καὶ μὴ συνάγειν δόξῃς τοὺς σπουδαστὰς, ὑπό τινος ἀπειροκαλίας καὶ θερμότητος, ὡς ἂν φαῖεν οἱ ἐνδιαβάλλοντες. δεύτερον δὲ, ἵνα ἐμαυτῷ πραγματεύσωμαι τὸ σταθερόν τε καὶ ἀνεπίφθονον. πότε οὖν ἥξεις, τυχὸν ἐρεῖς, καὶ μέχρι τίνος ἀναδύσῃ; ἕως ἂν ὅ, τε θεὸς κελεύσῃ, καὶ παρέλθωσιν αἱ σκιαὶ τῶν νῦν ἐπιτιθεμένων καὶ βασκαινόντων. οὐ γὰρ ἐπὶ πλεῖον ἀνθέξουσιν οἱ λεπροὶ, σαφῶς οἶδα, τὸν Δαβὶδ τὴν Ἱερουσαλὴμ ἀποκλείοντες.

Γρηγορίῳ Νύσσης.

ΜΗ σφόδρα δάκνου τοῖς λυπηροῖς. ἂν γὰρ ἧττον λυπώμεθα, ἧττόν ἐστι λυπηρά. οὐδὲν δεινὸν εἰ ἀνεθάλφθησαν οἱ αἱρετικοὶ, καὶ τοῦ ἔαρος θαῤῥοῦσι τῶν φωλεῶν ἐξερπίσαντες, ὡς αὐτὸς γράφεις. μικρὰ συρίουσιν, εὖ οἶδα, εἶτα καταδύσονται, καὶ τῇ ἀληθείᾳ καὶ τῷ καιρῷ πολεμούμενοι. καὶ τόσῳ μᾶλλον, ὅσῳπερ ἂν τῷ θεῷ τὸ πᾶν ἐπιτρέπωμεν.

Τῷ αὐτῷ.

ΚΑὶ τοῦτο ἀπέκειτο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ Βασιλείου θάνατον ἀκοῦσαι, καὶ τῆς ἁγίας ψυχῆς ἐκδημίαν, ἣν ἐξεδήμησεν ἀφ' ἡμῶν, ἵν' ἐνδημήσῃ πρὸς κύριον, πάντα τὸν βίον μελέτην τούτου πεποιημένος. ἀλλ' ἐγὼ μὲν πλὴν τῶν ἄλλων, καὶ τοῦτο ἀφῄρημαι, διὰ τὸ νῦν ἔτι πονήρως ἔχειν τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ περιπτύξασθαι τὴν ἁγίαν κόνιν, καί σοι παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι, καὶ τοὺς κοινοὺς ἡμῶν φίλους παραμυθήσασθαι. τὸ γὰρ τὴν τῆς ἐκκλησίας ἰδεῖν ἐρημίαν, τοιαύτην ἀποκειραμένης δόξαν, καὶ τοιοῦ-

τον

τον ἀποσεισαμένης στέφανον, οὔτε ὄψει θεατὸν, οὔτε ἀκοῇ χωρητὸν, τοῖς γε νοῦν ἔχουσι. σὺ δέ μοι δοκεῖς πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν, ὑπ' οὐδενὸς ἂν οὕτω παρακληθῆναι, ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου μνήμης· οἳ καὶ τοῖς ἄλλοις πᾶσι γεγόνατε φιλοσοφίας ὑπόδειγμα, καὶ οἷόν τις στάθμη πνευματικὴ, τῆς τε ἐν τοῖς χρηστοῖς εὐπραξίας, καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας. ἐπειδὴ δύο ταῦτα οἶδε φιλοσοφία, εὐπραξίαν τε φέρεσθαι μετρίως, καὶ συμφορὰν εὐσχημόνως. ταῦτα παρ' ἡμῶν πρὸς τὴν σὴν τιμιότητα· ἐμὲ δὲ τίς παραμυθήσεται χρόνος, ἢ λόγος τὸν ταῦτα γράφοντα; πλὴν τῆς σῆς συνουσίας, καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν, ἵνα ἐν σοὶ τὰ ἐκείνου καθορῶντες, ὥσπερ ἐν ἐσόπτρῳ καλῷ τε καὶ διαυγεῖ, κἀκεῖνον ἔχειν νομίζωμεν.

Εὐδοξίῳ ῥήτορι.

Ἐρωτᾷς πῶς τὰ ἡμέτερα; καὶ λίαν πικρῶς. Βασίλειον οὐκ ἔχω, Καισάριον οὐκ ἔχω, τὸν πνευματικὸν ἀδελφὸν, καὶ τὸν σωματικόν. ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με, μετὰ τοῦ Δαβὶδ φθέγγομαι. τὰ τοῦ σώματος πονήρως ἔχει, τὸ γῆρας ὑπὲρ κεφαλῆς, φροντίδων ἐπιπλοκαὶ, πραγμάτων ἐπιδρομαὶ, τὰ τῶν φίλων ἄπιστα, τὰ τῆς ἐκκλησίας ἀποίμαντα. ἔρρει τὰ καλὰ, γυμνὰ τὰ κακὰ, ὁ πλοῦς ἐν τῇ νυκτὶ, πυρσὸς οὐδαμοῦ, Χριστὸς καθεύδει. τί χρὴ παθεῖν; μία μοι τῶν κακῶν ἡ λύσις, ὁ θάνατος. καὶ τὰ ἐκεῖθέν μοι φοβερὰ, τοῖς ἐντεῦθεν τεκμαιρομένῳ.

Γρηγορίῳ Ἄρχοντι.

ΟΥ'κ ἐπαινῶ τὸν Ἡσίοδον, ὅτι τοὺς ὁμοτέχνους ἀντιτέχνους ὠνόμασε, καὶ κεραμεὺς κεραμεῖ κοτέει, λέγων, καὶ τέκτονι τέκτων. οὐ γὰρ φθονεῖ μᾶλλον, ἢ προστρέχει τε καὶ ἀσπάζεται, ὡς ἐμὸς λόγος, καὶ ὡς οἰκείου περιέχεται. ἀοιδὸς δὲ ἀοιδῷ τοσοῦτον πλέον, ὅσῳ καὶ λόγος ἐστὶ τούτοις τὸ σπουδαζόμενον. τοῦτο δὲ καὶ αὐτὸς πεπονθὼς πρὸς τὴν σὴν λογιότητα, εἰ μὲν οὕτως εἶχον τοῦ σώματος, ὥστε ταῖς τῆς ψυχῆς ὁρμαῖς ὑπουργεῖν δύνασθαι, οὐκ ἄν με τις ἔφθη καὶ προσδραμὼν καὶ περιπτυξάμενος, καὶ τὰ ἐπιβατήρια προσφθεγξάμενος. Ἀλλ' ἡλίῳ μὲν ἐπισκοτεῖ νέφος, ἐμοὶ δὲ καὶ ἡ ἀρρωστία, καὶ τὸ φθονερὸν τοῦτο σαρκίον καὶ δεσμωτήριον. ἆρα δέξῃ μου τὴν ἐπιστολὴν, ἀντὶ τῆς παρουσίας; ναὶ δέξῃ, λόγιός τε ὢν, καὶ συγγνώμων. εὖ οἶδα τοῦτο, καὶ οὐκ εἰκάζειν ἔχω. ἵνα δὲ εἰδῇς ὅσον θαρρῶ τῇ σῇ καλοκαγαθίᾳ, ἰδοὺ καὶ πρεσβείαν προσάγω σοι, σφόδρα ἡμῖν ἀναγκαίαν, καὶ πρὸς τῆς σῆς φιλίας αἰτῶ τὰ τῶν φίλων. τὸν ἐμὸν Νικόβουλον, ἀπὸ τῆς ἐμῆς δεξιᾶς ἐγχειρίζω σοι σὺν τοῖς ἀδελφοῖς, οὐ δώσοντα δίκην ἀλλὰ ληψόμενον, καὶ χήραν ἄωρον τὴν τούτων μητέρα, καὶ οἰκίαν τὴν ὅτε λαμπρὰν οὖσαν καὶ ἀπόβλεπτον, ἕως περιῆν ὁ πολὺς ἡμῖν Νικόβουλος, νῦν δὲ οὐδὲ πενθῆσαι συγχωρηθεῖσαν, ἐκ τῶν ἤδη ἀναφανέντων κακῶν, καὶ προσδοκωμένων, εἰ μὴ σοί τε παρασταίη καὶ τῇ σῇ δίκῃ στῆναι πρὸς τὸν πονηρὸν δαίμονα, καὶ ἡμᾶς τιμῆσαι, καὶ τὸ ἀνθρώπινον αἰδεσθῆναι, καὶ λαμπρὰν σεαυτοῦ ποιῆσαι τὴν ἀρχὴν, διὰ τῆς εἰς ἡμᾶς εὐποιΐας.

Ἐκη-

Ἐκηβολίῳ.

Βοήσομαί τι κατ' ἐμαυτοῦ καὶ συγγνώμην τοῖς ἀλγοῦσι, τὰ ἀλγοῦντος φθέγξασθαι. ὦ σαρκίον πονηρὸν, καὶ κακόηθες, οἷα μὲν κακὰ δρᾷς, οἷα ἐργάζῃ· ἐγγὺς ἀνὴρ, ὃν καὶ πόῤῥω τυγχάνοντα μεταδιώκειν τῶν ἀναγκαίων ἦν, τῆς τε ἀρχικῆς ἀρετῆς εἵνεκα, καὶ τῆς ἄλλης ἡμερότητος. σὺ δὲ πονήρως ἔχεις, καὶ σχεδὸν ἀκινήτως, καὶ περιορᾷς ἄλλους τοῦ ἀγαθοῦ μεταλαμβάνοντας, ἡμᾶς δὲ ζημιουμένους. τὰ μὲν οὖν τῆς κατηγορίας τοιαῦτα. ἐπεὶ δὲ οὐκ ἐξαρκεῖ τὸ ἀποδύρασθαι μόνον ἃ πάσχομεν, ἀλλὰ δεῖ τινος καὶ φαρμάκου πρὸς τὴν πληγὴν, τοῦτο ἐξεύρομεν, τὸ θαῤῥῆσαι πρὸς τὴν ἐπιστολὴν ταύτην, καὶ τοῖς γράμμασι σκιαγραφῆσαι τὴν παρουσίαν. εἰ δὲ καὶ τὸ εὖ ποιεῖν ἡμᾶς ἐπιζητεῖς βρύων τὸ ἀγαθὸν, προσάγομεν θαῤῥοῦντες οἰκίαν ἐλεεινὴν καὶ φιλανθρωπίας ἀξίαν, χήραν μετ' ὀρφανῶν ἔτι θερμῶν ἐν τοῖς δάκρυσι, τήν τε ἀδελφὴν τὴν ἐμὴν λέγω, καὶ τοὺς ταύτης παῖδας. οἳ πατρὸς ἀγαθοῦ γεγονότες, καὶ πολλὰ μὲν βασιλεῦσι καμόντος ἐν ὅπλοις οὐκ ἀνωμύμως, ἀλλὰ καὶ λίαν λαμπρῶς, πολλὰ δὲ τοῖς ἄρχουσιν ὑμῖν ὑπουργήσαντος, εἴ τινα Νικόβουλον ἀκούεις, κινδυνεύουσι νῦν πάσχειν τὰ χαλεπώτατα. μετὰ γὰρ τὴν τῶν φίλων ἔκδοσιν καὶ ὅρκους ἐκείνους, οὓς ἐπὶ τῇ ἐξετάσει ὑπέστησαν, νῦν πάλιν ἐπηρεάζειν ἐπιχειροῦσι τοῖς ὀρφανοῖς.

Ἀστερίῳ.

Τί τοῦτο, ἴσως ἐρεῖς; πάλιν ἡμῖν ὁ Γρηγόριος; πάλιν ἐπιστολάς; πάλιν αἰτήσεις; ὢ τῆς ἀπληστίας, ἣν αὐτοὶ κεκινήκαμεν. μηδαμῶς ὦ θαυμάσιε, μὴ τοῦτο πάθῃς. τίνων γὰρ οἱ λιμένες, ἢ τῶν χειμαζομένων; τίνων δὲ τὰ φάρμακα, ἢ τῶν ἀῤῥωστούντων; ὧνπερ ἡμεῖς μὴ ἀποστερηθείημεν. καὶ τοσούτῳ μᾶλ-

λον, ὅσῳ πιςδυόμεθα δυύαθαι παρὰ σοί. οὐκ ἔτι γὰρ αἰτοῦμεν, ἀλλ᾽ ἀπαιτοῦμεν, ἀεὶ χάριτος χάριν προκαλούμενοι. Νικόβουλος ἐν ἐπηρείαις, ταυτὸν δὲ εἰπεῖν ὅτι ἡμεῖς. ἡμῶν γὰρ ἐςιν ἀνάπαυσις. καὶ πῶς οἷόν τε σιωπᾶν, καὶ μὴ φορτικὸν εἶναι καὶ τὸν σφόδρα φιλόσοφον; δὸς χεῖρα πιεζομένοις, ἵνα καὶ αὐτὸς τῆς ἐκ θεοῦ τύχης, χρήζων ταύτης ὡς ἄνθρωπος. καὶ χρῆσαι τῇ φιλίᾳ καὶ τῇ συνέσει, καὶ τῷ δυνάσθαι σὺν θεῷ, περὶ τὰ ἡμέτερα πράγματα. οὔτε γὰρ σίδηρος ἔμπυρος πολλῶν δεῖται τῶν παρὰ τοῦ λίθου, ἵνα τὸ ἐγκείμενον πῦρ δημοσιωθῇ, ἀλλ᾽ ἐπλήγη τε ὁμοῦ, καὶ τὸ πῦρ ἤστραψεν. οὔτε αὐτὸς μακροτέρας δεήσῃ παρακλήσεως, καὶ τοῦτο ὑπὲρ ἡμῶν, καὶ τοιούτου τοῦ πείθοντος ὄντος, καὶ οὕτω γνησίου κοινωνοῦ τῆς ἀρχῆς. ἐν καὶ σύντομον φθέγξομαι. τὰς μὲν ἄλλας χάριτας, ἄλλοι δι᾽ ἡμῶν ἐλάμβανον. ταύτης δὲ ἡμεῖς χρήζομεν ὑπὲρ ἡμῶν αὐτῶν, ὃ καὶ μᾶλλον δυσωπησάτω τὴν σὴν λογιότητα.

Ὀλυμπίῳ.

Ἡμῖν ἄρχων σὺ καὶ μετὰ τὴν ἀρχήν. κρίνομεν γὰρ ἑτέρως, ἢ ὡς οἱ πολλοὶ τὰ πράγματα, ὅτι πᾶσαν ἀρχικὴν ἀρετὴν ἐν σεαυτῷ συλλαβὼν ἔχεις. πολλοὶ γὰρ τῶν ὑψιθρόνων ἐμοὶ κάτω, ὅσους ἡ χεὶρ ποιεῖ ταπεινοὺς καὶ δούλους τῶν ἀρχομένων. πολλοὶ δὲ ὑψηλοὶ καὶ μετέωροι, κἂν ἑςήκασι κάτω, ὅσους ἄνω τίθησιν ἀρετὴ, καὶ ποιεῖ μειζόνων ἀρχῶν ἀξίους. ἀλλὰ τί τούτων ἐμοί; οὐκ ἔτι μεθ᾽ ἡμῶν ὁ μέγας Ὀλύμπιος. οὐ δὲ φέρει τοὺς ἡμετέρους οἴακας. οἰχόμεθα, προδεδόμεθα, γεγόναμεν αὖθις δευτέρα Καππαδοκία, πρώτη παρὰ σοῦ γεγονότες. καὶ τὰ μὲν τῶν ἄλλων τί χρὴ καὶ λέγειν; ἀλλὰ τίς γηροκομήσει τὸν σὸν Γρηγόριον, καὶ φαρμακεύσει τὴν ἀσθένειαν ταῖς τιμαῖς, καὶ θήσει τιμιώτερον τὸν παρὰ σοῦ πολλοῖς προξενοῦντα τὸ φιλάνθρωπον; νῦν μὲν οὖν ἀπίοιτε τὴν ὑμετέραν ὁδὸν, σὺν ὁδηγίᾳ καὶ πομπῇ κρείττονι, πολλὰ μὲν δάκρυα καταλιπόντες ἡμῖν, πολλὴν

δὲ

δὲ πλοῦτον ἐπικομιζόμενοι παρ' ἡμῶν, καὶ οἷον οὐ πολλοὶ τῶν ἀρχόντων, τὴν εὐδοξίαν, καὶ τὸ ἀνάγραπτους τυγχάνειν ταῖς πάντων ψυχαῖς στήλαις οὐκ εὐκινήτοις. Εἰ δὲ πάλιν ἡμῖν ἐπισταίητε, μετὰ μείζονος καὶ λαμπροτέρας τῆς ἀρχῆς (τοῦτο γὰρ ὁ πόθος ἡμῖν μαντεύεται) τελεώτερα τῷ θεῷ τὰ χαριστήρια πάντως ἀνοίσομεν.

Προκοπίῳ.

ΠΩς ἔχει τὰ πράγματα ἡμῖν, ἐρωτᾷς; μετά τινος ἰσορρίας ἀποκρινούμεθα. ἐπρέσβευον Ἀθηναῖοι πρὸς Λακεδαιμονίους φασὶν, ἡνίκα ἐτυραννοῦντο. ἡ πρεσβεία δὲ ἦν γενέσθαί τι αὐτοῖς ἐκεῖθεν φιλάνθρωπον. ὡς δὲ ἐπανῆκον ἐκ τῆς πρεσβείας, ἔπειτα ἤρετό τις, πῶς ἡμῖν οἱ Λακεδαιμόνιοι; οἱ δὲ, ὡς μὲν δούλοις ἔφασαν λίαν χρηστῶς. ὡς δὲ ἐλευθέροις, λίαν ὑβριστικῶς. τοῦτο γοῦν καὶ αὐτὸς ἔχω γράφειν. πράττομεν γὰρ τῶν μὲν ἀπεγνωσμένων, φιλανθρωπότερον. τῶν δὲ μελόντων θεῷ, φορτικώτερον. ἥτε γὰρ νόσος ἔτι παραλυπεῖ. οἵτε φίλοι κακοῦντες, οὐκ ἀνιᾶσι, καὶ τὰ δυνατὰ βλάπτοντες. Ἀλλ' εὔχου τὸ θεῖον εὐμενὲς ἡμῖν εἶναι· καὶ δυοῖν θάτερον, ἢ φευξόμεθα τὰ δεινὰ πάντως, ἢ καρτερήσομεν. ἔτι δὲ καὶ τοῦτο ἐπιεικῶς συμφορᾶς ἐλάττωσις.

Νεκταρίῳ Κωνσταντινουπόλεως.

ΟΤαν ἄλλος ἄλλοτι τῶν σῶν ἐπαινῇ, καὶ πάντες ὡς ἐν ἀγορᾷ προβάλλωνται τὴν σὴν εὐφημίαν, ἐγὼ τὰ κατ' ἐμαυτὸν συνεισφέρω, καὶ οὐδενὸς ἔλαττον, ὅτι καὶ τιμᾶν ἡμᾶς ἀξιοῖς, καὶ ὡς τέκνον ἀγαπητὸν παιδὸς γῆρας παραμυθεῖσθαι. Διὰ τοῦτο καὶ νῦν ἐθάρρησα ταύτην προσαγαγεῖν τὴν παράκλησιν ὑπὲρ τοῦ αἰδεσιμωτάτου ἐπισκόπου Βοσπορίου, αἰσχυνόμενος εἴγε τοσοῦτος ἀνὴρ, ἡμετέρων δεῖται γραμμάτων· ᾧ καὶ πολιτεία καὶ χρόνος

νος βεβαιοῖ τὸ αἰδέσιμον, αἰσχυνόμενος δὲ οὐχ ἧττον τὸ σιωπᾶν, καὶ τὸ μή τινα περὶ αὐτοῦ ποιήσασθαι λόγον, φωνὴν ἔχων, καὶ πίστιν τιμῶν, καὶ πάντων μάλιστα τὸν ἄνδρα γινώσκων. τὴν μὲν οὖν περὶ τῶν παροικιῶν ἀμφισβήτησιν, δηλαδὴ αὐτὸς διαλύσεις κατὰ τὴν ἐν σοὶ τοῦ πνεύματος χάριν, καὶ τὴν τῶν κανόνων ἀκολουθίαν. ἐκεῖνο δὲ μὴ ἀνεκτὸν φανήτω τῇ σῇ εὐλαβείᾳ, τὸ δημοσίοις δικαστηρίοις ἐγκλητεύεσθαι. κἂν γὰρ ὦσι Χριστιανοὶ, ὥσπερ οὖν εἰσὶ τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ, οἱ τῶν τοιούτων κριταὶ, τί κοινὸν ξίφει καὶ πνεύματι; ἂν δὲ καὶ τοῦτο συγχωρήσωμεν, πῶς, ἢ πόθεν δίκαιον τὸν περὶ πίστεως λόγον συμπλέκεσθαι τοῖς ἄλλοις ἀμφισβητήμασι; σήμερον ἡμῖν κακόδοξος ὁ θεοφιλέστατος ἐπίσκοπος Βοσπόριος; σήμερον πολιὰ παλαντεύεται τοῦ τοσούτους μὲν ἐκ τῆς πλάνης ἐπανάγοντος, τοσαύτην δὲ ἀπόδειξιν δεδωκότος ὀρθοδοξίας, διδασκάλου δὲ πάντων ἡμῶν; μὴ παρακαλῶ, μὴ δῷς χώραν ταῖς τοιαύταις συκοφαντίαις. ἀλλʼ εἰ μὲν δυνατὸν εἰρηνεύειν τὰ διεστῶτα, καὶ προστεθήτω τοῦτο τοῖς σοῖς ἐπαίνοις. εἰ δὲ μὴ τοῦτό γε μὴ δόξῃ, καθυβρίζεσθαι πάντας ἡμᾶς διὰ τῆς τοιαύτης ἐπηρείας, οἷς καὶ συνεβίωσε καὶ συνεγήρασεν. οὓς οἶδας ἀκριβεῖς τῆς θεότητος κήρυκας καὶ μετὰ κινδύνων καὶ ἀκινδύνως, καὶ μηδὲν ὑφαιρεῖν ἀνεχομένους τῆς μιᾶς καὶ ἀπροσίτου θεότητος. καὶ ὑπὲρ ἡμῶν προσεύχου παρακαλῶ, σφόδρα καμόντων τῇ ἀῤῥωστίᾳ. τὴν σὺν σοὶ ἀδελφότητα, ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πάντες προσαγορεύουσιν. ἐῤῥωμένος, εὔθυμος, εὐδόκιμος ἐν κυρίῳ χαρισθείης ἡμῖν, τῶν ἐκκλησιῶν τὸ κοινὸν στήριγμα.

Ἀμαζονίῳ.

ἮΝ τις εἴρη ταῖσδε τῶν κοινῶν φίλων, πολλοὺς δὲ εἶναι πείθομαι τούτους, ποῦ δὲ νῦν ὁ Γρηγόριος; πράττει δὲ τί; θαῤῥῶν εἰπὲ, ὅτι ἐφʼ ἡσυχίας φιλοσοφεῖ, τοσαῦτα τῶν ἀδικούν-

πων

των φροντίζων, ὅσα τῶν δ' ἀεὶ γεγόνασι γινωσκομένων. ὅπως ἐστὶν ἀήττητος. ἂν δέ σε πάλιν ὁ αὐτὸς ἐπανέρηται, πῶς δὲ τὴν διάζευξιν φέρει τῶν φίλων; μηκέτι θαῤῥῶν εἴποις ὅτι φιλοσοφεῖ, ἀλλὰ καὶ λίαν ἀγεννῶς ἔχει. ἄλλου μὲν γὰρ ἄλλος ἥττων ἐστὶν, ἡμεῖς δὲ φιλίας καὶ φίλων. τούτων εἷς ἐστι καὶ ὁ θαυμάσιος Ἀμαζόνιος τάχα αὖ σὺ μόνῳ θεραπεύσαις ἡμᾶς, καὶ ῥάους ἐπὶ σοὶ ποιήσαις, εἰ μνημονεύεις ἡμῶν. καὶ ὅτι τοῦτο ποιεῖς, πείθεις τοῖς γράμμασιν.

Ὀλυμπίῳ.

ΠΑ'λιν γράφω, παρεῖναι δέον. ἀλλὰ παρὰ σοῦ μοι τὸ θάρσος, ὦ καὶ τῶν πραγμάτων βραβευτὰ, ἵνα πρῶτον εἴπω τὸ πρῶτον, καὶ τῶν κοινῶν ἐπανορθωτὰ, καὶ θεόθεν τὰ ἀμφότερα, ὁ καὶ μισθὸν εὐσεβείας λαβὼν, τὸ κατὰ νοῦν χωρεῖν σοι τὰ πράγματα, καὶ μόνῳ τυγχάνειν ἁλωτὰ, τὰ μὴ τοῖς ἄλλοις ἁλώσιμα. σύνεσις γάρ σοι καὶ ἀνδρεία τὴν ἀρχὴν ἄγουσιν. ἡ μὲν εὑρίσκουσα τὸ πρακτέον, ἡ δὲ ῥαδίως ἐπιτελοῦσα τὸ εὑρεθέν. καὶ τὸ μέγιστον, ἡ τῆς χειρὸς καθαρότης, ἣ πάντα εὐθύνεται. ποῦ σοι χρυσὸς ὁ ἄδικος; οὐδ' ἐγένετο, πρῶτον ἔξω κατακλεισθεὶς, ὡς ἀφανὴς τύραννος. ποῦ δὲ ἀπέχθεια; κατακέκριται. ποῦ δὲ χάρις; ἐνταῦθα τί κλίνεις (κατηγορήσω γάρ σου μικρὸν) ἀλλὰ θεοῦ φιλανθρωπίαν μιμούμενος. ἣν καὶ νῦν αἰτεῖ δι' ἡμῶν Αὐρήλιος ὁ σὸς στρατιώτης, ὃν ἄφρονα φυγάδα καλῶ, καὶ ἱκέτην σώφρονα. ὅτι ὑπὸ τὰς ἡμετέρας ἑαυτὸν τέθηκε χεῖρας, καὶ διὰ τῶν ἡμετέρων τὰς σὰς, ὥσπερ τινὰ εἰκόνα βασιλικὴν, τὴν πολιὰν ἡμῶν προβαλλόμενος, καὶ τὴν ἱερωσύνην, ἣν αἰδεῖσθαι πολλάκις καθωμολόγησας. ἰδού σοι προσάγει τοῦτον ἡ θυοφόρος αὕτη χεὶρ καὶ ἀναίμακτος, ἣ πολλοὺς μὲν ἐπαίνους σοι γράψασα, γράψουσα δὲ, οἶδ' ὅτι καὶ πλείους, εἰ θεὸς παρατείνοιεν ἡμῖν τὴν ἀρχὴν, τήν τε σὴν λέγω, καὶ τοῦ συνεργοῦ τῆς σῆς θέμιδος.

Βα-

Βασίλειος Γρηγορίῳ.

Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς; ἢ πῶς ἀνακαινισθῇ μου τὸ γῆρας; ὥστε με δυνηθῆναι διαβῆναι πρὸς τὴν ἡμετέραν ἀγάπην, καὶ τόν τε πόθον ὃν ἔχω ἐφ' ὑμῖν ἀναπαῦσαι, καὶ τὰ λυπηρὰ τῆς ψυχῆς διηγήσασθαι, καὶ δι' ὑμῶν εὑρέσθαι τινὰ παραμυθίαν τῶν θλίψεων. ἐπὶ γὰρ τῇ κοιμήσει τοῦ μακαρίου Εὐσεβίου τοῦ ἐπισκόπου, φόβος ἡμᾶς κατέλαβεν οὐ μικρὸς, μήποτε οἱ ποτὲ ἐφεδρεύοντες τῇ ἐκκλησίᾳ τῆς μητροπόλεως ἡμῶν, καὶ βουλόμενοι αὐτὴν αἱρετικῶν ζιζανίων πληρῶσαι, καιροῦ λαβόμενοι, τὴν πολλῷ καμάτῳ κατασπαρεῖσαν ἐν ταῖς ψυχαῖς τῶν ἀνθρώπων εὐσέβειαν, ταῖς παρ' ἑαυτῶν πονηραῖς διδασκαλίαις ἐκριζώσωσι, καὶ ταύτης τὴν ἑνότητα κατατέμωσιν, ὅπερ καὶ ἐπὶ πολλῶν ἐκκλησιῶν πεποιήκασιν. ἐπειδὴ δὲ καὶ γράμματα πρὸς ἡμᾶς ἀφίκετο τοῦ κλήρου, παρακαλοῦντα μὴ παροφθῆναι ἐν καιρῷ τοιούτῳ, περιβλεψάμενος ἐν κύκλῳ ἐμνήσθην τῆς ὑμετέρας ἀγάπης, καὶ τῆς ὀρθῆς πίστεως, καὶ τοῦ ζήλου ὃν ἔχετε ἀεὶ ὑπὲρ τῶν ἐκκλησιῶν τοῦ θεοῦ. καὶ τούτου ἕνεκεν ἀπέστειλα τὸν ἀγαπητὸν Εὐστάθιον τὸν συνδιάκονον, παρακαλέσαι ὑμῶν τὴν σεμνοπρέπειαν, καὶ δυσωπῆσαι πᾶσι τοῖς ὑπὲρ τῶν ἐκκλησιῶν καμάτοις καὶ τὸν παρόντα ἐπιθεῖναι, κἀμοῦ τε τὸ γῆρας τῇ συντυχίᾳ ἀναπαῦσαι, καὶ τῇ ὀρθῇ ἐκκλησίᾳ τὴν περιβόητον εὐσέβειαν διορθώσασθαι, δόντας αὐτῇ μεθ' ἡμῶν, (εἰ ἄρα καταξιωθείημεν συναντιλαβέσθαι ὑμῖν τοῦ ἀγαθοῦ ἔργου,) ποιμένα κατὰ τὸ βούλημα τοῦ κυρίου, δυνάμενον διευθῦναι τὸν λαὸν αὐτοῦ. ἔχομεν μὲν πρὸ ὀφθαλμῶν ἄνδρα, ὃν οὐδὲ αὐτοὶ ἀγνοεῖτε. οὗ εἰ καταξιωθείημεν ἐπιτυχεῖν, οἶδα ὅτι μεγάλην παῤῥησίαν πρὸς τὸν θεὸν κτησόμεθα, καὶ τῷ ἐπικαλεσαμένῳ ἡμᾶς λαῷ μεγίστην εὐεργεσίαν καταθησόμεθα. ἀλλὰ παρακαλῶ καὶ πάλιν καὶ πολλά-

κις,

κις, πάντα ὄκνον ἀποθεμένους, ἀπαντῆσαι, καὶ προλαβεῖν τὰ ἐκ τοῦ χειμῶνος δυσχερῆ.

Σωφρονίῳ Ὑπάρχῳ.

Ὁ Χρυσὸς ἄλλοτε μὲν ἄλλως μεταποιεῖται καὶ σχηματίζεται εἰς πολλοὺς κόσμους τυπούμενος, καὶ πρὸς πολλὰ τῆς τέχνης ἀγόμενος, μένει δὲ ὅπερ ἐστὶ χρυσὸς, καὶ οὐχ ἡ ὕλη μεταβολὴν, ἀλλὰ τὸ σχῆμα λαμβάνει. οὕτω καὶ τὴν σὴν καλοκαγαθίαν ἡγούμενοι τὴν αὐτὴν μένειν τοῖς φίλοις, κἂν ἀεὶ προΐῃς ἐπὶ τὰ ἔμπροσθεν, ταύτην ἐθαῤῥήσαμεν τὴν πρεσβείαν προσαγαγεῖν, οὐ μᾶλλον τὴν ἀξίαν δι᾽ ἀλαβηθέντες, ἢ τῷ τρόπῳ πιστεύσαντες. τῷ αἰδεσιμωτάτῳ ὑφ᾽ ἡμῶν Νικοβούλῳ τὰ πάντα ἔχοντι πρὸς ἡμᾶς ἐπιτηδείως, καὶ διὰ συγγένειαν, καὶ διὰ τὴν οἰκειότητα, καὶ ὃ τούτων μεῖζόν ἐστι, διὰ τὸν τρόπον, γενοῦ δεξιός. ἐν τίσι, καὶ πόσον; ἐν οἷς αὐτός σου δεηθήσεται, καὶ ὅσον τῇ σῇ μεγαλονοίᾳ πρέπειν ὑπολαμβάνεις. ἀντιδώσομεν δὲ καὶ ἡμεῖς ὧν ἔχομεν τὸ κάλλιστον. ἔχομεν δὲ τοὺς λόγους, καὶ τὸ κήρυκας εἶναι τῆς σῆς ἀρετῆς, εἰ καὶ μὴ τῆς ἀξίας ἐγγὺς, ἀλλά γε κατὰ τὴν ἡμετέραν δύναμιν.

Τῷ αὐτῷ.

ΜΗτέρα τιμᾶν, τῶν ὁσίων. μήτηρ δὲ ἄλλη μὲν ἄλλου, κοινὴ δὲ πάντων πατρίς. ταύτην ἐτίμησας μὲν, πρέπῃ σου τῇ τοῦ βίου λαμπρότητι. τιμήσεις δὲ καὶ νῦν ἡμᾶς αἰδεσθεὶς, ὑπὲρ ὧν πρεσβεύομεν. ἡ πρεσβεία δὲ τίς; τὸν λογιώτατον τῶν καθ᾽ αὐτὴν Εὐδόξιον τὸν ῥήτορα πάντως γινώσκεις. τούτου παῖς, ἵν᾽ εἴπω συντόμως, ἄλλος Εὐδόξιος καὶ βίῳ καὶ λόγῳ, νῦν σοι πρόσεισι δι᾽ ἡμῶν. ἵν᾽ οὖν ὀνομαστότερον σεαυτὸν καταστήσῃς, γενοῦ τῷ ἀνδρὶ δεξιὸς, ἐν οἷς ἂν δέηται τῆς σῆς προστασίας. αἰσχρὸν γὰρ, κοινὸν ὄντα σε τῆς πατρίδος προστάτην, καὶ πολλοὺς εὖ πεποιηκότα, προσθήσω δὲ, ὅτι καὶ ποιήσοντα, μὴ πρὸ

παν-

πάντων τιμῆσαι τὸν ἄριστον ἐν λόγοις, καὶ λόγους· οὓς εἰ μή τι ἄλλο, κατὰ τοῦτο αἰδεῖσθαι δίκαιον, ὅτι τῶν σῶν καλῶν εἰσὶν ἐπαινέται.

Τῷ αὐτῷ.

Ἔδει καθάπερ τὸν χρυσὸν καὶ τοὺς λίθους τῇ ὄψει γνωρίζομεν, οὕτω καὶ τοὺς καλοὺς καὶ μὴ τῶν ἀνδρῶν αὐτόθεν διαγινώσκεσθαι, καὶ μὴ διὰ μακροτέρας δοκιμασίας. οὐ γὰρ ἂν πολλῶν ἐδεήσεν ἡμῖν λόγων ὑπὲρ τοῦ τιμιωτάτου υἱοῦ Ἀμφιλοχίου πρεσβεύουσι πρὸς τὴν σὴν μεγαλόνοιαν. θᾶττον ἂν ἤλπισα ἕν τι τῶν ἀπίστων καὶ παραδόξων, ἢ τοῦτον ἀγεννές τι πράξειν ἐπὶ χρήμασιν, ἢ διανοήσασθαι. τοσοῦτον αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς ἐπὶ καλοκαγαθίᾳ, καὶ τὸ πρεσβυτέραν τῆς ἡλικίας ἔχειν τὴν φρόνησιν. ἀλλὰ τί χρὴ παθεῖν; οὐκ ἦν διαφεύγειν τὸν φθόνον, ὁπότε καὶ τούτου τὶς μῶμος ἥψατο, ἀνδρὸς δι' ἁπλότητα μᾶλλον, ἢ τρόπων κακίαν περιπεσόντος ἐγκλήμασιν. ἀλλὰ σοὶ μὴ ἀνεκτὸν φανήτω περιιδεῖν αὐτὸν ταῖς συκοφαντίαις παρασυρόμενον, μὴ δέομαι τῆς ἱερᾶς σου καὶ μεγάλης ψυχῆς, ἀλλὰ καὶ τὴν πατρίδα τίμησον, καὶ τῇ ἀρετῇ βοήθησον, καὶ ἡμᾶς αἰδέσθητι τοὺς παρὰ σοῦ καὶ διὰ σοῦ δοξασθέντας, καὶ ἀντὶ πάντων γενοῦ τῷ ἀνδρὶ, τῷ δύνασθαι τὸ θέλειν προστιθεὶς, ἐπειδὴ πάντα τῆς σῆς ἀρετῆς οἶδα ἡττώμενα.

Ἀστερίῳ.

ΤΙ' τοῦτο πάσχομεν; οἴχεσθε καταλιπόντες ἡμᾶς, καὶ ἡμεῖς ἀρρωστοῦμεν, οὐδὲ τοσοῦτον παρὰ τοῦ φθόνου συγχωρηθέντες, ὅσον ἐφ' ἡμῖν τὰ προπεμπτήρια φθέγξασθαι; ὢ τῆς ζημίας. τί λαμβάνειν ἔδει τὸ ἀγαθὸν, εἰ μὴ παραμένειν ἔμελλεν; οὐ γὰρ τοσοῦτον εὐφραίνει παρὸν τῶν τερπνῶν οὐδὲν, ὅσον ἀνιᾷ χωριζόμενον. τετιμήμεθα παρ' ἡμῶν, δεδοξάσμεθα, τῆς ἀρχῆς ἀπολαύσαμεν, τῆς φιλανθρωπίας ἐνεφορήθημεν. οὔτε γὰρ ἐπι-

λε-

λελήσμεθα τούτων, οὔτε ἐπιλησόμεθα, πρότερον ἡμῶν αὐτῶν, ἢ ὑμῶν. τί δὲ παρ' ἡμῶν ἀντὶ τούτου ὑμῖν; τί δ' ἄλλο γε, ἢ ὧν ἔχομεν τὸ κάλλιστον. ἔχομεν δὲ τὰς εὐχάς. αἷς σώζοισθε, καὶ εὐδοκιμοίητε, καὶ πάλιν ἡμῖν ὀφθείητε, εἰ ἄρα τοσαύτης τύχωμεν τῆς ζῆν προθεσμίας.

Τῷ αὐτῷ.

ΜΈγας ἐν ἀνθρώποις ὁ Ἡρακλῆς, ὡς ὁ λόγος. ἵνα σε λόγιον ὄντα καί τινος ἀναμνήσω τῶν σῶν. ἀλλ' οὐκ ἂν τοσοῦτος ἦν, εἰ μὴ τὸν Ἰόλαον εἶχε συναγωνιζόμενον, καὶ κατὰ τῆς Ὕδρας μάλιστα, τοῦ πικροῦ τούτου καὶ πολυκεφάλου θηρίου· ἧς ὁ μὲν ἐξέτεμε τὰς κεφαλὰς, ὁ δὲ ἐπέκαεν, ὥσπερ τὰ τῆς κακίας ὑμεῖς. πολλοὺς παρήλαυνον οἱ Ἀκτορίονες ἅρμασιν, ὡς Ὁμήρῳ δοκεῖ. δίδυμοι γὰρ ἦσαν καὶ τὰ σώματα καὶ τὴν τέχνην, ὁ μὲν τὰς ἡνίας, ὁ δὲ τὴν μάστιγα μεριζόμενοι, καὶ τὸ νικᾶν ἀλλήλοις συνεράνίζοντες. πολλοὺς ἐξεσώζε κυβερνήτης πλωτῆρας. ἀλλ' οὐκ ἂν ὁμοίως διέσωζε μὴ καλῷ πρωρεῖ βοηθούμενος. ὃς καὶ ἐξαθρεῖ τοὺς ἀνέμους, καὶ τὰς ὑφάλους προδείκνυσι, καὶ γίνεται τῆς νηὸς οἷόν τις ὀφθαλμός. τοιοῦτον ἡμῖν καὶ τὸ ὑμέτερον. λαμπρὸν γὰρ ὄντα τὸν ἄρχοντα καὶ παρ' ἑαυτοῦ, λαμπρότερον αὐτὸς ἐργάζῃ τῇ συνεργίᾳ. ὧν πολλὰ ἐπαινοῦντες, τοῦτο θαυμάζομεν μάλιστα. τοσαύτην τοῖς δημοσίοις εὔνοιαν σώζοντες, χώραν δίδοτε καὶ τοῖς φιλικοῖς, οὐ τραχύτητι τρόπου τὸ ἀκριβὲς ἐνδεικνύμενοι, κατὰ τοὺς πολλοὺς τῶν ἀμέτρων, ἡμερότητι δὲ μᾶλλον τὸ τῆς ἀρχῆς αὐστηρὸν τιθασσεύοντες.

Θεμιστίῳ.

Σπαρτιάτας ἡ λόγχη γνωρίζει, ὦμος τοὺς Πελοπίδας, λόγοι τὸν μέγαν Θεμίστιον. κἂν γὰρ ἐν πᾶσι πάντων κρατῇς, τοῦτο τῶν σῶν οἶδα τὸ ἐπισημότατον. τοῦτο καὶ ἀπ' ἀρχῆς ἡμᾶς συνῆψεν ἀλλήλοις (εἰ δή τι τὸ καθ' ἡμᾶς ἐν λόγοις) καὶ θαῤῥεῖν νῦν ἀνέπεισεν. εἰ δὲ μάθοις τὸν ἄνδρα ὑπὲρ οὗ πρεσβεύομεν, τάχα καὶ ἀποδέξῃ τοῦ θάρσους ἡμᾶς. Εὐδοξίου τοῦ πάνυ παῖδά σοι τοῦτον προσάγω, τὸν ἀξιολογώτατον υἱὸν ἡμῶν Εὐδόξιον, βίῳ μὲν καὶ λόγῳ, οἷον αὐτὸς εὑρήσεις, τὰν λίθον ποτὶ τὰν στάρταν ἄγων, ὡς ἡ παροιμία. (τίς δέ σου στάθμη δικαιοτέρα;) ἡμῖν δὲ εἰς τὰ μάλιστα φίλον οὐχ ἧττον διὰ τὴν ἀρετὴν, ἢ πατρικὴν φιλίαν. ὡς οὖν ἡμᾶς εὖ ποιήσων ὅ, τι ἂν τὸν ἄνδρα εὐεργετήσῃς, καὶ λόγους τιμήσων τοὺς σοὺς, ἀγαγεῖν αὐτὸν εἰς τὰ ἔμπροσθεν θέλησον. δεῖ δὲ ἀπὸ λόγων γνωρισθῆναι, καὶ βίον αὐτῷ ποιήσασθαι τὸν ἐκ λόγων. ὅντινα δὲ τοῦτον, καὶ πῶς, αὐτὸς παραστήσει· δοκιμάσει δὲ καὶ ἡ σὴ λογιότης καὶ σύνεσις.

Τῷ αὐτῷ.

Λόγοι τὸ κινδυνευόμενον, καὶ σὸς ὁ καιρὸς, εἴπερ σὺ βασιλεὺς τῶν λόγων. καὶ πρός γε, σοὶ φίλος πάλαιόθεν ὁ ἐμὸς Ἀμφιλόχιος. προσθήσω δὲ, ὅτι καὶ τοιοῦτος, οἷος μήτε γένος πατέρων αἰσχύνειν, μήτε τὴν ἡμετέραν φιλίαν, εἰ μὴ φαῦλος ἐγὼ τῶν τοιούτων κριτής. καὶ τὸ μέγιστον αἰδεῖ μάλιστα κατὰ σὲ φιλοσόφῳ, ὅτι μηδὲν ἀδικῶν ἔχει πράγματα. ὃ τῷ μὲν ἐστι κουφότατον, ἡμῖν δ' αὖ βαρύτατον, εἰ παρορῶντες φαινοίμεθα. ἐγὼ μὲν οὖν, ὃ μόνον δύναμαι, τοῦτο ποιῶ. δύναμαι δὲ πρεσβεύειν πρὸς τοὺς εὖ ποιεῖν δυναμένους. οὐ γὰρ ἄλλο γε οὐδὲν ἐμοὶ δυνατὸν οὕτως ἔχοντι, ὥσπερ νῦν ἔχω. σὺ δὲ τὸν

τοῦ σοῦ Πλάτωνος βεβαίωσον λόγον μὴ πρότερον παύσασθαι τὰς πόλεις κακῶν εἰπόντος, πρὶν αὖ συνέλθῃ φιλοσοφία τὸ δύνασθαι. ἱκανὸς εἶ γὰρ ἀμφότερα. δὸς χεῖρα τῷ δεομένῳ, καὶ παραινέσας τὰ εἰκότα, καὶ βοηθήσας. ὡς οὐκ ἔστιν ὅ, τι φιλοσοφήσεις ἄμεινον, ἢ νῦν τῷ δικαίῳ συναγωνισάμενος, πρὸς τῷ καὶ ἡμᾶς εὖ ποιεῖν τοὺς σοὺς ἐπαινέτας.

Γρηγορίῳ Ἐπισκόπῳ.

ΚΑὶ μόνων συνεκδημῶ διὰ τῆς ἀγάπης ὑμῖν. πάντα γὰρ ὁ πόθος κοινοποιεῖ τὰ ἡμέτερα, καὶ πολλὰς ἐλπίδας ἔχω, τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ θαρρῶν, καὶ ταῖς ὑμετέραις εὐχαῖς, ὅτι πάντα κατὰ νοῦν ἡμῖν ἐκβήσεται, καὶ ἡ καταιγὶς εἰς αὔραν λυθήσεται· καὶ τοῦτον ὑμῖν τῆς ὀρθοδοξίας δώσει μισθὸν, τὸ τοὺς ἐπηρεάζοντας ὑπερσχεῖν. μάλιστα μὲν οὖν ἴδοιμεν ὑμᾶς ἐν τάχει καὶ ἀπολάβοιμεν, ὡς εὐχόμεθα. εἰ δὲ χρονίζοιτε, τῶν πραγμάτων οὕτως ἐχόντων, γράμμασι γοῦν εὐφραίνειν ἡμᾶς μὴ ἀπαξιοῦτε δηλοῦσι τὰ ὑμέτερα, καὶ προσεύχεσθαι τὰ συνήθη ὑπὲρ ἡμῶν. Ἐρρωμένους ὑμᾶς, καὶ τοῖς πᾶσιν εὐθύμους ὁ ἀγαθὸς θεὸς χαρίσεται, τῆς Ἐκκλησίας τὸ κοινὸν Ἔρεισμα.

Ἰακώβῳ.

ἈΚοῇ μὲν γνώσκω τὴν σὴν τιμιότητα. θαυμάζω δὲ, ὅσον ὀλίγοι τῶν ἐπὶ πλεῖστον ὡμιληκότων. τοσοῦτος παρὰ πᾶσι τῆς σῆς καλοκἀγαθίας λόγος. διὰ τοῦτο καὶ αὐτὸς ταύτην ἐθάρρησα τὴν πρεσβείαν ἀπέλιπεν ἡμᾶς ὁ θαυμάσιος Ἀλύπιος, ὁ κοινὸς τῶν φιλοσόφων προστάτης, καὶ τῶν ὀρφανῶν κηδεμών οὐ μικρὸν τοῦτο ἡμῖν εἰς συμφοράν. δεύτερον προσεγένετο, τὸ καὶ τὴν κοσμιωτάτην αὐτοῦ Γυναῖκα φροντίζειν ὑπὲρ τῶν ὀρφανῶν. ταύτην παραμυθῆσαι τῇ νῦν φιλανθρωπίᾳ, καὶ τὸ ἀσφα-

φαλὲς τοῖς σοῖς τέκνοις χάρισαι διὰ τῆς εἰς τοὺς ὀρφανοὺς εὐποιΐας καὶ δεῖξον πλέον ἔχουσαν τῶν ξένων τὴν οἰκειότητα. προσέσαι δὲ καὶ τὸ ἡμῖν χαρίσασθαι, ὡς ὅ, τι ἂν τιμήσῃς, θεὸν ἔσῃ τετιμηκὼς, οὗπερ ἡμεῖς ἠξιώμεθα εἶναι παραστάται καὶ λειτουργοὶ, εἰ καὶ τῆς ἀξίας ἐλάττονες.

Ὀλυμπίῳ.

ΚΑὶ ὁ πόθος τῆς σῆς συντυχίας θερμὸς, καὶ ἡ χρεία τῶν δεομένων μεγάλη. ἀλλ' ἡ νόσος ἀήττητος, διὰ τοῦτο γράμμασι ταύτην τὴν πρεσβείαν ἐθάρρησα. αἰδέσθητι μὲν ἡμῶν τὴν πολιὰν, ἣν ᾐδέσθης ἤδη καλῶς ποιῶν καὶ πολλάκις, αἰδέσθητι δὲ καὶ τὴν ἀῤῥωστίαν αὐτὴν, ἣ μέρος τι καὶ οἱ κατὰ θεὸν ἱδρῶτες συνεισήνεγκαν, εἴ τι δεῖ καὶ νεανιεύσασθαι. καὶ διὰ τοῦτο φεῖσαι μὲν τῶν πολιτευομένων πρὸς ἡμᾶς βλεπόντων, ὡς ἐχόντων ἐπὶ σοῦ παῤῥησίαν. φεῖσαι δὲ τῶν ἄλλων τῶν ὑπὸ τὴν ἡμετέραν φροντίδα. καὶ γὰρ οὐδεμία ζημία τοῖς πράγμασιν ἐκ τῆς φιλανθρωπίας· ἐπεὶ τῷ φόβῳ πλείονα κατορθοῖς, ἢ ταῖς τιμωρίαις ἕτεροι. σοὶ δὲ ἀντὶ τούτων γένοιτο τοιούτου τυχεῖν τοῦ κριτοῦ, οἷός περ ἂν γένῃ τοῖς δεομένοις, καὶ ἡμῖν τοῖς πρεσβεύουσιν.

Τῷ αὐτῷ.

ΤΙ τὸ πολλὰ παθεῖν, καὶ τὸ εὖ παθεῖν τοῖς ἀνθρώποις χαρίζεται; διδάσκει φιλανθρωπίαν, καὶ κλίνει τοῖς δεομένοις, οὐδὲ γὰρ τοιοῦτον παίδευμα πρὸς τὸ ἐλεεῖν, ὡς τὸ προλαβεῖν χρηστότητα. τοῦτο καὶ αὐτῷ μοι συμβέβηκεν· ἔμαθον τὸ συμπαθὲς ἐξ ὧν ἔπαθον· καὶ ὁρᾷς τὸ ἡμέτερον μεγαλόψυχον; αὐτὸς χρῄζων τῆς σῆς ἡμερότητος ἐν τοῖς ἐμοῖς πράγμασιν, ὑπὲρ ἄλλων πρεσβεύω, καὶ οὐδέδοικα μὴ δαπανήσω σου τὸ φιλάνθρωπον ἐν τοῖς ἀλλοτρίοις. γράφω δὲ ταῦτα περὶ τοῦ πρεσβυτέ-

ρου Λεοντίου, εἴτ' οὖν ποτὲ πρεσβυτέρου ὃς εἰ μὲν ἄξια πέπονθεν ὧν πεποίηκεν, ἐνταῦθα στῶμεν, μὴ τὸ ὑπερβάλλον ἀδικία γένηται. εἰ δέ τι τῇ τιμωρίᾳ προσχρεωστεῖται, καὶ οὕτω τοῖς ἁμαρτήμασι τὰ τῆς ὕβρεως ἀντισωθῇ, τοῦτον ἡμῖν συγχώρησον, καὶ τῷ θεῷ καὶ τῷ βήματι, καὶ τῷ κοινῷ συλλόγῳ τῶν Ἱερέων, οἷς ποτὲ συνηρίθμηται, καὶ εἰ νῦν ἀνάξιον ἑαυτὸν ἀπέφηνεν, οἷς τε πεποίηκεν, οἷς τε πέπονθεν. εἰ μὲν οὖν πείθομεν, τοῦτο ἄριστον. εἰ δὲ μή, προσάγομέν σοι παιδευτὴν αἰδεσιμώτερον, τὸν κοινόν σοι καὶ τῆς ἀρχῆς καὶ τῆς εὐδοξίας.

Τιμοθέῳ.

Ἀεὶ καλὸς ἐγὼ τῶν καλῶν θηρευτής, ἵνα τι καὶ νεανιεύσωμαι· ὃς καὶ τὴν σὴν λογιότητα κρυπτομένην, καὶ τὸ λανθάνειν φιλοσοφοῦσαν, ἀνεῦρόν τε λόγοις ἰχνευτικοῖς καὶ τοῖς ἄλλοις ἐγνώρισα· καὶ ἵν' εἴπω τι τῶν ἡμετέρων, τὸ ὑπὸ τῷ μοδίῳ φῶς ἐπὶ τῆς λυχνίας ἐδημοσίευσα. ἵνα γὰρ ἐάσω τἄλλα τῶν σῶν καλῶν, τὴν παίδευσιν, τὴν εὐσέβειαν, τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον, ἃ πάντα ἑνὸς γενέσθαι, τῶν λίαν ἐστὶ χαλεπῶν, ἰδοὺ τό γε παρὸν πηλίκον; καὶ μνημονεύεις ἡμῶν, καὶ δεξιοῦσαι τοῖς γράμμασι, καὶ προστίθης ἐπαίνους, οὐχ ἵνα ἐπαινέσῃς (συνίημι γάρ σου τῆς φιλοσοφίας) ἀλλ' ἵνα κρείττους ποιήσῃς, καὶ προαγάγῃς εἰς τὸ ἔμπροσθεν, αἰσχυνομένους μὴ τοιούτους φαίνεσθαι, οἵους ὑπολαμβάνεις. τὰ μὲν οὖν ἡμέτερα πέρας ἔχει. ὑπεχωρήσαμεν τῷ φθόνῳ, φιλοσοφοῦμεν ἐφ' ἡσυχίας τῷ θεῷ, καθ' ἡμᾶς αὐτοὺς συγγινόμεθα ταῖς εὐχαῖς, τῶν ἐν μέσου κλόνων καὶ θορύβων ἠλευθερώμεθα. σὺ δὲ ἡμῖν ἀνδρίζου καὶ κραταιοῦ καὶ ὑπεραγωνίζου τῆς Τριάδος εἰς δύναμιν. καὶ ὁ πρᾶος ἔσω μαχητής, ὃ καὶ ἡμᾶς ἑώρας ποιοῦντας. οὐ γὰρ βούλομαι κέρκωπας μὲν εὐδοκιμεῖν, ἠρεμεῖν δὲ λέοντας. καὶ ἡμῶν

ὑπερεύχου σφόδρα καμνόντων, ἵν' εἰρηνικῆς τύχωμεν τῆς ἐξόδου ἤδη πρὸς τοῦτο νεύοντες.

Θέκλῃ.


Ὥρμησα μὲν καὶ αὐτὸς πρὸς τὴν σὴν εὐλάβειαν, καί περ ἀσθενοῦντος ἡμῖν τοῦ σώματος, ἐπισκεψόμενός τε ὁμοῦ, καὶ τῆς καρτερίας ἐπαινεσόμενος, ἣν ἐν τῷ μακαριωτάτῳ ἀδελφῷ σου φιλοσοφεῖς. τοῦτο γὰρ οὐκ ἀμφίβολον. Ἐπειδὴ δὲ ὑπό τινος περιστάσεως ἐκωλύθην, ἀναγκαίως ἦλθον ἐπὶ τὰ γράμματα· ἵνα συμφιλοσοφήσω σοι διὰ βραχέων τὰ σά. πόθεν ὁ καλὸς Σακερδὼς ἡμῖν ὁ γνήσιος τοῦ Θεοῦ παραστάτης καὶ νῦν καὶ πρότερον; ἐκ Θεοῦ. ποῦ δὲ Σακερδὼς νῦν; πρὸς Θεὸν, οὐκ ἀηδῶς ὑποχωρήσας, εὖ οἶδα, τῷ φθόνῳ, καὶ τοῖς τοῦ πονηροῦ παλαίσμασι. πόθεν δὲ ἡμεῖς; οὐκ ἐκεῖθεν; ποῦ δὲ ἡμεῖς ἀναλύσομεν; οὐ πρὸς τὸν αὐτὸν δεσπότην; καὶ εἴθε μετ' ἴσης τῆς παῤῥησίας. τοῦ αὐτοῦ προσκυνηταὶ καὶ παρήχθημεν καὶ μεταχθησόμεθα, ὀλίγα ἐνταῦθα κακοπαθήσαντες, ὥστε πρὸς τὴν ἐκεῖθεν ἐλπίδα, καὶ ἴσως ἵνα γνῶμεν τὴν χάριν, ἐξ ὧν ἐνταῦθα πεπόνθαμεν· πατὴρ, μήτηρ, ἀδελφὸς, οἱ προειληφότες. τί τοῦτό ἐστιν; ἀριθμὸς ἐπαινετῶν ὁδοιπόρων. τούτοις ἀκολουθήσει, καὶ Θέκλα μετὰ μικρὸν, ἡ τοῦ Θεοῦ δούλη, καὶ ἀπαρχὴ τῶν καλῶν, ὀλίγον ὑπομείνασα, ὅσον ἐκείνους τε τιμῆσαι τῇ καρτερίᾳ, καὶ πολλοῖς ὑπόδειγμα γενέσθαι τῆς περὶ ταῦτα φιλοσοφίας. ἐπαινῶμεν οὖν γε τὴν αὐτὴν δεσποτείαν, καὶ δεχώμεθα τὴν οἰκονομίαν τῶν πολλῶν ὑψηλότερον. ταῦτα ἔχε νῦν ἀνθ' ἡμῶν, καὶ τούτοις σύνεσο τοῖς λογισμοῖς, εἰ καὶ κρείττονας παρὰ σεαυτὴν ἀνευρίσκεις. Εἰδέ σε καὶ κατ' ὄψιν ἰδεῖν καταξιωθείημεν μετὰ παντὸς τοῦ σοῦ καὶ περὶ σὲ πληρώματος, πλείων ἡ χάρις τῷ εὐεργέτῃ.

Πρὸς

Πρὸς Νικόβουλον.

Τῶν γραφόντων ἐπιστολὰς, ἐπειδὴ καὶ τοῦτο αἰτεῖς, οἱ μὲν μακροτέρας γράφουσιν, ἢ περ εἰκός· οἱ δὲ καὶ λίαν ἐνδεεστέρας· καὶ ἀμφότεροι τοῦ μετρίου διαμαρτάνουσιν, ὥσπερ τοῦ σκοπῶν οἱ τοξεύοντες, οὔτε εἴσω πέμπωσιν, οὔτε ὑπερπέμπωσι. τὸ γὰρ ἀποτυγχάνειν, ἴσον, κἂν ἀπὸ τῶν ἐναντίων γίνηται. ἔστι δὲ μέτρον ἐπιστολῶν ἡ χρεία· καὶ οὔτε μακροτέρας γραπτέον, οὐ μὴ πολλὰ τὰ πράγματα, οὔτε μικρολογητέον, ἔνθα πολλά. τί γάρ; ἢ τῇ Περσικῇ σχοίνῳ μετρεῖσθαι δεῖ τὴν σοφίαν, ἢ παιδικοῖς πήχεσι, καὶ οὕτως ἀτελῆ γράφειν, ὡς μηδὲ γράφειν, ἀλλὰ μιμεῖσθαι τῶν σκιῶν τὰς μεσημβρινὰς, ἢ τῶν κεύξων τὰς κατὰ πρόσωπον ἀπαντώσας, ὧν συνιζάνει τὰ μήκη, καὶ παραφαίνεται μᾶλλον, ἢ φαίνεται τῶν ἄκρων τισὶ γνωριζόμενα, καὶ ἔστι πῶς ἂν εἴποιμι κυρίως εἰκασμάτων εἰκάσματα. δέον ἀμφοτέρων φεύγοντα τὴν ἀμετρίαν, τοῦ μετρίου κατατυγχάνειν; περὶ μὲν δὴ τῆς συντομίας ταῦτα γινώσκω. περὶ δὲ σαφηνείας, ἐκεῖνο γνώριμον· ὅτι χρὴ φεύγοντα τὸ λογοειδὲς ὅσον ἐνδέχεται, μᾶλλον εἰς τὸ λαλικὸν ἀποκλίνειν. καὶ ἵν᾽ εἴπω συντόμως, αὕτη τῶν ἐπιστολῶν ἀρίστη καὶ κάλλιστα ἔχουσα, ἣ ἂν καὶ τὸν ἰδιώτην πείθῃ, καὶ τὸν πεπαιδευμένον, τὸν μὲν ὡς κατὰ τοὺς πολλοὺς οὖσα, τὸν δὲ ὡς ὑπὲρ τοὺς πολλοὺς, καὶ ἡ αὐτόθεν γνώριμος. ὁμοίως γὰρ ἄκαιρον καὶ γρῖφον νοεῖσθαι, καὶ ἐπιστολὴν ἑρμηνεύεσθαι. τρίτον ἐστὶ τῶν ἐπιστολῶν ἡ χάρις. ταύτην δὲ φυλάξομεν, εἰ μήτε παντάπασι ξηρὸν καὶ ἄχαρι γράφομεν, καὶ ἀκαλλώπιστα, καὶ ἀκόσμητα καὶ διακόρητα, ὃ δὴ λέγεται, οἷον δὴ γνωμῶν καὶ παροιμιῶν καὶ ἀποφθεγμάτων ἐκτὸς, ἔτι δὲ σκωμμάτων καὶ αἰνιγμάτων, οἷς ὁ λόγος καταγλυκαίνεται. μήτε λίαν τούτοις φαινοίμεθα καταχρώμενοι. τὸ μὲν γὰρ ἀγροικὸν, τὸ δ᾽ ἄπληστον. τοσαῦτα τού-

τοις χρυσέον, ὅσα ταῖς πορφύραις ἐν τοῖς ὑφάσμασι. τροπὰς δὲ παραδεξόμεθα μὲν, ὀλίγας δὲ, καὶ ταύτας, οὐκ ἀναισχύντως. ἀντίθετα δὲ καὶ πάρισα καὶ ἰσόκωλα σοφισταῖς ἀποῤῥιψόμεθα· εἰ δέ που καὶ παραλάβοιμεν, ὡς καταπαίζοντες μᾶλλον τοῦτο ποιήσομεν, ἢ σπουδάζοντες. πέρας τοῦ λόγου, ὅπερ τῶν κομψῶν τινὸς ἤκουσα περὶ τοῦ ἀετοῦ λέγοντος, ἡνίκα ἐκρίνοντο περὶ βασιλείας οἱ ὄρνιθες· καὶ ἄλλοι ἄλλως ἧκον ἑαυτοὺς κοσμήσαντες, ὅτι ἐκείνου κάλλιστον ἦν τὸ μὴ οἴεσθαι καλὸν εἶναι. τοῦτο κἀν ταῖς ἐπιστολαῖς μάλιστα τηρητέον τὸ ἀκαλλώπιστον, καὶ ὅτι ἐγγυτάτω τοῦ κατὰ φύσιν. τοσαῦτά σοι περὶ ἐπιστολῶν, ὡς δι' ἐπιστολῆς παρῆμεν. καὶ ταῦτα ἴσως οὐ πρὸς ἡμῶν, οἷς τὰ μείζω σπουδάζεται. τ' ἄλλα δὲ αὐτός τε φιλοπονήσεις εὐμαθὴς ὢν, καὶ οἱ περὶ ταῦτα κομψοὶ διδάξουσιν.



ἘΚ ΤΩ͂Ν ΤΟΥ͂ ΣΟΦΩΤΑ'ΤΟΥ ΣΥΝΕΣΙ'ΟΥ.

Νικάνδρῳ.

ΠΑῖδας ἐγὼ λόγους ἐγεννησάμην· τοὺς μὲν, ἀπὸ τῆς σεμνοτάτης φιλοσοφίας καὶ τῆς συνναίου ταύτῃ ποιητικῆς· τοὺς δὲ, ἀπὸ τῆς πανδήμου ῥητορικῆς· ἀλλ' ἐπιγνοίη τις ἂν ὅτι πατρός εἰσιν ἑνὸς ἅπαντες, νῦν μὲν εἰς σπουδὴν, νῦν δὲ εἰς ἡδονὴν ἀποκλίναντος. ὁ δὴ παρὼν οὗτος λόγος, ἧς τινος μὲν ἐστι μερίδος ἀπὸ τῆς ὑποσχέσεως αὐτοῦ κατερεῖ. παρ' ἐμοῦ δὲ οὕτως ἠγαπήθη διαφερόντως, ὡς ἥδιστ' ἂν αὐτὸν εἰσποιῆσαι φιλοσοφίᾳ, καὶ τοῖς γνησίοις ἐγκρῖναι. ἀλλὰ τοῦτο μὲν οὔ φασιν ἐπιτρέψειν, οὐδὲ οἱ νόμοι τῆς πολιτείας. δεινοὶ γάρ εἰσιν εὐγενείας προστάται. ἔχει δὲ κέρδος, ὅτι ἂν αὐτῷ λάθρα χαρίσωμαι,

μαι. καὶ πολλὰ τῆς ἀηδίας μερίδος εἰς αὐτὸν συνεισήνεγκα. ἂν μὲν οὖν καὶ σοὶ δοκῇ, κοίνωσαι τὸν λόγον τοῖς Ἕλλησιν. ἀποψηφισθεὶς δ' ἐπανίτω παρὰ τὸν πέμψαντα. τοὺς πιθήκους γάρ φασιν ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους. οὕτως ἐστὶν ἡ φύσις, φιλότεκνον. τὰ δ' ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστὶ, πιθήκων παιδία. ἑτέροις οὖν ἐπισκεπτέον, ἐξετάζειν τὰ ἔκγονα. αἱ γὰρ εὔνοιαι, δειναὶ δεκάσαι τὰς ψήφους. διὰ τοῦτο Λύσιππος Ἀπελλῆν εἰς τὰς γραφὰς εἰσῆγε, καὶ Λύσιππον Ἀπελλῆς.

Ἰωάννῃ.

Ἀφοβία μεγίστη, τὸ φοβεῖσθαι τοὺς νόμους· σὺ δὲ αὐτοὺς ἠξιώθης ἀεὶ φανῆναι φοβούμενος. τοιγαροῦν δέδιθι τοὺς ἐχθροὺς, καὶ μετὰ τούτων τοὺς δικαστὰς, ἂν μὴ κλέπτωσι. κἂν κλέπτωσι μὲν, μὴ σὺ δὲ ἧς ὁ τὰ πλείω διδοὺς, οὐδὲν ἧττον εὐλαβητέον. ὀργίζονται γὰρ ὑπὲρ τῶν νόμων, ὅταν καὶ μισθοδότας προσλάβωσιν.

Τοῖς Πρεσβυτέροις.

Ἀγαθὸν πεποιθέναι ἐπὶ κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀλλὰ τοὺς ἐκ τῆς ἀθεωτάτης αἱρέσεως Εὐνομίου, πυνθάνομαι Κουτιανὸν ὄνομα καὶ τὴν ἐπὶ στρατοπέδου θρυλλουμένην ὑπ' αὐτῶν δυναστείαν προστησαμένους, μοιχᾶσθαι πάλιν τὴν ἐκκλησίαν, καὶ ψευδοδιδασκάλους τινὰς ἐφιστάναι, παγίδα τῶν ἀκεραιοτέρων ψυχαῖς· οὓς ἔναγχος οἱ παρὰ Κουτιανοῦ στασταλέντες, ἐπ' αὐτὸ τοῦτο καταπεπλεύκασιν ἄγοντες. ἡ γὰρ δίκη, πρόσχημα τῆς ἀσεβείας ἐστί. μᾶλλον δὲ ἀγὼν ὑπὲρ δυσσεβείας. οὗτοι τοίνυν οἱ νόθοι πρεσβύτεροι, οἱ νεήλυδες ἀπόστολοι τοῦ διαβόλου τε καὶ Κουτιανοῦ, μὴ λάθωσιν ὑμᾶς ἐμπηδήσαντες ᾧ ποιμαίνετε ποιμνίῳ, μὴ λάθωσιν ὑμᾶς τῷ σίτῳ τὸ ζιζάνιον παρασπείροντες. κατάδηλοι πᾶσιν εἰσὶν αἱ τούτων κα-

ταφυγαί· ἴστε τίνες ἀγροὶ δέξαιντ' ἂν αὐτούς, ἴστε τίνες οἰκίαι τοῖς λῃσταῖς ἀνέῳγασι. μετέλθετε τοὺς φῶρας ῥινηλατοῦντες. ζηλωταὶ γίνεσθε τῆς εὐλογίας τῆς Μωσαϊκῆς, ἣν εὐλόγησε τοὺς ἄνδρας. οἳ κατὰ τῶν ἠσεβηκότων ἐν τῇ παρεμβολῇ καὶ γνώμην καὶ χεῖρας ἐκίνησαν· ἐκεῖνο δὲ εἰπεῖν ἄξιον πρὸς ὑμᾶς ἀδελφοί. τὰ καλά, καλῶς γινέσθω. ἡ ὑπὲρ κέρδους ἔρις, ἀνῃρήσθω. ἅπαντα διὰ τὸν θεὸν ἐγκεχειρείσθω. οὐ δεῖ τὴν αὐτὴν ἀρετῆς εἶναι καὶ πονηρίας ὑπόθεσιν. ὑπὲρ εὐσεβείας ὁ δρόμος. ὑπὲρ ψυχῶν ἀγωνιστέον, μή τινας ἀπὸ τῆς ἐκκλησίας συλήσωσιν, ὅπερ ἔθος ἤδη πεποίηνται. ὃς δ' ἂν τὴν ἐκκλησίαν προστησάμενος, αὔξῃ βαλάντιον, καὶ διὰ τοῦ δοκεῖν εἶναι χρήσιμος ἐν καιροῖς ἀπαιτοῦσι δριμύτητα, δυναστείαν ἑαυτοῦ κατεργάζηται, οὗτός ἐστιν, ὃν ἡμεῖς συνόδου Χριστιανῶν ἐκκηρύττομεν. οὐκ ἐποίησεν ὁ θεὸς ἀτελῆ τὴν ἀρετήν. οὐ δεῖται πονηρίας συμμάχου· οὐκ ἐπιλείψουσι στρατιῶται τοῦ θεοῦ, πρέποντες ἐκκλησίαις. εὑρήσει συμμάχους ἐνταῦθα μὲν ἀμίσθους, ἐν οὐρανῷ δὲ ἐντελομίσθους· ὑμεῖς οὗτοι γίνοισθε· καλὸν γὰρ καὶ κατορθοῦσι συνεύξασθαι, καὶ παραβαίνουσιν ἐπαράσασθαι. ὅς τις ἂν οὖν μαλακίσηται καὶ προδῷ, καὶ ὅς τις ἂν ἐπεξέλθῃ μέν, ἁρπάσῃ δέ τι τῶν ἀλλοτρίων, μὴ ἀναίτιος γένοιτο τοῦ θεοῦ. ἓν τοῦτο μόνον εἰς μέσον ἑλκύσατε, καὶ τοὺς τραπεζίτας τοὺς πονηροὺς τοὺς καθάπερ νόμισμα τὸ δόγμα τὸ θεῖον παραχαράττοντας περιενέγκατε· πᾶσι ποιήσατε καταφανεῖς οἵτινές εἰσι· κἀθ' οὕτως ἄτιμοι τῶν Πτολεμαΐδος ὅρων ἀπεληλάσθωσαν, ὅ,τι σὺν αὐτοῖς ἥκει χρῆμα πᾶν ἀμεταγώγητον ἀποφέροντες. ὁ δὲ παρὰ ταῦτα ποιῶν, ἐπάρατος τοῦ θεοῦ, ὅς τις ἀσεβῆ σύνοδον ἰδὼν παρεῖδεν, ἢ ἀκούσας παρήκουσεν, ἢ κέρδει παρ' αὐτῶν ἐμολύνατο· τούτους ἡμεῖς Ἀμαληκίτας εἶναι διαταττόμεθα. παρ' ὧν οὐκ ἔξεστι κομίσασθαι λάφυρον. περὶ δὲ τοῦ λαβόντος φησὶν ὁ θεός, μεταμεμέλημαι, ὅτι ἐβασίλευσα

τὸν

τὸν Σαῦλ. ἀλλ' ὑμῶν ἐπὶ μηδενὶ μεταμέλοιτο. ἀλλὰ μέλοι μὲν ὑμῶν τῷ θεῷ· μέλοι δὲ ὑμῖν τοῦ θεοῦ.

Θεοδώρῳ καὶ τῇ ἀδελφῇ.

ΠΩ͂ς δοκεῖτε; δέδηγμαι τὴν καρδίαν, ἐκδεδομένου λόγου κατὰ τὴν πόλιν, ὅτι δεινῇ τινι καὶ πέρα δεινῆς ὀφθαλμίᾳ παλαίεις, ἀπειλούσῃ ταῖς ὄψεσι κίνδυνον. ἔπειτα πέφηνεν ὁ λόγος ψευδής· καὶ οἶμαι παμπόνηρος ἄνθρωπος προφάσεως εἰλημμένος, τοῦ τῆς ὀφθαλμίας ὀνόματος, ἦρεν ἐπὶ μέγα τὴν φήμην, καὶ ἐξετραγῴδησε. ἐξάποιτο μὲν οὖν εἰς ἐκεῖνον αὐτὸν, ἅττα ὑμῶν κατεψεύσατο. τῷ δὲ θεῷ χάρις, ὅτι παρέσχεν ἡμῖν ἀκοῦσαι καλλίονα. χρὴ δὲ μὴ τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι, μηδ' ὅ, τι λέγει φήμη πυνθάνεσθαι, ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας. εἰ δὲ μὴ, γράμμασιν ὑμετέροις ἐντυγχάνειν, καὶ παρ' ὑμῶν τὰ περὶ ὑμῶν εἰδέναι. ἀλλ' ὑμεῖς ἡμῶν λίαν ἀμελεῖτε, ὥσπερ ἴσως ὁ θεὸς βούλεται.

Τῷ Α'δελφῷ.

ΟΥ' μὴ ἐρεῖς, ὡς ἔλαθεν ὑμᾶς ὁ διακομιστὴς τῶν πανηγυρικῶν γραμμάτων. ἀλλ' ἰδόντες παρεωράκατε, καὶ οὐκ ἔδοξεν ὑμῖν ἄξιον εἶναι τὸν ἀδελφὸν ἐν μνήμῃ ποιήσασθαι, καὶ ἐπιθεῖναι πρὸς αὐτὸν γράμμα, μηνῦον ὅπως ἔχετε, καὶ ἐν τίσιν ἐστέ. ἐμοὶ γὰρ οὐκ ἀμελές ἐστιν εἰδέναι τὰ περὶ ὑμῶν. ἀλλ' ἐπείπερ ἐν ἅπασι λυποῦμαι τοῖς ἐμαυτοῦ, βουλοίμην ἂν ἐν τοῖς ὑμετέροις εὐφραίνεσθαι. ὑμεῖς δὲ καὶ ταύτης με τῆς παραμυθίας ἀφῄρησθε. χρὴν δὲ οὐχί. καὶ γὰρ εἰμὴ γεγόνειμεν ἀπὸ τῶν αὐτῶν, τροφαὶ κοιναὶ, καὶ παιδεῖαι κοιναὶ, καὶ τί γὰρ οὐχὶ κοινόν; πάντα διὰ πάντων ἡμᾶς ἀλλήλοις ᾠκείωσεν· ἀλλὰ γὰρ ἐστὶν, ὥσπερ λέγεται, δυσημερία πρᾶγμα δεινόν· καὶ ὅταν ἥκῃ τινὶ χρόνος ἀντίξους, ἐν ταῦθα τά, τε ἄλλα πάντα καὶ ἀδελ

φῶν

φῶν γνῶμαι καὶ φίλων ἔλεγχον ἔσται. ἐμοὶ δὲ ἀποχρήσει καὶ παρ' ἑτέρων πυνθάνεσθαι τὰ περὶ ὑμῶν. μόνον ὁ θεὸς ἀγαθῶν εἴη νομεύς. τοιούτου γὰρ ἐρῶμεν ὑπὲρ ὑμῶν ἀκροάματος.

Ἡλιοδώρῳ.

ΠΟλλὰ κἀγαθὰ γένοιτο τῷ δεῖνι, δι' εὐφήμου μνήμης τὴν σὴν ἄγοντι σεμνοπρέπειαν, καὶ τὰς ἁπάντων ἀκοὰς ἐμπεπληκότι τῶν ἐπαίνων τῶν κατὰ σοῦ, ὀφειλομένων τῇ χρυσῇ σου ψυχῇ καὶ γλώττῃ. πλὴν ἀλλὰ παρὰ πόδας ἀποδίδως τὴν χάριν τῆς εὐλογίας. αὐτευφημεῖται γὰρ ὑπὸ μυρίων ὅσων τῶν σῶν ἐραστῶν. οἷς ἅπασιν ἐγὼ τῶν πρωτείων ἀμφισβητῶ, μᾶλλον δὲ οὐκ ἀμφισβητῶ, συγχωροῦσι γὰρ ἅπαντες.

Ἀναστασίῳ.

ΗΣθην. ἀλλὰ πῶς οἴει; πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἥσθην, μαθὼν τὰ χρυσᾶ παιδία τῇ τοῦ βασιλέως φωνῇ νόμῳ σοι παιδία γενόμενα. μάλιστα μὲν, ὅτι σε φιλῶ. τίνα γὰρ ἂν δικαιότερον; εἶθ' ὅτι πονηροὺς ἀνθρώπους μισῶ. ὧν τὰς ἐν σκότῳ καὶ γωνίαις ἐλπίδας, ἡ χρηστὴ τύχη τῶν παιδίων ὑπετέμετο.

Σιμπλικίῳ.

ΕΔει μέντοι ταῖς τύχαις τὰς γνώμας μὴ συνεξαίρεσθαι. μὴ δὲ τὸ μεμνῆσθαι τῶν πάλαι φίλων, ἔλαττον ἡγεῖσθαι τῆς παρούσης ἀξίας. σὺ δὲ ἡμῶν ἐπιλήσμων ἐγένου χρόνου συχνοῦ. ἐγὼ δὲ οὐχὶ, καίτοι σφοδρᾶς φιλίας συναψάσης ἡμᾶς ἀλλήλοις.

Ἡλιοδώρῳ.

ΕΜοὶ μὲν συμπρόεισι τοῖς ἐνιαυτοῖς καὶ ἡ τοῦ φίλου προσθήκη. σὺ δὲ εἰ μὲν ὁμοίως ἔχων, οὐκ ἄγεις σχολὴν ὑπὸ τοῦ

τῶν

τῶν πραγμάτων ὄχλου γράμμασι τιμᾶν ὡς εἰκὸς ἅπαξ ποτὲ, καὶ οὐς εἰκὸς, κλέψας σαυτὸν ἀπὸ τῶν δημοσίων χρόνον ὅσον ἀρκέσαι πρὸς μέτρον ἐπιστολῆς, αὐτὸ τοῦτο μίωυσον. εἰ δὲ ἐπιγνώσκεις ἀληθευομένην κατὰ σοῦ τὴν ὑποψίαν τῆς λήθης, διόρθωσαι μετανοίᾳ, καὶ σαυτὸν ἡμῖν ἐπανάγαγε.

Κώνσταντι.

Εἰ φιλοσοφίας τιμᾷς ἀρετὴν, οὐ μόνον ἐν παροῦσι τοῖς μετασχοῦσιν αὐτῆς, ἀλλὰ καὶ ἐν τοῖς ἀποῦσι τιμήσεις. ὁ δὲ θεσπέσιος Ἀμμωνιανὸς ὁ παρ' ἡμῖν ποτε τυχὼν ἀμείνονος λήξεως, ἐμοὶ δοκεῖ πάρεσι καὶ ἀπεῖναι δοκῶν. τούτου συγγενῆ σφόδρα αὐτανέψιον, ὁ παρ' ὑμῖν Σωτήριχος ἀδικεῖ. δεῖξον ὅτι κήδῃ Διονυσίου, καὶ πέπαυται Σωτήριχος ἀδικῶν.

Ἀὐρηλιανῷ.

Εἰ τινές εἰσι ψυχαὶ τῶν πόλεων (ὥσπερ οὖν εἰσὶν ἔφοροι) θεῖαί τε καὶ δαιμόνιοι, πάσας ἡγοῦ σοι χάριν εἰδέναι, καὶ ἀπομεμνῆσθαι τῶν ἀγαθῶν ὧν ἐπὶ τῆς μεγάλης ἀρχῆς ἅπασιν ἔθνεσιν αἴτιος γέγονας. αὐτάς τε οὖν ταύτας παρὰ τοὺς καιροὺς ἑκάστους οἴου σοι παρεστάναι συνηγόρους τε καὶ συμμάχους, καὶ τοῦ κοινοῦ θεοῦ δεῖσθαι, γενέσθαι σοι πρεπούσας ἀμοιβὰς τῆς ἐνδεχομένης ἐκείνου μιμήσεως. τὸ γὰρ εὖ ποιεῖν, ἐν τοῦτο μόνον ἔχουσι κοινὸν ἔργον ἄνθρωπος καὶ θεός. ἡ δὲ μίμησις, οἰκείωσίς ἐστι, καὶ συνάπτει πρὸς ὃ μιμεῖται τὸ μιμούμενον. διάκεισο τοίνυν ὡς ἀπειργασμένος οἰκείως τῷ θεῷ τῇ κοινωνίᾳ τῆς εὐεργετικῆς προαιρέσεως, καὶ σύνεσο γλυκείαις ἐλπίσιν, ὁποῖαι τῇ τοιαύτῃ τῆς ψυχῆς διαθέσει προσήκουσιν, ὦ μεγαλοπρεπέστατε μόνος, ἢ μετ' ὀλίγων σὺ μόνος, δικαίως καλούμενε. ἀσπάζομαι διὰ τῆς σεμνοτάτης φωνῆς τοῦ παιδὸς τὸν νέον Ταῦρον τὰς ἀγαθὰς Ῥωμαίων ἐλπίδας.

Τῇ

Τῇ φιλοσόφῳ.

Ἤχους ἔοικα πρᾶγμα ποιεῖν· ἅσπερ εἴληφα φωνὰς, ἀντιδίδωμι, τὸν θαυμαστὸν Ἀλέξανδρον ἐπαινῶν παρὰ σοί.

Τῷ ἀδελφῷ.

Ἕλκει με παρὰ σὲ πόθος καὶ χρεία· πυνθάνομαι τοίνυν, εἴπερ μενεῖς ἥξοντα.

Ὀλυμπίῳ.

Ὑπεισι τὴν ἐκκλησίαν, ἀλλότριοι, πονηροί· διάβηθι κατ' αὐτῶν· οἱ πάτταλοι γὰρ παττάλους ἐκκρούονται.

Θεοτίμῳ.

Πλείω καλὰ τῆς Σιμωνίδου συνουσίας Ἱέρων ἀπέλαυσεν, ἢ Σιμωνίδης Ἱέρωνος. ἐγὼ ναὶ, μὰ τὸν φίλιον τὸν ἐμόν τε καὶ σὸν, οὔτε σὲ πλέον ἐμακάρισα τῆς Ἀνθεμίου τοῦ μεγάλου φιλίας, ἢ τῆς σῆς αὐτὸν ἐκεῖνον τὸν μέγαν Ἀνθέμιον. οὐδὲ γὰρ ἔχοντι δύναμιν, τί κτῆμα κάλλιον, ἢ φίλος ἦθος ἀκαπήλευτον παρεχόμενος; οἷον ἐγὼ Θεότιμον οἶδα τὴν πρεσβυτάτην καὶ θεοφιλῆ κεφαλήν. ἀλλὰ τοῦτο μὲν σὺ Σιμωνίδου πλέον ποιεῖς. Σιμωνίδης γὰρ αὐτὸς ὡμολόγει πρὸς ἀργύριον διαλέγεσθαι. ἐκεῖνο δὲ κοινὸν, ὅτι καὶ Σιμωνίδης Ἱέρωνα τῇ διαδοχῇ τοῦ χρόνου συνέστησε. καὶ διὰ τῆς Θεοτίμου ποιήσεως, ἕως ἂν Ἕλληνες ὦσι, πολὺς Ἀνθέμιος ἐν ταῖς τῶν λόγων διατριβαῖς. ἀλλὰ τὰ μὲν Ῥωμαίων ἐκεῖνος αὔξοι, σὺ δὲ ἐκείνου τὸ ὄνομα. ποιητικῇ γὰρ ἔδωκεν ὁ θεὸς ταμιεύειν τὴν εὔκλειαν. ἧς τὸ καλὸν, εἰς σὲ περιήκει.

Τῷ ἀδελφῷ.

Ἔλυσας τὸ πρυμνήσιον. κἀγὼ τὰς ἡμιόνους ἔστησα παρὰ τὴν ζεφυρῖτιν ἠιόνα. τῆς ἀπιούσης δὲ ἀποβαίνοντος, ἤδη σοι τὸ ἱστίον ἦρτο, καὶ κατὰ πρύμναν ὁ ἄνεμος. ἀλλὰ τοῖς τε ὀφθαλμοῖς ὑμᾶς ἐφόσον ἐξικνοῦντο, προὔπεμψα, καὶ πολλὰ τοῖς ἀνέμοις ὑπὲρ τῆς ἐρωμένης ψυχῆς διείλεγμαι, συνιστὰς αὐτοῖς τὸ σκάφος, ὅτι μοι τὸ τιμαλφέστατον φορτίον πεπίστευτο. οἱ δὲ (οὐ γάρ εἰσιν ἀνέραστοι τῶν καλῶν) ὑπέσχοντό μοι τὴν σὴν κομιδήν τε καὶ ἀνακομιδήν. οὗτοι μὲν οὖν ἀγαθοὶ δαίμονες ὄντες, οὐκ ἄν ποτε ψεύσαιντο. σὺ δὲ ὥσπερ αὐτῶν ἐδεήθης ἐντεῦθεν ἐκεῖσε πορθμεύων, δεήθητι κἀκεῖθεν ἐνθάδε. πολὺ γὰρ ἂν ἡδίους τότε σοι παραγένοιντο.

Τῷ ἡγεμόνι.

Μισθὸς ἀρετῆς ἔπαινος. ὃν εἰσφέρομεν Μαρκελλίνῳ τῷ λαμπροτάτῳ, νῦν ὅτε πέπαυται τῆς ἀρχῆς, νῦν ὅτε σχολάζει κολακείας ἁπάσης ὑπόνοια. ὅστις παραλαβὼν πολεμουμένας τὰς πόλεις ἔξωθεν μὲν, ὑπὸ πλήθους καὶ μανίας βαρβαρικῆς, ἔνδοθεν δὲ ὑπὸ στρατιωτικῆς ἀταξίας καὶ τῆς τῶν ταξιάρχων πλεονεξίας, ὥσπερ θεὸς ἐπιφανεὶς, μάχῃ μὲν μιᾷ τοὺς πολεμίους, ἐπιμελείᾳ δὲ καθημερινῇ τοὺς ὑπηκόους σωφρονεστέρους ἐποίησε. καὶ παρεσκεύασεν ἐπ' ἀμφοῖν τῶν δεινῶν, εἰρήνην ταῖς πόλεσιν. ὑπερεῖδε κερδῶν, ἃ δοκεῖν εἶναι νόμιμα πεποίηκεν ἡ συνήθεια. οὐκ ἐπεβούλευσε πλούτῳ. πενίαν οὐχ ὕβρισε. τὰ πρὸς θεὸν εὐσεβής. τὰ πρὸς πολιτευομένους δίκαιος, τὰ πρὸς δεομένους φιλάνθρωπος. διὰ τοῦτο φιλόσοφος ἱερεὺς ἐπαινῶν αὐτὸν, οὐκ αἰσχύνεται παρ' ᾧ μηδεὶς εὕρετο μαρτυρίαν χάριτι δεδεκασμένην. παρεῖναι μὲν οὖν ὑμῖν, καὶ τὸ δικαστήριον ἐβουλόμεθα, καὶ κοινῇ καὶ καθ' ἕνα Πτολεμαίων ἕκαστος ἀντεισηνέγκαμεν ἂν αὐτῷ

τὸν

τὸν δυνατὸν, εἰ μὴ τὸν δίκαιον ἔρανον. ὅτι λόγος ἔργου παραπολὺ ἥττων ἐστί. πάντως ἂν ἐγὼ καὶ τότε τοῦ κοινοῦ προηγόρευσα, ἐπεὶ δὲ τυγχάνω ὢν ὑπερόριος, ἐν γράμμασιν αὐτοῦ τὴν μαρτυρίαν κατατιθέμεθα, οὐκ ἐνοχληθέντες, ἀλλ' ἐνοχλήσαντες.

Ἰωάννῃ.

ΧΡῆσθαι δεῖ ταῖς τῶν δυνατῶν φιλίαις, οὐ καταχρῆσθαι.

Τῷ αὐτῷ.

ΜΗ' αἴτει μεγάλα, ἵνα μὴ δυοῖν θάτερον, ἢ τυγχάνων λύπῃς, ἢ μὴ τυγχάνων λυπῇ.

Τῷ ἀδελφῷ.

ἈΜφω τοὺς Διονυσίους ἀπέσειλα, ἵνα τῶν βιβλίων τὸ μὲν ᾖς εἰληφὼς, τὸ δ' ἀπειληφώς.

Τῷ αὐτῷ.

ΜΕ'λει γάρ σοι, μέλει καὶ Πενταπόλεως. οὐκοῦν ἐντεύξῃ μὲν ταῖς δημοσίαις ἐπιστολαῖς. ὅτι δὲ κακὰ πλείω καὶ μείζω γέγονεν, ἢ φοβεῖ τὰ γράμματα, λέγοντος ἀκούσῃ τοῦ διακομιστοῦ· ἐστέλλετο μὲν γὰρ ἐπὶ συμμαχίαν, ὡς ἐκεῖθεν αἰτήσων. τὰ δὲ τῶν πολεμίων, οὐδὲ τὴν ἔξοδον αὐτοῦ περιέμεινεν. ἀλλ' ἔφθασαν ἐκχυθέντες ἀθρόον κατὰ τῆς χώρας. πάντα οἴχεται. πάντα ἀνῄρηται. αἱ πόλεις ἔτι λοιπαί. τὸ μέχρις οὗ γράφω, λοιπαί. τὸ δὲ εἰς τὴν ἐπιοῦσαν, θεὸς οἶδε. πρὸς ταῦτα εὐχῶν δεῖ τῶν σῶν· εὐχῶν λέγω, τῶν ἐνθάδων τοῦ δυσωπεῖν τὸν θεόν. ἐγὼ πολλάκις ἤδη καὶ τὰ ἴδια καὶ τὰ κοινὰ, μάτην δ' ἐξάμην. τί λέγω μάτην; εἰς τοὐναντίον μοι περιέστη. τοιοῦτόν εἰσιν ἁμαρτίαι, βαρεῖαί τε καὶ πολλαί.

Πρό-

Πρόκλῳ.

ΠΕ'ρυσιν ἐχ ἧκει μοι γράμματα παρὰ τῆς ἱερᾶς σε χειρός. ἠριθμησα καὶ τοῦτο μετὰ τῶν συντυχόντων μοι κατ' ἐκεῖνο καιρὲ δυσχερῶν. πολλὰ γὰρ ἐπὶ πολλῶν ἐγὼ πέρυσιν ἠνιάθην. ἀλλὰ καὶ ὁ τῆτες χειμὼν, ὅ, τι μοι λοιπὸν ἦν τῶν εἰς ψυχαγωγίαν ἀφείλετο, τὸ παιδίον. εἵμαρτο γὰρ ἄρα, συνόντι μὲν ὑμῖν, δυστυχεῖν. ἀπόντι δὲ, χαλεποῦ πειρᾶσθαι τὲ δαίμονος. γενέσθω δήτις παραμυθία, τὸ δέξασθαι τῆς πατρικῆς σου κεφαλῆς γράμματα, τὸ τιμαλφέστατον ἀπὸ Θρᾴκης ἀγώγιμον.

Πυλαιμένει.

ΔΙττοὶ λόγοι λέγονται περὶ σε. τοιγαροῦν ὁμὲ μὲν ἐπὶ Θρᾴκης, ὁμὲ δὲ εἰς Ι'σαύρες γράφω, τὲ περιτυχεῖν σε πάντως, μιᾷ γέ τινι τῶν ἐπιςολῶν. ὑπόθεσις δὲ ἀμφοῖν, ἀσπάσασθαι τὴν φιλτάτην κεφαλὴν, Πυλαιμένη τὸν φιλόσοφον τοῦτο γάρ ἐστι κἂν βούληται, κἂν μὴ βούληται. ἐ γὰρ, μήποτε κατισχύσει τὲ πεφυκότος, ἐδ' ἐ μὴ σβέσει τὸν σπινθῆρα τὲ θείου πυρός. ἀλλ' ἀνάψει ποτὲ, τῆς μοχθηρᾶς ἀγωγῆς ὑπεράνω γενόμενος.

Τῷ αὐτῷ.

Ε"Πεμψά σοι τὸν λόγον ἀττικεργῆ, τῆς ἀκριβὲς ἐργασίας· ὃν αὖ μὲν ἐπαινέσῃ Πυλαιμένης, κρειττικωτάτη τῶν ἀκοῶν, αὐτὸ τοῦτο τῇ διαδοχῇ τὲ χρόνε συνέστησεν· εἰ δὲ μηδὲν φανεῖται σπουδαῖον, ἔξεστι δήπε παίζειν τὰ παίγνια.

Τῇ Φιλοσόφῳ Υ'πατίᾳ.

ΕΙ' καὶ μὴ πάντα ὁ δαίμων ἀφελέσθαι με δύναται, ἀλλὰ βέλεται ὅσα γε δύναται· ὅς μ' ἠῶν πολλῶν τε καὶ ἐσθλῶν

εὔνιν

εὖνιν ἔθηκεν, ἀλλὰ τόγε προαιρεῖσθαι τὰ βέλτιστα καὶ τίθεσθαι τοῖς ἀδικουμένοις, οὐκ ἀφαιρήσεται. μὴ γὰρ δὴ καὶ τῆς γνώμης ἡμῶν κατισχύσειε. μισῶ μὲν οὖν ἀδικίαν. ἔξεστι γάρ. κωλύειν δὲ βουλοίμην μέν, ἀλλὰ καὶ τοῦτο τῶν ἀφαιρεθέντων ἐστί. καὶ οἴχεται καὶ τοῦτο πρὸ τῶν παιδίων. πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν· καὶ σύ με ἐκάλεις ἀλλότριον ἀγαθὸν εἰς ἑτέρους δαπανῶντα τὴν παρὰ τῶν μέγα δυναμένων αἰδῶ. καὶ ἦσαν ἐκεῖνοι χεῖρες ἐμοί. νυνὶ δὲ ἁπάντων ἔρημος ὑπολείπομαι, πλὴν εἴτι σὺ δύνῃ. καὶ γὰρ δὴ καὶ σὲ μετὰ τῆς ἀρετῆς, ἀγαθὸν ἄσυλον ἀριθμῶ. σὺ μὲν οὖν ἀεὶ καὶ δύνῃ, καὶ δύναιο κάλλιστα χρωμένη τῷ δύνασθαι. Νίκαιος δὲ καὶ Φιλόλαος, οἱ καλοὶ κἀγαθοὶ νεανίαι καὶ συγγενεῖς, ὅπως ἐπανέλθοιεν τῶν ἰδίων γενόμενοι κύριοι, πᾶσι μελέτω τοῖς τὰ σὰ τιμῶσι, καὶ ἰδιώταις καὶ ἄρχουσι.

Τῷ αὐτῷ.

Ἐπιστολὴν ἐπέθηκα τῷ θαυμασίῳ Γεροντίῳ πρὸς τὴν ἱερὰν σοῦ καὶ τριπόθητον κεφαλήν, τῆς πρώτης ἐντεύξεως παρέξουσαν πρόφασιν. τότε μὲν γὰρ αὐτὸν ἴσως δι' ἐμὲ, τιμήσεις. μετὰ δὲ τὴν πεῖραν, ἕτερόν τινα δι' αὐτόν.

Τῷ Ἀδελφῷ.

Τέως μὲν ἐπράττομεν εὖ· εἶθ' ὥσπερ ῥεύματος ἀνθυπενεχθέντος, καὶ τὰ κοινὰ λυπεῖ, καὶ τὰ ἴδια. ζῶ τε γὰρ οὐκ ἰδιώτης ἐν χώρᾳ πολεμουμένῃ. κἀμὲ δὲ δεῖ κλάειν ἀεὶ τὴν ἑκάστου συμφοράν, καὶ τοῦ μηνὸς πολλάκις ἐπὶ τὰς ἐπάλξεις πηδᾶν ὡς ἐφ' ᾧ συστρατεύσομαι, μεμισθωμένον, οὐκ ἐφ' ᾧ προσδέξομαι. τριῶν ἀῤῥένων, οὐκ ἔτι μοι λείπεται. σὺ δὲ ἐὰν ἐξ οὐρίας πλέῃς καὶ ζῇς ἡδέως, οὐ πάντα ἡμᾶς ὁ δαίμων λυπεῖ.

Τῷ

Ὀλυμπίῳ.

Τὴν ἐπιστολὴν ἀναγινώσκων, ἐν ᾗ διηγήσω περὶ τῆς ἀῤῥωστίας, καὶ ἐφοβήθην ἀρχόμενος, καὶ παυόμενος ἀνεθάῤῥησα. ἀπειλήσας γὰρ κίνδυνον, εὐηγγελίσω τὰ λῷονα. περὶ ὧν δὲ ᾔτησας πεμφθῆναι παρ' ἡμῶν ἢ κομισθῆναι, τὰ δυνατὰ πάντα πάντως ἢ πεμφθήσεται, ἢ κομισθήσεται. τίνα δὲ αὐτῶν τὰ δυνατὰ, καὶ τὰ μὴ δυνατὰ, περιττὸν γράφειν. αὐτὴ γὰρ ἡ δόσις ἐπιδείξει. ἐῤῥωμένος καὶ εὐδαίμων διαβιῴης θεῷ κεχαρισμένε ἑταῖρε τριπόθητε. γένοιτο ἡμᾶς καὶ συμμίξαντας, ἀλλήλων αὖθις ἀπολαῦσαι. καὶ μὴ προεξέλθοις πρὶν ἂν ἀλλήλοις ἐντύχωμεν. εἰ δὲ θεὸς ἄλλῃ πῃ βεβούληται, σὺ δὲ καὶ ἀπόντων ἡμῶν μέμνησο. βελτίοσι μὲν γὰρ Συνεσίου ἐντεύξῃ πολλοῖς. φιλοῦντι δὲ μᾶλλον, οὐκ ἂν ἄλλοις ἐντύχοις.

Τῷ αὐτῷ.

Πῶς οἴει με διψῶντα ταῖς ἡδίσταις ἐπιστολαῖς ἐντετυχηκέναι; περὶ ποῖα δὲ μέρη τῶν ἐπιστολῶν, οὐχὶ πάσῃ διαχυθῆναι τῇ ψυχῇ; ἀφ' ὧν ἦλθον εἰς πολλαπλασίαν διάθεσιν. καὶ οὐκ εἰς μακρὰν προσδοκῶ τὴν Ἀλεξάνδρειαν ἔχουσαν ἔτι τὴν φίλην κεφαλὴν ὄψεσθαι. καὶ ἐφ' οἷς γὰρ Σεκοῦνδον εὖ ἐποίησας, ἡμᾶς ἐτίμησας καὶ ἐφ' οἷς οὔπω γράφων τιμᾷς, ἐξηρτήσω σαυτοῦ, καὶ ἐποίησας εἶναι σούς. παρ' ὅσον τῶν χαμαὶ ἐρχομένων ὄντες, οὐκ ἐπιγινώσκομεν τὴν ἀξίαν, διπλῇ τιμώμενοι, καὶ τῷ μεγέθει τῶν γραφομένων, καὶ τῇ σπουδῇ τῶν γενομένων. τῷ δεσπότῃ μου τῷ κόμητι γέγραφα μὲν ἤδη πολλάκις. ἐπεὶ δὲ ἐν ταῖς διὰ τοῦ παιδὸς ἐπιστολαῖς αἰτιᾷ μὴ γεγραφότα πρὸς αὐτὸν, ἐπέθηκα καὶ τῷ δεσπότῃ μου τῷ ἀδελφῷ πρὸς αὐτὸν γράμματα. ἐῤῥωμένος καὶ εὐδαίμων διατελεῖ φιλοσοφίας ἔχων φροντίδα, ὅσῃ

προσήκει τῷ μετὰ θείων ἐρώτων ἡργμένῳ ταύτης. ἀπὸ τῆς κλίνης σοι γέγραφα, μόλις ἀνεχόμενος εἰς διασκευὴν τῶν γραμμάτων. δέξαι τὰ ἄριστα ἡμῖν, ἅπερ ἂν ὁ θεὸς ἄριστα δοκιμάσοι. ἐὰν ἀνασφήλω, ἐπὶ τὴν Ἀλεξάνδρειαν εὐθὺς ἵεμαι.

Πυλαιμένει.

Συνίστημι τῇ φιλίᾳ καὶ τῇ προστασίᾳ τῇ σῇ, τὸν θαυμάσιον Σωσίωνα. ᾧ τὴν διὰ λόγων τραφέντι καὶ αὐξηθέντι, τὰ παρὰ τῆς τύχης οὐκ ἀπαντᾷ κατὰ λόγον. αἰτιᾶται δὴ τὴν τῆς πατρίδος ἀκληρίαν. καὶ πείθει τις αὐτὸν λόγος, ὡς ἔστι συμμεταβαλεῖν τῷ χωρίῳ τὴν τύχην. ἀφίξεται δὲ παρὰ τὴν ἔχουσαν τὸν βασιλέα πόλιν, ὡς ὅπου βασιλεὺς, ἐκεῖ καὶ πάνυ τῆς τύχης οὔσης, καὶ τυχὸν ἐπιγνωσομένης αὐτόν. εἰ δή τις σοὶ δύναμις, συντέλεσον αὐτῷ πρὸς ὅ, τι βούλεται. σοῦ γὰρ ἄξιον τὸ καὶ δύνασθαι, καὶ τοὺς δεομένους συνιστάναι τῇ ἀγαθῇ τύχῃ. ἐὰν δέηται φίλων, τοῖς σοῖς φίλοις αὐτὸς προσοίσεις αὐτόν.

Ἀδελφῷ.

Πυνθάνῃ περὶ Διοσκορίου πόσους ἀπαγγέλλει στίχους ἑκάστης ἡμέρας; πεντήκοντα. τούτους ἀποδίδωσιν, οὐ προσπταίων οὐ διασολογῶν, οὐκ ἐφιστάμενος ἐφ' ᾧ ἀνάμνησιν ἀθροῖσαι σὺν χρόνῳ. ἀλλ' ἐπειδὰν ἄρξηται λέγειν, κατατείνει συνεχῶς. καὶ ἡ σιωπὴ τέλος ἐστὶ τῆς ἀπαγγελίας.

Τῷ αὐτῷ.

Εἶτα θαυμάζεις τοὺς αὐχμώδεις Φυκοῦντας οἴκων, εἰ ῥιγοῖς καὶ τὸ αἷμα ἐξεπονήρευσας; τοὐναντίον μέντοι θαυμάζειν ἐχρῆν, εἴ σοι τὸ σῶμα κρεῖττον ἦν τῆς αὐτόθι φλογός. ἀλλ' ἔστι

σοι

σοι παρ' ἡμᾶς ἐλθόντι σὺν τῷ θεῷ, ῥᾴονι γενέσθαι, ἀπαλλαγέντι μὲν ἀέρος διεφθορότος ἐκ τῆς ἑλώδους ἀτμίδος, ἀπαλλαγέντι δὲ ὕδατος ἀλυκοῦ. καὶ χλιαροῦ, καὶ τὸ ὅλον ἔξωτος, ὃ ταυτὸν εἰπεῖν, καὶ νεκροῦ. τί δὲ καὶ καλὸν ἐπὶ τὴν ψάμμον τὴν αἰγιαλῖτιν ἀναπεσεῖν, ἣν μόνην ἔχετε διατριβήν; ποῦ γὰρ δὴ καὶ ἐξαπήσεσθε; ἐνθαδὶ δὲ, οἷον μὲν ἐστιν ὑπελθεῖν δένδρου σκιάν. κἂν δυσαρεστήσῃς, ἔστιν ἀμεῖψαι δένδρον ἐκ δένδρου, καὶ ὅλον ἄλσος ἐξ ἄλσους. οἷον δὲ τὸ διαβῆναι παραῤῥέον ὑδάτιον· ὡς ἡδὺ δὲ ὁ ζέφυρος ὑποκινῶν ἠρέμα τοὺς κλάδους. ποικίλαι δὲ καὶ ὀρνίθων ᾠδαὶ, καὶ ἀνθέων χροιαὶ, καὶ λειμῶνος θάμνοι, τὰ μὲν, γεωργίας ἔργα. τὰ δὲ, φύσεως δῶρα. πάντα εὐώδη. γῆς ὑγιαινούσης χυμοί. τὸ δὲ τῶν νυμφῶν αὔλιον, οὐκ ἐπαινέσομαι. Θεοκρίτου γὰρ δεῖ. ἔστι δέ τι καὶ παρὰ ταῦτα.

Ἡλιοδώρῳ.

Ἡ Φήμη λέγει δύνασθαί σε πολλὰ παρὰ τῷ νῦν ἔχοντι τὴν αἰγυπτίων ἀρχήν. καὶ ἀληθῆ λέγει. δικαιότατος γὰρ εἶ, καλῶς τῷ δύνασθαι χρώμενος. ὅπως οὖν ὄναιο τῆς σῆς φύσεως καὶ δυνάμεως, ὑπὲρ ὧν ὁ ἐμὸς Εὐσέβιος δεῖται, λέγοντος ἄκουσον ἵν' εἰδῇς ὅτι καὶ ῥήτορα συνεστήσαμεν.

Τρωΐλῳ.

Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο, Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου, Ὅμηρῳ μὲν ἐποίησαν οἱ στίχοι. ὁ δὲ νοῦς αὐτῶν, οὐκ οἶδα εἰ Ἀχιλλεῖ περὶ Πατρόκλου μᾶλλον ἄξιον εἰρῆσθαι, ἢ ἐμοὶ περὶ σοῦ, τῆς φιλτάτης τε καὶ εὐεργέτιδος κεφαλῆς. ὡς ἐγὼ μάρτυρα ποιοῦμαι θεὸν, ὃν φιλοσοφία πρεσβεύει, τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω. καὶ ἐμβομβεῖ μου ταῖς ἀκοαῖς

ἡ θαυμαστή σου τῶν σοφῶν λόγων ἠχώ. τῇ πατρίδι δὲ ἐπιδημή-
σας ἀπὸ τῆς Αἰγύπτου, καὶ δυοῖν ἐνιαυτῶν ἐπιστολὰς ἅμα ἀνεγ-
νωκὼς, πλῆθος ὅσον δακρύων κατέσπεισα τῶν γραμμάτων. οὐ
γὰρ οἷς ἀπέλαυόν σου διὰ τῶν γεγραμμένων ἡδόμην, ἀλλ' ἠ-
νιώμην ἀναφέρων ἀπὸ τῶν γεγραμμένων τὴν ἔμψυχόν σου συνου-
σίαν, οἵου φίλου τε ἅμα καὶ πατρὸς ὄντως ζῶντος στεροίμην. δε-
ξαίμην οὖν αὖ βαρυτέρους ἀγῶνας ὑπὲρ τῆς πατρίδος ἐθελοντὴς,
ἵνα μοι γένοιτο πάλιν πρόφασις ἀποδημίας. ἆρά σε ποτὲ ὄ-
ψομαι, πάτερ ἀληθῶς γνησιώτατε; ἆρά ποτε, τὴν ἱεράν σου
κεφαλὴν περιπτύξομαι; ἆρα μεθέξω τοῦ συνεδρίου τοῦ διὰ σὲ
μακαρίου; εἰ γὰρ γένοιτό μοι τούτων τυχεῖν, ἀποδείξω
μηκέτι μῦθον ὄντα τὸν ἐπὶ Αἴσονι τῷ Θετταλῷ λόγον. ὅν
φασιν αἱ ποιήσεις δὶς ἀνηβῆσαι νέον ἐκ πρεσβύτου γενό-
μενον.

Ἑρκουλιανῷ.

Ἤκουσά του τῶν δεινῶν λέγειν ἀνδρὸς ἐπαινοῦντος χρείαν ἐ-
πιστολῆς· καὶ τοῦτ' αὐτὸ τῶν πολλῶν καὶ θαυμαστῶν λό-
γων σοφιστὴς ὑπόθεσιν ἐπεποίητο. ἐχορηγεῖτο δὲ αὐτῆς τὸ ἐγ-
κώμιον πολλαχῇ μὲν καὶ ἄλλῃ. μάλιστα δὲ ἀπὸ τοῦ δύνασθαι
τὴν ἐπιστολὴν ἐρώντων οὐκ εὐτυχούντων εἶναι παραμυθίαν, πα-
ρεχομένην ἀπουσίᾳ σωμάτων φαντασίαν τῆς παρουσίας, καὶ
τῷ δοκεῖν προσδιαλέγεσθαι ψυχῆς ἐκπιμπλᾶσαν τὸ ἐφιέμε-
νον. ταῦτα οὖν ἀνυμνεῖν τὸν ἀρετὴν τῶν γραμμάτων· καὶ
ἀνθρώπου μὲν οὐδενὸς ἠξίου, θεοῦ δὲ εἰς ἀνθρώπους εἶναι τὴν
δόσιν. ἐγὼ μὲν οὖν ἀπολαύω τῆς ἱερᾶς τῆσδε τοῦ θεοῦ χάρι-
τος. καὶ πρὸς ὃν ἔδει λαλεῖν, εἰ μὴ δύναμαι λαλεῖν, ἀλ-
λ' ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ, καὶ κατὰ τὸ ἐν-
δεχόμενον σύνειμι, καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. αὐτὸς
δὲ, εἰ μὴ πικρὸν εἰπεῖν, συνδιέστησας τῷ τόπῳ τὴν γνώμην.
κἂν μὴ παύσῃς σαυτὸν ἀφέλκων τῶν ἀσυλώτατα καὶ ἀσκίως ἤ-

γαπηκότων, ἐμιμήσω τὰς χελιδόνας, αἳ ταῖς τῶν ἀνθρώπων οἷον φιλίαις ἐνοικίζονται μὲν μετὰ τοῦ φθέγγεσθαι, σιωπῶσαι δὲ ἐξοικίζονται. ταῦτα πρὸς ἄνθρωπον ἔτι, καὶ ἀνθρωπικὰ τὰ ἐγκλήματα. εἰ δὲ ἥνωσας διὰ φιλοσοφίας τὰ δεῦρο διεστῶτα, καὶ φίλον μὲν τὸ καλόν, καλὸν δὲ τὸ αὐτό, τοῦτο δὲ σὺ ὃν τοῦ νοῦ λέγοντος ἤκουσας, οὐκέτι κρίνομεν ὑπεροψίαν τὴν πρὸς ἡμᾶς σιωπήν. ἀλλὰ συνηδόμεθα φιλοσοφοῦντι καὶ παραιτουμένῳ μὲν τὸ μικροπρεπεύεσθαι, συνόντι δὲ τῷ παρὰ σοὶ κρείττονι, τοῖς ἐν ἡμῖν κρείττοσιν. εἴης τοιοῦτος ἀνδρῶν ἄριστε καὶ ἐμοὶ ἐπιπόθητε ὄντως ἀδελφέ.

Τῷ αὐτῷ.

Εἰ τοσοῦτόν ἐστι κέντρον πειθοῦς ἐν τοῖς γράμμασιν, εἰ τοσοῦτον αἱ τῶν ἠθῶν εἰκόνες τῆς ζώσης χηρεύουσαι συμπαθείας καὶ χάριτος, θέλκτρον ἐνιᾶσι τοῖς ἀναγνώσκουσιν, ἦπου πρᾶγμα ἄμαχον ἂν εἴη, τὸ αὐτοπροσώπως αὐτῶν ἐπαφήσασθαι. ἐμὲ γοῦν τοι ὁ παρὼν μὲν ᾕρεις τῇ γλυκείᾳ σειρῆνι τῶν λόγων. οὐ μὴν αἰσχυνθείην ἀληθῆ λέγων, ὡς ἡδίων ἂν ἡ δευτέρα μοι πεῖρα γένοιτο. οὐ γὰρ ἂν γένοιτο ἀγαθοῦ παρόντος, ὥσπερ ἀπόντος τῷ πεπειραμένῳ συναίσθησις. τοῦ μὲν γάρ, ἡ συνέχεια τῆς ἀπολαύσεως, κλέπτει τῆς εὐφροσύνης τὴν αἴσθησιν. ὁ δὲ κατὰ μικρὸν χωρισθείς, τῶν ἡδέων εὐθὺς ἔχει κεντοῦσαν ἐκ παραλλήλου τὴν μνήμην, οἵων ἄρα ὄντως στερίσκεται. ἔλθοις οὖν φιλτάτη κεφαλή, καὶ ἀλλήλοις ἐπὶ φιλοσοφίᾳ συγγενοίμεθα, τοῖς ἐνηργμένοις πρέποντα ἐποικοδομοῦντες, ἵν' ἐκ τελείων τέλεον ἐκφανῇ κάλλος, ἀλλὰ μὴ κολοβόν. εἰ δέ, ὅπερ ἀπεύχεσθαι δίκαιον, ἀλλήλων διαμάρτοιμεν, δῆλον ὡς τοὐμόν ἐστι τὸ βλαπτόμενον. σοὶ μὲν γὰρ εὐτυχούσης ἐνθάδε πολυανδρίαν παιδείας συνέσονται πολλοὶ Συνεσίου καὶ βελτίους καὶ ὅμοιοι. ἡ δὲ

πατρὶς, ὅτι μὲν πατρὶς, ἐμοὶ τίμιον. πρὸς δὲ φιλοσοφίαν, οὐκ οἶδ' ὅντινα τρόπον ἀπεσκληκότως ἔχει. ἔστιν οὖν οὐκ ἀδεὲς ἀβοηθήτῳ μένειν, οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος. εἰ δὲ δὴ καὶ δοίημεν εἶναί τινας, πῶς ἂν ἔπειτ' Ὀδυσῆος ἐγὼ θείοιο λαθοίμην; πρὸς ποῖον ἄλλο πυρεῖον παρατριβεὶς μετὰ τὴν ἱερὰν σοῦ ψυχὴν, ἀποτέκοιμι τοῦ νοῦ φωτοειδὲς ἔγγονον; τίς οὕτως οἷος σφοδρῶς σπινθῆρα κεκρυμμένον καὶ ἀγαπῶντα λανθάνειν μηχαναῖς ἁπάσαις ἐκκαλέσασθαι, καὶ ἐξάψαι, καὶ πῦρ λαμπρὸν ἀναδεῖξαι; θεὸς οὖν ἀμφοῖν ἀποῦσί τε καὶ συνοῦσι παρείη· θεοῦ δὲ παρόντος, ἅπαν ἄπορον πόριμον. ἔῤῥωσο, καὶ φιλοσόφει, καὶ τὸ ἐν σαυτῷ θεῖον, ἄναγε ἐπὶ τὸ πρωτόγονον θεῖον. καλὸν ἀνὰ πᾶσαν ἐμὴν ἐπιστολὴν, τοῦτο παρ' ἐμοῦ τῇ τιμίᾳ σοῦ διαθέσει λέγειν, ὅ φασι τὸν Πλωτῖνον εἰπεῖν τοῖς παραγενομένοις, ἀναλύοντα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος.

Ἰωάννῃ.

ΟἿ Μαί σε καὶ πρὸ εὐχῆς εὖ πράττειν, ὅς γε ἀφεὶς τοὺς ἀνθρώπους ἡμᾶς ἄτης ἐν λειμῶνι κατὰ σκότον ἠλάσκοντας, καὶ ταῖς χθονίαις ἐγκαλινδουμένους φροντίσιν, αὐτὸς ὑπὲρ ταύτας στήσας σαυτὸν, ἀνεχώρησας ἔτι δεῦρο ὢν, καὶ μακαρίας ἥψω ζωῆς· εἰ μὴ φίλος ὢν Γαΐος ἐν τῷ λέγειν καὶ διαγγέλλειν τὰ σὰ πρὸς ἡμᾶς, οἴεται δεῖν τι καὶ ψεύδεσθαι. δεινὸν γὰρ ἡ εὔνοια, κλέψαι τὴν ἀλήθειαν. οὗτος οὖν ὁ Γαΐος ἐπεφήμισέ σοι τὸν μονήρη βίον, καὶ πρόφασιν τῆς εἰς τὴν πόλιν εἰσόδου, βιβλία, καὶ νοῦν αὐτῶν ὅσος εἰς θεολογίαν τείνει. καὶ φαιὸν τριβώνιον ἀμπέχεσθαί σε φησίν. οὐδὲν μὲν ἦν μεῖον, εἰ καὶ λευκὸν ἦν. τῇ γὰρ φανοτάτῃ φύσει, μᾶλλον ἀνακείμενον εἴη τὸ ἐν τοῖς αἰσθητοῖς καθαρὸν καὶ φωτοειδέστερον. εἰ δὲ καὶ τὸ μέλαν ἐπῄνεσας, ἐπειδὴ ζήλῳ τινῶν προλαβόντων ἐποίησας, ἐπαινῶ πᾶν τὸ ἐπὶ τῷ θείῳ γι

νό·

νόμενον. τὸ γὰρ εὖ χάειν γίνεται, δίδωσι κατορθοῦν τῷ ποιοῦντι. καὶ ἡ προαίρεσις ἔχει τὴν ἀρετὴν. ἡμεῖς μὲν οὖν σοι συνηδόμεθα, σχεδιάσαντι τὸ τέλος, ὅπερ ἡμεῖς πάλαι σὺν πόνῳ μόλις θυροκοποῦμεν. σὺ δὲ ἡμῖν σύνευξαι, φθάσαι ποτὲ καὶ αὐτοῖς, καὶ εὑρέσθαι τι κέρδος ἀπὸ τῆς ἐν φιλοσοφίᾳ μερίμνης, ἵνα μὴ τηνάλως ὦμεν κατατετριφότες πρὸς τοῖς βιβλίοις τὸν βίον. ἐῤῥωμένως, εὐδαιμονῶν, διαβιῴης θαυμάσιε.

Τῷ αὐτῷ.

Ἡμῖν ἀεὶ καὶ ἀπὼν, ἐπιδημεῖς τῇ μνήμῃ. καὶ γὰρ οὐδ' ἂν εἰ πάνυ βουληθείημεν ἐπιλαθέσθαι, δυνάμεθα. τῆς γλυκυτάτης σου ψυχῆς καὶ τῶν ἀδολωτάτων ἠθῶν, ἀδελφὲ διὰ πάντων θαυμάσιε, ὡς οὐδὲν ἂν ἐν ἡμῖν γένοιτο τῆς περὶ σὲ μνήμης ἱερώτερον, ἢ τὸ πάλιν περιπτύξασθαι τὴν σεβασμίαν σου κεφαλὴν. ὃ δοίη ποτὲ θεὸς, καὶ ἴδοιμέν σε, καὶ ἀκούσαιμέν σου τῆς ἡδίστης τῶν λόγων ἠχοῦς. ἧσας δὲ ἡμᾶς καὶ οἷς ἀπέστειλας: ἅπαντα γὰρ ἐκομισάμεθα. ἔλθοι δήποτε καὶ συντυχίας καιρὸς, καὶ εὐτυχήσαιμι τοῦτο παρὰ θεοῦ.

Πυλαιμένει.

Οὐ δὲ τὴν σὴν Ἡράκλειαν ἀνήκοον οἶμαι γεγονέναι τοῦ παρ' ἡμῖν φιλοσοφήσαντος Ἀλεξάνδρου, ἀνδρὸς ἁπανταχοῦ στραφέντος μετὰ δόξης. κωφὸς ἀνὴρ, ὃς Ἡρακλεῖ στόμα μὴ περιβάλῃ. τούτου παῖς, ἐμὸς ἀνεψιὸς, ἐπιδώσει σοι τὴν ἐπιστολὴν, ὃ τὸν πατρῷον ζῆλον ὑπεισελθὼν, οὐ διὰ τῆς στολῆς, ἀλλὰ διὰ τῆς γνώμης. στέλλεται οὖν ἐπὶ πονηροὺς ἄνδρας, τὸν Ἡράκλειον τρόπον ἐκκαθαίρων αὐτοῖς τὴν πατρίδα. θεοῦ δὲ ἔδει δήπου καὶ Ἡρακλέους, οὐ μὴν ἀλλὰ καὶ Ἰόλεω συμμάχου καὶ παραστάτου, οὐκοῦν τὸν μὲν θεὸν ἑαυτῷ ποιεῖται τὸν ἐνόντα τρόπον, καὶ προσκλινεῖ, βίου τε ἀρετῇ

καὶ γνώμης ἀσέβεια. τὴν δὲ σὴν φιλίαν ἀντὶ τῆς πόλεως μνηστεύομεν ἡμεῖς αὐτῷ διὰ τῆς ἐπιστολῆς. συνέστη δὲ τοσαῦτα αὐτῷ, ὅσα ἡμῖν. κἂν χρήσῃ τῇ φιλίᾳ τοῦ νεανίσκου, πάντως ἐρεῖς οὐ φαῦλον ἐπαινέτην ἐμέ.

Τῷ αὐτῷ.

ΑΡά μοι μένεις φιλόσοφος; ἆρα ἐκεῖνος ὃν ἀπολέλοιπα, Πυλαιμένης, ἡ νεοτελὴς ψυχὴ, τὸ σπέρμα τὸ θεῖον; φοβοῦμαι τὸν χρόνον τὸν ἀπὸ γενέσεως. πλεῖον φοβοῦμαι τὴν ὁμιλίαν τῆς ἀγορᾶς, τὸ ἐνειλινδεῖσθαι συχνοῖς ἤδη τύχαις καὶ πράξεσι, μὴ μολύνῃ τὸν ἁγιώτατον νεὼν, τὸν νοῦν σου τὸν ἱερὸν, ὃν ἐγὼ μετ' ὀλίγων ἀξιώτατον ἡγοῦμαι δοχέα θεοῦ. καὶ οἶδα μέντοι συνοργιάσαι σοι τὰ φιλοσοφίας εὐχὴν ποτε ποιησάμενος. ἐπεὶ δ' οὖν κρείττων ὁ τῆς πατρίδος ἔρως ἐγένετο, εὐξάμην ὅπου ποτε γῆς εἴης, φιλοσοφίαν ἐργάζεσθαί σε κατὰ δύναμιν. τοιγαροῦν ἀσπάζομαι τὴν φίλην κεφαλὴν, καὶ πάνυ πολλάκις ἀσπάζομαι τὴν φίλην κεφαλὴν, καὶ σιγῶν, καὶ λέγων, καὶ γράφων, καὶ μὴ γράφων.

Τῇ αὐτῷ.

ΑΙ' ἔτους ἡμῖν ἀφικνεῖται παρὰ σοῦ γράμματα, ὥσπερ καὶ τοῦτο ὡρῶν φερουσῶν. ἐμοὶ μὲν οὖν ἴσως καρπὸς ἡδίων οὗτος, ἢ ὃν ἐκτρέφουσι μηνῶν κύκλοι καὶ γεωργοί. σὺ δὲ οὐκ αὖ εἰκότα ποιοίης, τῆς ἐπὶ τούτοις ἡμᾶς εὐφροσύνης ἀποστερῶν. ἀλλὰ μετάθου τὴν γνώμην, καὶ ποίησον ἡμῖν τὸ γοῦν τῆτες εὐετηρίαν ἐπιστολῶν.

Δομετιανῷ σχολαστικῷ.

ΠΑνυ σαφῶς δι' αὐτῶν μεμαθηκὼς τῶν ἔργων τὴν σὴν θαυμασίαν κεφαλὴν, χαίρουσάν τε φιλανθρωπίᾳ, καὶ τοῖς δεο-

δεομένοις χεῖρα βοηθείας ὀρέγειν, ἐπ' αὐτὸ δὴ τοῦτο παρακαλῶ, ἵππον εἰς πεδίον, τοῦτο δὴ τὸ τοῦ λόγου, προτρέπειν ἡγούμενος. καί σοι πλέον ἢ πρότερον, ὦ φίλη κεφαλὴ, νῦν τὴν φιλανθρωπίαν ἐπιδεικτέον. ὅσῳ καὶ τὸ πρόσωπον ἐλεεινότερόν ἐστι νῦν τὸ εὖ πεισόμενον. γυνή τε γάρ ἐστιν αὕτη, καὶ γυνὴ δυστυχήσασα χηρείαν, εἶτα σὺν ὀρφανῷ παιδίῳ, παθοῦσα ἃ πέπονθεν. ὅς τις δέ ἐστιν ὁ ταύτην ἀδικήσας, καὶ ὅτι, καὶ ὅπως, αὐτὴ διδάξει τὴν σὴν καλοκἀγαθίαν. ὅρα τοίνυν ὦ θαυμάσιε, ὅπως ἐπαμύνῃς τῇ γυναικὶ, καὶ διὰ τὸ καλῶς ἔχον, καὶ διὰ τὸ σοὶ πρέπον, καὶ δι' ἐμέ. μεθέξω γὰρ ἔτι σοι κἀγὼ τῶν εἰς αὐτὴν γινομένων, συγγενίδα τε οὖσαν ἐμὴν, καὶ τεθραμμένην ὑπὸ μητρὶ κοσμίᾳ σωφρόνως παρ' ἡμῖν.

Τοῦ αὐτοῦ.

Τὰ δίκαια χρήζει συμμάχων. καὶ γένοιντ' ἂν οἱ βοηθοῦντες αὐτοῖς εὐδαίμονες, τοῖς ὀρθῶς ἔχουσι συμπονοῦντες. εἱλόμην δή σε τούτων πρόβολον, γνώμῃ τε ἀμύνοντα καὶ τέχνῃ. τὸ μὲν ἐμὸν, ἅπασιν εὖ ποιεῖν οἷς ἂν δύνωμαι. δίδου δὲ αὐτὸς ἀφορμάς. αἰσθήσῃ γὰρ φιλίας, ἣν οὔτε αὐτὸς μέμψῃ, γελάσει τε ἴσως οὐδείς.

Τοῖς πρεσβυτέροις.

Οὔτε πρότερον ὑμῶν ἐγὼ περιῆν, ἁπάσῃ ῥώμῃ καὶ μηχαναῖς ἐκκλίνας ἱερωσύνην, οὔτε νῦν ὑμεῖς ἐμοῦ κεκρατήκατε· ἀλλὰ θεῖον ἄρα ἦν καὶ τὸ μήπω τότε, καὶ τὸ νῦν ἤδη. ἐγὼ δὲ πολλοὺς ἂν θανάτους ἀντὶ τῆσδε τῆς λειτουργίας εἱλόμην· οὐ γὰρ κατ' ἐμαυτὸν εἶναι τὸν κόσμον ἐλογιζόμην τοῦ πράγματος. τοῦ θεοῦ δὲ ἐπενεγκόντος οὐχ ὅπερ ᾔτουν, ἀλλ' ὅπερ ἐβούλετο, εὔχομαι τὸν γενόμενον νομέα τοῦ βίου, γενέσθαι καὶ τοῦ νεμηθέντος προστάτην.

την. ὁ γὰρ ἐννεάσας τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι, καὶ τοσοῦτον ὁμιλήσας φροντίσιν, ὅσον ἀφοσιώσασθαι τῷ μετὰ σώματος βίῳ, καὶ τῷ πολίτης γεγονέναι πόλεως, πῶς ἀρκέσω μερίμναις ἐχούσαις συνέχειαν; ἢ πῶς ἐμαυτὸν ἐπιδοὺς ὄχλῳ πραγμάτων, ἔτι προσβαλῶ τοῖς νοῦ κάλλεσιν, ἃ μόνης ἐστὶ καρποῦσθαι τῆς μακαρίας σχολῆς; ἧς χωρὶς, ἐμοὶ καὶ τοῖς ὁμοίοις ἐμοὶ, ἅπας ὁ βίος ἀβίωτος. ἐγὼ μὲν οὐκ ἂν εἰδείην· τῷ θεῷ δέ φασι πάντα δυνατὰ καὶ τὰ ἀδύνατα. αὐτοί τε οὖν ὑπὲρ ἐμοῦ χεῖρας ἱκέτιδας ἄρατε πρὸς θεόν. καὶ τῷ, τε ἐν ἄστει δήμῳ, καὶ ὅσοι κατ' ἀγροὺς ἢ κωμητικὰς ἐκκλησίας αὐλίζονται, τὰς ὑπὲρ ἡμῶν εὐχὰς καὶ κοινῇ καὶ καθ' ἕνα πᾶσι παρεγγυήσατε. εἰ γὰρ μὴ ἔρημος ἀπολειφθείην θεοῦ, τότε γνώσομαι τὴν ἱερωσύνην, οὐκ ἀπόβασιν οὖσαν φιλοσοφίας, ἀλλ' ἐπανάβασιν.



ΠΛΟΥ-



ΠΛΟΥΤΑΡΧΟΥ

Ἀποφθέγματα βασιλέων, καὶ στρατηγῶν.

ΠΛΟΥΤΑΡΧΟΣ ΤΡΑΪΑΝΩ͂ Αὐτοκράτορι εὖ πράττειν.



ἈΡταξέρξης ὁ Περσῶν βασιλεύς, ὦ μέγιστε αὐτοκράτορ, Καῖσαρ Τραϊανέ, οὐχ ἧττον οἰόμενος βασιλικὸν καὶ φιλάνθρωπον εἶναι τοῦ μεγάλα διδόναι τὸ μικρὰ λαμβάνειν εὐμενῶς καὶ προθύμως, ἐπείπερ ἐλαύνοντος αὐτοῦ καθ' ὁδόν, αὐτουργὸς ἄνθρωπος καὶ ἰδιώτης οὐδὲν ἔχων ἕτερον, ἐκ τοῦ ποταμοῦ ταῖς χερσὶν ἀμφοτέραις ὕδωρ ὑπολαβὼν προσήνεγκεν, ἡδέως ἐδέξατο, καὶ ἐμειδίασε, τῇ προθυμίᾳ τοῦ διδόντος, οὐ τῇ χρείᾳ τοῦ διδομένου τὴν χάριν μετρήσας. ὁ δὲ Λυκοῦργος εὐτελεστάτας ἐποίησεν ἐν Σπάρτῃ τὰς θυσίας, ἵνα ἀεὶ τοὺς θεοὺς τιμᾶν ἑτοίμως δύνωνται καὶ ῥᾳδίως ἀπὸ τῶν παρόντων. Τοιαύτῃ δέ τινι γνώμῃ κἀμοῦ λιτά σοι δῶρα καὶ ξένια καὶ κοινὰς ἀπαρχὰς προσφέροντος ἀπὸ φιλοσοφίας, ἅμα τῇ προθυμίᾳ καὶ τὴν χρείαν ἀπόδεξαι τῶν ἀπομνημονευμάτων, εἰ ὅρον ἔχει τινὰ πρὸς κατανόησιν ἠθῶν καὶ προαιρέσεων ἡγεμονικῶν, ἐμφαινομένων τοῖς

λόγοις

λόγοις μᾶλλον ἢ ταῖς πράξεσιν αὐτῶν. καί τοι καὶ βίους ἔχει τὸ σύνταγμα τῶν ἐπιφανεστάτων παρά τε Ῥωμαίοις καὶ παρ' Ἕλλησιν ἡγεμόνων καὶ νομοθετῶν καὶ αὐτοκρατόρων· ἀλλὰ τῶν μὲν πράξεων αἱ πολλαὶ τύχην ἀναμεμιγμένην ἔχουσιν, αἱ δὲ γενόμεναι παρὰ τὰ ἔργα καὶ τὰ πάθη, καὶ τὰς τύχας, ἀποφάσεις καὶ ἀναφωνήσεις, ὥσπερ ἐν κατόπτροις, καθαρῶς παρέχουσι τὴν ἑκάστου διάνοιαν ἀποθεωρεῖν. καὶ Σεισάμνης δὲ ὁ Πέρσης πρὸς τοὺς θαυμάζοντας ὅτι τῶν λόγων αὐτοῦ νοῦν ἐχόντων, αἱ πράξεις οὐ κατορθοῦνται, τῶν μὲν λόγων ἔφη κύριος αὐτὸς εἶναι, τῶν δὲ πράξεων τὴν τύχην μετὰ τοῦ βασιλέως. ἐκεῖ μὲν οὖν ἅμα αἱ ἀποφάσεις τῶν ἀνδρῶν τὰς πράξεις παρακειμένας ἔχουσαι, σχολάζουσαν φιληκοΐαν περιμένουσιν· ἐνταῦθα δὲ καὶ τοὺς λόγους αὐτοὺς καθ' αὐτοὺς, ὥσπερ δείγματα τῶν βίων καὶ σπέρματα συνειλεγμένους, οὐδὲν οἴομαί σοι τὸν καιρὸν ἐνοχλήσειν, ἐν βραχέσιν πολλῶν ἀναθεώρησιν ἀνδρῶν ἀξίων μνήμης γενομένων λαμβάνοντι.

Πέρσαι τῶν γρυπῶν ἐρῶσι, καὶ καλλίστους ὑπολαμβάνουσι, διὰ τὸ, Κῦρον, ἀγαπηθέντα μάλιστα τῶν βασιλέων, γεγονέναι γρυπὸν τὸ εἶδος. Ἔλεγε δὲ Κῦρος ἑτέροις ἀναγκάζεσθαι τἀγαθὰ πορίζειν τοὺς αὑτοῖς μὴ θέλοντας. ἄρχειν δὲ μηδενὶ προσήκειν ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων. Βουλομένους δὲ τοὺς Πέρσας ἀντὶ τῆς ἑαυτῶν, οὔσης ὀρεινῆς καὶ τραχείας, πεδιάδα καὶ μαλακὴν χώραν λαβεῖν, οὐκ εἴασεν, εἰπὼν ὅτι καὶ τῶν φυτῶν τὰ σπέρματα καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς χώραις συνεξομοιοῦνται.

Δαρεῖος ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων, ἔλεγεν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι φρονιμώτερος. Τοὺς δὲ φόρους τοῖς ὑπηκόοις τάξας, μετεπέμψατο τοὺς πρώτους τῶν ἐπαρχιῶν, καὶ περὶ τῶν φόρων ἠρώτησε μὴ βαρεῖς εἰσι· φησάντων δὲ μετρίως ἔχειν, ἐκέλευσε τελεῖν τοὺς ἡμίσεις ἕκαστον. Ῥοιὰν δὲ μεγάλην ἀνοίξας, πυθομένου τινὸς τί ἂν ἔχειν βούλοιτο

το τοσοῦτον, ὅσον ἐστὶ τῶν κόκκων τὸ πλῆθος, εἶπε Ζωπύρους, ἦν δ' ἀνὴρ ἀγαθὸς καὶ φίλος ὁ Ζώπυρος. Ἐπεὶ δ' αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυρος καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας, ἐξηπάτησε Βαβυλωνίους, καὶ πιστευθεὶς ὑπ' αὐτῶν παρέδωκε Δαρείῳ τὴν πόλιν, πολλάκις ὁ Δαρεῖος εἶπεν, οὐκ ἂν ἐθελῆσαι λαβεῖν ἑκατὸν Βαβυλῶνας, ἐπὶ τῷ μὴ Ζώπυρον ἔχειν ὁλόκληρον.

Σεμίραμις δ' ἑαυτῇ κατασκευάσασα τάφον, ἐπέγραψεν, ὅστις ἂν χρημάτων δεηθῇ βασιλεὺς, διελόντα τὸ μνημεῖον ὅσα βούλεται λαβεῖν. Δαρεῖος οὖν διελὼν, χρήματα μὲν οὐχ εὗρε, γράμμασι δ' ἑτέροις ἐνέτυχε τάδε φράζουσιν. εἰ μὴ κακὸς ἦσθ' ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.

Ξέρξῃ τοῦ Δαρείου περὶ τῆς βασιλείας ἀμφισβητῶν, ὁ ἀδελφὸς Ἀριμένης κατέβαινεν ἐκ τῆς Βακτριανῆς. ἔπεμψεν οὖν αὐτῷ δῶρα, φράσαι κελεύσας τοὺς διδόντας, τούτοις σε τιμᾷ νῦν Ξέρξης ὁ ἀδελφὸς, ἐὰν δὲ βασιλεὺς ἀναγορευθῇ, πάντων ἔσῃ παρ' αὐτῷ μέγιστος. ἀποδειχθέντος δὲ τοῦ Ξέρξου βασιλέως, ὁ μὲν Ἀριμένης εὐθὺς προσεκύνησε καὶ τὸ διάδημα περιέθηκεν, ὁ δὲ Ξέρξης ἐκείνῳ τὴν δευτέραν μεθ' αὑτὸν ἔδωκε τάξιν. Ὀργισθεὶς δὲ Βαβυλωνίοις ἀποστᾶσι, καὶ κρατήσας προσέταξεν ὅπλα μὴ φέρειν, ἀλλὰ ψάλλειν καὶ αὐλεῖν καὶ πορνοβοσκεῖν καὶ καπηλεύειν, καὶ φορεῖν κολπώδεις τοὺς χιτῶνας. Ἀττικὰς δ' ἰσχάδας οὐκ ἂν ἔφη φαγεῖν ὠνίους κομισθείσας, ἀλλ' ὅταν τὴν φέρουσαν κτήσηται χώραν. Ἕλληνας δὲ κατασκόπους ἐν τῷ στρατοπέδῳ λαβὼν, οὐδὲν ἠδίκησεν, ἀλλὰ τὴν στρατιὰν ἀδεῶς ἐπιδεῖν κελεύσας ἀφῆκεν.

Ἀρταξέρξης ὁ Ξέρξου ὁ μακρόχειρ προσαγορευθεὶς, διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν, ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν, βασιλικώτερόν ἐστι. πρῶτος δὲ πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους. πρῶτος δὲ τοῖς ἁμαρτάνουσι τῶν ἡγεμονικῶν τιμωρίαν ἔταξεν,

ἀντὶ

ἀντὶ τοῦ τὸ σῶμα μαστιγοῦν, μαστιγοῦσθαι μὲν ἀποδυσαμένων τὰ ἱμάτια, καὶ ἀντὶ τοῦ τὴν κεφαλὴν ἀποτίλλεσθαι, τὴν τιάραν ἀποθεμένων. Σατιβαρζάνην δὲ τὸν κατακοιμιστὴν αἰτούμενόν τι παρ' αὐτοῦ τῶν μὴ δικαίων, αἰσθόμενος ἐπὶ τρισμυρίοις δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους δαρεικοὺς κομίσαι, καὶ δοὺς αὐτῷ, λάβε, εἶπε, ὦ Σατιβαρζάνη, ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος, ἐκεῖνα δὲ πράξας, ἀδικώτερος.

Κῦρος ὁ νεώτερος τοὺς Λακεδαιμονίους συμμαχεῖν αὐτῷ παρακαλῶν, ἔλεγε, τοῦ ἀδελφοῦ καρδίαν ἔχειν βαρυτέραν, καὶ πλείονα πίνειν ἄκρατον αὐτοῦ, καὶ φέρειν βέλτιον, ἐκεῖνον δὲ μόλις ἐν ταῖς θήραις ἐπὶ τῶν ἵππων μένειν, ἐν δὲ τοῖς δεινοῖς μηδ' ἐπὶ τοῦ θρόνου. παρεκάλει δὲ ἀποστέλλειν ἄνδρας πρὸς αὐτόν, ἐπαγγελλόμενος τοῖς μὲν πεζοῖς ἵππους δώσειν, τοῖς δὲ ἵππους ἔχουσιν ἅρματα, τοῖς δὲ χωρία κεκτημένοις κώμας, τοὺς δὲ κώμας ἔχοντας, πόλεων κυρίους ποιήσειν, ἀργυρίου δὲ καὶ χρυσίου οὐκ ἀριθμόν, ἀλλὰ σταθμὸν ἔσεσθαι.

Ἀρταξέρξης ὁ τούτου μὲν ἀδελφὸς, μνήμων δὲ καλούμενος, οὐ μόνον τοῖς ἐντυγχάνουσιν ἑαυτὸν ἀνέδην παρεῖχεν, ἀλλὰ καὶ τὴν γυναῖκα τὴν γνησίαν, ἐκέλευε τῆς ἁρμαμάξης τὰς αὐλαίας περιελεῖν, ὅπως οἱ δεόμενοι κατὰ τὴν ὁδὸν ἐντυγχάνωσι. Πένητος δὲ ἀνθρώπου μῆλον ὑπερφυὲς μεγέθει προσενέγκαντος αὐτῷ, δεξάμενος ἡδέως νὴ τὸν Μίθραν εἶπεν, οὗτός μοι δοκεῖ καὶ πόλιν ἂν ἐκ μικρᾶς μεγάλην πιστευθεὶς ἀπεργάσασθαι. Ἐν δὲ φυγῇ τινι τῆς ἀποσκευῆς αὐτοῦ διαρπαγείσης, ξηρὰ σῦκα φαγὼν καὶ κρίθινον ἄρτον, οἵας εἶπεν ἡδονῆς ἄπειρος ἤμην.

Παρύσατις ἡ Κύρου καὶ Ἀρταξέρξου μήτηρ, ἐκέλευε τὸν βασιλέα μέλλοντα μετὰ παρρησίας διαλέγεσθαι, βυσίνοις χρῆσθαι ῥήμασι. Ὀρόντης ὁ βασιλέως Ἀρταξέρξου γαμβρὸς ἀτιμίᾳ περιπεσὼν δι' ὀργὴν, καὶ καταγνωσθεὶς ἔφη, καθάπερ οἱ τῶν ἀριθμητικῶν δάκτυλοι νῦν μὲν μυριάδας, νῦν δὲ μονά-

δα τιθέναι δύναται, τὸ αὐτὸ καὶ τοὺς τῶν βασιλέων φίλους, νῦν μὲν τὸ πᾶν δύνασθαι, νῦν δὲ τοὐλάχιστον.

Μέμνων ὁ Ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ Δαρείου τοῦ βασιλέως, μισθοφόρον τινὰ πολλὰ βλάσφημα καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρου λέγοντα, τῇ λόγχῃ πατάξας, ἐγώ σε εἶπε τρέφω μαχούμενον, ἀλλ' οὐ λοιδορούμενον Ἀλεξάνδρῳ. Οἱ Αἰγυπτίων βασιλεῖς κατὰ νόμον ἑαυτῶν τοὺς δικαστὰς ἐξώρκιζον, ὅτι κἂν βασιλεύς τι προστάξῃ κρῖναι τῶν μὴ δικαίων, οὐ κρινοῦσι.

Πόλτυς ὁ Θρακῶν βασιλεὺς ἐν τῷ Τρωϊκῷ πολέμῳ πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν Τρώων καὶ τῶν Ἀχαιῶν, ἐκέλευσε τὸν Ἀλέξανδρον ἀποδόντα τὴν Ἑλένην, δύο παρ' αὐτοῦ λαβεῖν καλὰς γυναῖκας. Τήρης ὁ Σιτάλκου πατὴρ ἔλεγεν ὁπότε σχολάζοι καὶ μὴ στρατεύοιτο, τῶν ἱπποκόμων οἴεσθαι μηδὲν διαφέρειν. Κότυς τῷ δωρησαμένῳ πάρδαλιν, ἀντεδωρήσατο λέοντα. Φύσει δὲ ὢν ὀξὺς εἰς ὀργὴν, καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστὴς, σκεύη ποτὲ κεράμεα κομίσαντος ξένου εὔθραυστα καὶ λεπτὰ, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ σκεύη πάντα συνέτριψεν, ὅπως εἶπε μὴ δι' ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας.

Ἰδάθυρσος ὁ Σκυθῶν βασιλεὺς ἐφ' ὃν διέβη Δαρεῖος, ἔπειθε τοὺς Ἰώνων τυράννους τὸ τοῦ Ἴστρου ζεῦγμα λύσαντας ἀπαλλάττεσθαι, μὴ βουληθέντας δὲ διὰ τὴν πρὸς Δαρεῖον πίστιν, ἀνδράποδα χρηστὰ καὶ ἄδραστα ἐκάλει. Ἀτέας ἔγραφε πρὸς τὸν Φίλιππον, σὺ μὲν ἄρχεις Μακεδόνων ἀνθρώπων μεμαθηκότων πολεμεῖν, ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμῷ καὶ δίψει μάχεσθαι δύνανται. Τοὺς δὲ πρέσβεις τοῦ Φιλίππου ψήχων τὸν ἵππον ἠρώτησεν, εἰ τοῦτο ποιεῖ Φίλιππος. Ἰσμηνίαν δὲ τὸν ἄριστον αὐλητὴν λαβὼν αἰχμάλωτον ἐκέλευσεν αὐλῆσαι, θαυμαζόντων δὲ τῶν ἄλλων, αὐτὸς ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος.

Σκί-

Σκίλυρος ὀγδοήκοντα παῖδας ἄῤῥενας ἀπολιπὼν, ἐπεὶ τελευτᾶν ἔμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων, ἐκέλευσε καταθραῦσαι, πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἐξελὼν ἀκόντιον ἅπαντα ῥαδίως συνέκλασε, διδάσκων ἐκείνους ὅτι συνεστῶτες, ἰσχυροὶ διαμενοῦσι, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ στασιάσαντες.

Γέλων ὁ τύραννος ὅτε καρχηδονίους πρὸς Ἱμέραν κατεπολέμησεν, εἰρήνην ποιούμενος πρὸς αὐτοὺς, ἠνάγκασεν ἐγγράψαι ταῖς ὁμολογίαις ὅτι καὶ τὰ τέκνα παύσονται τῷ Κρόνῳ καταθύοντες. Ἐξῆγε δὲ πολλάκις τοὺς συρακουσίους ὡς ἐπὶ στρατείαν καὶ φυτείαν, ὅπως ἥτε χώρα βελτίων γένηται γεωργουμένη, καὶ μὴ χείρονες αὐτοὶ σχολάζοντες. Αἰτῶν δὲ χρήματα τοὺς πολίτας, ἐπεὶ ἐθορύβησαν, αἰτεῖν εἶπεν ὡς ἀποδώσων, καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον. Ἐν δὲ συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσαγαγεῖν κελεύσας, ἐλαφρῶς καὶ ῥαδίως ἀνεπήδησεν ἐπ' αὐτόν.

Ἱέρων ὁ μετὰ Γέλωνα τύραννος, ἔλεγε μηδένα τῶν παῤῥησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι. τοὺς δὲ ἀπόῤῥητον λόγον ἐκφέροντας, ἀδικεῖν ᾤετο καὶ πρὸς οὓς ἐκφέρουσι. μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκφέροντας ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα. Λοιδορηθεὶς δὲ ὑπό τινος εἰς τὴν δυσωδίαν τοῦ στόματος, ᾐτιᾶτο τὴν αὐτοῦ γυναῖκα μηδέποτε περὶ τούτου φράσασαν. ἡ δὲ εἶπεν, ᾤμην γὰρ τοιοῦτον ἅπαντας τοὺς ἄνδρας ὄζειν. Πρὸς δὲ Ξενοφάνην τὸν κολοφώνιον εἰπόντα μόλις οἰκέτας δύο τρέφειν, ἀλλ' Ὅμηρος εἶπεν, ὃν σὺ διασύρεις, πλείονας ἢ μυρίους τρέφει τεθνηκώς. Ἐπίχαρμον δὲ τὸν κωμῳδοποιὸν ὅτι τῆς γυναικὸς αὐτοῦ παρούσης εἶπέ τι τῶν ἀπρεπῶν, ἐζημίωσε.

Διονύσιος ὁ πρεσβύτερος κληρουμένων κατὰ γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ μ, πρὸς τὸν εἰπόντα μωρολογεῖς Διονύσιε, μοναρχήσομεν οὖν εἶπε, καὶ δημηγορήσας εὐθὺς

ᾑρέθη στρατηγὸς ὑπὸ τῶν συρακουσίων. Ἐπεὶ δ' ἐν ἀρχῇ τῆς τυραννίδος ἐπολιορκεῖτο, συστάντων ἐπ' αὐτὸν τῶν πολιτῶν, οἱ μὲν φίλοι συνεβούλευον ἀπαλλαγῆναι τῆς ἀρχῆς, εἰ μὴ βούλεται κρατηθεὶς ἀποθανεῖν, ὁ δὲ βοῦν ἰδὼν σφαττόμενον ὑπὸ μαγείρου καὶ πίπτοντα ταχέως, εἶτα οὐκ ἀηδές ἐστιν εἶπεν οὕτω βραχείαν οὖσαν τὸν θάνατον φοβηθέντας ἡμᾶς ἀρχὴν ἐγκαταλιπεῖν τηλικαύτην; Τὸν δὲ υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν ἀπολιπεῖν ἔμελλεν, ἀνδρὸς ἐλευθέρου διαφθείραντα γυναῖκα, ἠρώτησε μετ' ὀργῆς τί τοιοῦτον αὐτῷ σύνοιδεν· εἰπόντος δὲ τοῦ νεανίσκου, σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον, οὐδὲ σὺ εἶπεν υἱὸν ἕξεις, ἐὰν μὴ παύσῃ ταῦτα ποιῶν. Πάλιν δὲ πρὸς αὐτὸν εἰσελθὼν καὶ θεασάμενος ἐκπωμάτων χρυσῶν καὶ ἀργυρῶν πλῆθος, ἀνεβόησεν, οὐκ ἔστιν ἐν σοὶ τύραννος, ὃς ἀφ' ὧν λαμβάνεις ἀπ' ἐμοῦ ποτηρίων τοσούτων φίλον οὐδένα σεαυτῷ πεποίηκας. Χρήματα δὲ εἰσπράσσων τοὺς συρακουσίους, εἶτα ὁρῶν ὀδυρομένους καὶ δεομένους καὶ λέγοντας ὡς οὐκ ἔχουσιν, ἐκέλευσεν ἕτερα πράττειν, καὶ δὶς ἢ τρὶς τοῦτο ἐποίησεν, ἐπεὶ δὲ προστάξας πλείονα γελᾶν ἤκουσεν αὐτοὺς καὶ σκώπτειν ἐν ἀγορᾷ περιιόντας, ἐκέλευσε παύσασθαι, νῦν γὰρ οὐδὲν ἔχουσιν εἶπεν ὅτε καταφρονοῦσιν ἡμῶν. Τῆς δὲ μητρὸς αὐτοῦ παρήλικος μὲν οὔσης, δοθῆναι δὲ ἀνδρὶ βουλομένης, ἔφη τοὺς μὲν τῆς πόλεως βιάσασθαι νόμους δύνασθαι, τοὺς δὲ τῆς φύσεως μὴ δύνασθαι. Πικρῶς δὲ τοὺς ἄλλους κακούργους κολάζων, ἐφείδετο τῶν λωποδυτῶν, ὅπως παύσωνται οἱ συρακούσιοι τοῦ δειπνεῖν καὶ μεθύσκεσθαι μετ' ἀλλήλων. Ξένου δέ τινος ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ καὶ διδάξειν, ὅπως προειδῇ τοὺς ἐπιβουλεύοντας ἐκέλευσεν εἰπεῖν, ἐπεὶ δὲ προσελθὼν δός εἶπέ μοι τάλαντον ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων, ἔδωκε προσποιούμενος ἀκηκοέναι, καὶ ἐθαύμαζε τὴν μέθοδον τοῦ ἀνθρώπου. Πρὸς δὲ τὸν πυθόμενον εἰ σχολάζοι, μηδέ ποτε εἶπεν ἐμοὶ τοῦτο συμβαίη. Δύο δὲ ἀκούσας νεανίσκους πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος

εἰρηκέναι παρὰ πότον, ἀμφοτέρους ἐκάλεσεν ἐπὶ δεῖπνον, ὁρῶν δὲ τὸν μὲν παροινοῦντα καὶ ληροῦντα πολλὰ, τὸν δὲ σπανίως καὶ μετ' εὐλαβείας ταῖς πόσεσι χρώμενον, ἐκεῖνον μὲν ἀπέλυσεν ὡς φύσει παροινήσαντα καὶ διὰ μέθην κακολογήσαντα, τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν καὶ πολέμιον ἐκ προαιρέσεως. Αἰτιωμένων δέ τινων ὅτι τιμᾷ καὶ προάγει πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν, ἀλλὰ καὶ βούλομαι εἶπεν εἶναι τὸν ἐμοῦ μᾶλλον μισούμενον. Ἐπεὶ δὲ Κορινθίων τοῖς πρέσβεσι δῶρα διδόντος αὐτοῦ παρῃτοῦντο διὰ τὸν νόμον, ὃς οὐκ εἴα δῶρα λαμβάνειν παρὰ δυνάστου πρεσβεύοντας, δεινὸν ἔφη πρᾶγμα ποιεῖν αὐτοὺς, ὃ μόνον αἱ τυραννίδες ἀγαθὸν ἔχουσιν ἀναιροῦντας καὶ διδάσκοντας, ὅτι τὸ εὖ παθεῖν ὑπὸ τυράννου φοβερόν ἐστιν. Ἀκούσας δέ τινα τῶν πολιτῶν χρυσίον ἔχειν οἴκοι κατορωρυγμένον, ἐκέλευσεν ἀνενεγκεῖν πρὸς αὐτὸν, ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος καὶ μεταστὰς εἰς ἑτέραν πόλιν, ἐωνήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν ἐκέλευσε πᾶν ἀπολαβεῖν κεχρημένον τῷ πλούτῳ, καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον.

Ὁ δὲ νεώτερος Διονύσιος ἔλεγε πολλοὺς τρέφειν σοφιστὰς οὐ θαυμάζων ἐκείνους, ἀλλὰ δι' ἐκείνων θαυμάζεσθαι βουλόμενος. Πολυξένου δὲ τοῦ διαλεκτικοῦ φήσαντος αὐτὸν ἐξελέγχειν, ἀμέλει τοῖς λόγοις εἶπεν, ἐγὼ δέ σε τοῖς ἔργοις ἐλέγχω, τὰ γὰρ σεαυτοῦ καταλιπὼν, ἐμὲ καὶ τὰ ἐμὰ θεραπεύεις. Ἐκπεσὼν δὲ τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα τί σε Πλάτων καὶ φιλοσοφία ὠφέλησε; τὸ τηλικαύτην ἔφη τύχης μεταβολὴν ῥαδίως ὑπομένειν. Ἐρωτηθεὶς δὲ, πῶς ὁ μὲν πατὴρ αὐτοῦ πένης ὢν καὶ ἰδιώτης ἐκτήσατο τὴν Συρακουσίων ἀρχὴν, αὐτὸς δὲ ἔχων καὶ τυράννου παῖς ὢν πῶς ἀπέβαλεν, ὁ μὲν πατὴρ ἔφη μισουμένης δημοκρατίας ἐπέστη τοῖς πράγμασιν, ἐγὼ δὲ φθονουμένης τυραννίδος. ὑπὸ ἄλλου δὲ τὸ αὐτὸ τοῦτο ἐρωτηθεὶς ὁ πατήρ ἔφη μοι τὴν τυραννίδα τὴν ἑαυτοῦ κατέλιπεν, οὐ τὴν τύχην.

Ἀγα-

Ἀγαθοκλῆς υἱὸς ὢν κεραμέως, γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθεὶς εἰώθει κεράμεα ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν, ὅτι τοιαῦτα ποιῶν πρότερον, καὶ νῦν ταῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν. Πολιορκοῦντος δὲ πόλιν αὐτοῦ τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦντο λέγοντες, ὅτι ὦ κεραμεῦ, τὸν μισθὸν πόθεν ἀποδώσεις τοῖς στρατιώταις, ὁ δὲ πρᾶος καὶ μειδιῶν εἶπεν, αἴκα ταύταν ἕλω, λαβὼν δὲ κατακράτος ἐπίπρασκε τοὺς αἰχμαλώτους λέγων, ἐάν με πάλιν λοιδορῆτε πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος. Ἐγκαλούντων δὲ τοῖς ναύταις αὐτοῦ τῶν Ἰθακησίων ὅτι τῇ νήσῳ προσβαλόντες, τῶν θρεμμάτων τινὰ ἀπέσπασαν, ὁ δὲ ὑμέτερος ἔφη βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς οὐ μόνον τὰ πρόβατα λαβών, ἀλλὰ καὶ τὸν ποιμένα προσεκτυφλώσας ἀπῆλθε.

Δίων ὁ Διονύσιον ἐκβαλὼν ἐκ τῆς τυραννίδος, ἀκούσας ἐπιβουλεύειν αὐτῷ Κάλιππον, ᾧ μάλιστα τῶν φίλων καὶ ξένων ἐπίστευεν, οὐχ ὑπέμεινεν ἐλέγξαι, βέλτιον εἶναι φήσας ἀποθανεῖν ἢ ζῆν, μὴ μόνον τοὺς πολεμίους, ἀλλὰ καὶ τοὺς φίλους φυλαττόμενον.

Ἀρχέλαος αἰτηθεὶς παρὰ πότον ποτήριον χρυσοῦν ὑπό τινος τῶν συνήθων οὐ μάλα ἐπιεικῶν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι· θαυμάσαντος δὲ τοῦ ἀνθρώπου, σὺ μὲν γὰρ εἶπεν αἰτεῖν, οὗτος δὲ λαμβάνειν ἄξιός ἐστι καὶ μὴ αἰτῶν. Ἀδολέσχου δὲ κουρέως ἐρωτήσαντος αὐτὸν πῶς σε κείρω, σιωπῶν ἔφη. Τοῦ δὲ Εὐριπίδου τὸν καλὸν Ἀγάθωνα περιλαμβάνοντος ἐν τῷ συμποσίῳ καὶ καταφιλοῦντος ἤδη γενειῶντα, πρὸς τοὺς φίλους εἶπε, μὴ θαυμάσητε, τῶν γὰρ καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν. Ἐπεὶ δὲ Τιμόθεος ὁ κιθαρῳδὸς ἐλπίσας πλείονα, λαβὼν δὲ ἐλάττονα δῆλος ἦν ἐγκαλῶν αὐτῷ, καί ποτε ᾄδων τουτὶ τὸ κομμάτιον, σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς, ἀπεσήμαινεν εἰς ἐκεῖνον, ὑπεκρούσεν ὁ Ἀρχέλαος αὐτῷ, σὺ δέ γε αἰτεῖς. ὕδωρ

δέ τινος αὐτοῦ κατασκεδάσαντος, ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τὸν ἄνθρωπον, ἀλλ᾽ οὐκ ἐμοῦ φησὶν, ἀλλ᾽ ἐκείνου κατεσκέδασεν, ὃν ἔδοξεν ἐμὲ εἶναι.

Φίλιππον τὸν Ἀλεξάνδρου πατέρα Θεόφραστος ἱστόρηκεν, οὐ μόνον μεταξὺ τῶν βασιλέων, ἀλλὰ καὶ τῇ τύχῃ καὶ τῷ τρόπῳ μείζονα γενέσθαι καὶ μετριώτερον. Ἀθηναίους μὲν οὖν μακαρίζων ἔλεγεν, εἰ καθ᾽ ἕκαστον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν, αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι Παρμενίωνα. Πολλῶν δὲ κατορθωμάτων αὐτῷ καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων, ὦ τύχη εἶπε, μικρόν τί μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον. Ἐπεὶ δὲ νικήσαντι τοὺς Ἕλληνας αὐτῷ συνεβούλευον ἔνιοι φρουραῖς τὰς πόλεις κατέχειν, ἔφη μᾶλλον πολὺν χρόνον ἐθέλειν χρηστὸς ἢ δεσπότης ὀλίγον καλεῖσθαι. Τὸν δὲ λοίδορον ἐξελάσαι τῶν φίλων κελευόντων, οὐκ ἔφη ποιήσειν, ἵνα μὴ περιιὼν ἐν πλείοσι κακῶς λέγῃ. Σμικύθου δὲ Νικάνορα διαβάλλοντος ὡς ἀεὶ κακῶς λέγοντα τὸν Φίλιππον, καὶ τῶν ἑταίρων οἰομένων δεῖν μεταπέμπεσθαι καὶ κολάζειν, ἀλλὰ μὴν ἔφη Νικάνωρ, οὐ φαυλότατός ἐστι μακεδόνων, ἐπισκεπτέον οὖν μή τι γένηται παρ᾽ ἡμᾶς· ὡς οὖν ἔγνω τὸν Νικάνορα θλιβόμενον ἰσχυρῶς ὑπὸ πενίας, ἠμελημένον δὲ ὑπ᾽ αὐτοῦ, προσέταξε δωρεάν τινα αὐτῷ δοθῆναι. Πάλιν οὖν τοῦ Σμικύθου λέγοντος, ὅτι θαυμαστὰ περὶ αὐτοῦ πρὸς ἅπαντας ἐγκώμια λέγων ὁ Νικάνωρ διατελεῖ, ὁρᾶτε οὖν εἶπεν ὅτι πρὸς ἡμᾶς αὐτούς ἐστι καὶ τὸ καλῶς, καὶ τὸ κακῶς ἀκούειν; Τοῖς δὲ τῶν Ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν βελτίονα ποιοῦσι, καὶ τῷ λόγῳ καὶ τῷ ἤθει. πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν. Τῶν δὲ Ἀθηναίων ὅσοι περὶ Χαιρώνειαν ἑάλωσαν, ἀφεθέντων ὑπ᾽ αὐτοῦ δίχα λύτρων, τὰ δὲ ἱμάτια καὶ στρώματα προσαπαιτούντων, καὶ τοῖς μακεδόσιν ἐγκαλούντων, γελάσας ὁ Φίλιππος εἶπεν, οὐ δοκοῦσιν ὑμῖν Ἀθηναῖοι νομίζειν

ἐν ἀστραγάλοις ὑφ' ἡμῶν νενικῆσθαι; Τῆς δὲ κλειδὸς αὐτοῦ καταγείσης ἐν πολέμῳ, καὶ τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ' ἡμέραν αἰτοῦντος, λάμβανε ἔφη ὅσα βούλει, τὴν γὰρ κλεῖν ἔχεις. Δυεῖν δὲ ἀδελφοῖν Ἀμφοτέρου καὶ Ἑκατέρου, τὸν μὲν Ἑκατέρον ἔμφρονα καὶ πρακτικὸν ὁρῶν, τὸν δὲ Ἀμφότερον εὐήθη καὶ ἀβέλτερον, ἔφη, τὸν μὲν Ἑκατέρον, ἀμφότερον εἶναι, τὸν δὲ Ἀμφότερον, οὐδέτερον. Τοὺς δὲ συμβουλεύοντας αὐτῷ πικρῶς χρῆσθαι τοῖς Ἀθηναίοις, ἀτόπους ἔλεγεν εἶναι, κελεύοντας ἄνθρωπον ὑπὲρ δόξης πάντα ποιοῦντα καὶ πάσχοντα, ἀποβαλεῖν τὸ τῆς δόξης θέατρον. Γενόμενος δὲ κριτὴς δυεῖν πονηροῖν, ἐκέλευσε τὸν μὲν φεύγειν ἐκ Μακεδονίας, τὸν δὲ ἕτερον διώκειν. Μέλλων δὲ καταστρατοπεδεύειν ἐν χωρίῳ καλῷ, καὶ πυθόμενος ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις, οἷος εἶπεν ἡμῶν ὁ βίος ἐστὶν, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν. Φρούριον δέ τι βουλόμενος λαβεῖν ὀχυρὸν, ὡς ἀπήγγειλαν οἱ κατάσκοποι χαλεπὸν εἶναι παντάπασι καὶ ἀνάλωτον, ἠρώτησεν εἰ χαλεπὸν οὕτως ἐστὶν ὥστε μηδὲ ὄνον προσελθεῖν χρυσίον κομίζοντα. Τῶν δὲ περὶ Λασθένην τὸν Ὀλύνθιον ἐγκαλούντων καὶ ἀγανακτούντων, ὅτι προδότας αὐτοὺς ἔνιοι τῶν περὶ τὸν Φίλιππον ἀποκαλοῦσι, σκαιοὺς ἔφη φύσει καὶ ἀγροίκους εἶναι Μακεδόνας, καὶ τὴν σκάφην σκάφην λέγοντας. Τῷ δ' υἱῷ παρῄνει πρὸς χάριν ὁμιλεῖν τοῖς Μακεδόσι κτώμενον ἑαυτῷ τὴν παρὰ τῶν πολλῶν δύναμιν, ἕως ἔξεστι, βασιλεύοντος ἄλλου, φιλάνθρωπον εἶναι. συνεβούλευε δὲ τῶν ἐν ταῖς πόλεσι δυνατῶν, καὶ τοὺς ἀγαθοὺς φίλους κτᾶσθαι καὶ τοὺς πονηροὺς, εἶτα οἷς μὲν χρῆσθαι, οἷς δ' ἀποχρῆσθαι. Πρὸς δὲ Φίλωνα τὸν Θηβαῖον εὐεργέτην αὐτοῦ γενόμενον καὶ ξένον, ὁπηνίκα διῆγεν ἐν Θήβαις ὁμηρεύων, ὕστερον δὲ μηδεμίαν παρ' αὐτοῦ δωρεὰν προσδεχόμενον, μή με εἶπεν ἀφαιροῦ τὸ ἀνίκητον εὐεργεσίας καὶ χάριτος ἡττώμενον. Ληφθέντων δὲ πολλῶν αἰχμαλώτων ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς. εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε, φεῖσαί μου

Φίλιππε, πατρικὸς γάρ εἰμί σου φίλος. ἐρωτήσαντος δὲ τοῦ Φιλίππου πόθεν ὦ ἄνθρωπε γενόμενος καὶ πῶς, ἐγγὺς ἔφη φράσαι σοι βούλομαι προσελθών· ὡς οὖν προσήχθη, μικρὸν ἔφη κατωτέρω τὴν χλαμύδα ποίησον, ἀσχημονεῖς γὰρ οὕτω καθήμενος· καὶ ὁ Φίλιππος ἄφετε αὐτὸν εἶπεν, ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανεν. Ἐπεὶ δὲ ὑπό τινος ξένου κληθεὶς ἐπὶ δεῖπνον ἐν ὁδῷ πολλοὺς ἐπήγετο, καὶ τὸν ξένον ἑώρα θορυβούμενον (ἦν γὰρ οὐχ ἱκανὰ τὰ παρεσκευασμένα) προπέμπων τῶν φίλων ἑκάστῳ πλακοῦντι χώραν ἐκέλευεν ἀπολιπεῖν, οἱ δὲ πειθόμενοι καὶ προσδοκῶντες, οὐκ ἤσθιον πολλὰ, καὶ πᾶσιν οὕτως ἤρκεσεν. Ἱππάρχου τοῦ Εὐβοέως ἀποθανόντος, δῆλος ἦν βαρέως φέρων· εἰπόντος δέ τινος, ἀλλὰ μὴν ὡραῖος ὢν ἐκεῖνος ἀποτέθνηκεν, ἑαυτῷ γε εἶπεν, ἐμοὶ δὲ ταχέως, ἔφθη γὰρ τελευτῆσαι πρὶν ἢ παρ' ἐμοῦ χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν. Πυθόμενος δ' ἐγκαλεῖν αὐτῷ τὸν Ἀλέξανδρον, ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν, οὐκοῦν ἔφη πολλοὺς ἔχων περὶ τῆς βασιλείας ἀνταγωνιστὰς, γενοῦ καλὸς κἀγαθὸς, ἵνα μὴ δι' ἐμὲ τῆς βασιλείας τύχῃς, ἀλλὰ διὰ σεαυτόν· ἐκέλευε δ' αὐτὸν Ἀριστοτέλει προσέχειν καὶ φιλοσοφεῖν, ὅπως ἔφη μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ' οἷς ἐγὼ πεπραγμένοις μεταμέλομαι. Τῶν δὲ Ἀντιπάτρου φίλων τινὰ καταττάξας εἰς τοὺς δικαστὰς, εἶτα τὸν πώγωνα βαπτόμενον αἰσθανόμενος καὶ τὴν κεφαλὴν, ἀνέστησεν εἰπὼν, τὸν ἄπιστον ἐν θριξὶ μὴ νομίζειν ἀξιόπιστον ἐν πράγμασι.

Μαχαίτᾳ δέ τινι κρίνων δίκην καὶ ὑπονυστάζων, οὐ πάνυ προσεῖχε τοῖς δικαίοις, ἀλλὰ κατέκρινε, ἐκείνου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι τὴν κρίσιν, διοργισθεὶς, ἐπὶ τίνα εἶπε; καὶ ὁ Μαχαίτας ἐπὶ σὲ βασιλεῦ αὐτὸν, ἂν ἐγρηγόρως καὶ προσέχων ἀκούῃς· τότε μὲν οὖν ἀνέστη, γενόμενος δὲ μᾶλλον ἐφ' ἑαυτὸν, καὶ γνοὺς ἀδικούμενον τὸν Μαχαίταν, τὴν μὲν κρίσιν οὐκ ἔλυσε, τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισεν. Ἐπεὶ δὲ Ἅρπαλος ὑπὲρ συγγε-

γένους καὶ οἰκείου Κράτητος ἀδικημάτων δίκην ἔχοντος, ἠξίου τὴν ζημίαν εἰσενεγκεῖν, ἀφεθῆναι δὲ τῆς κρίσεως, ἵνα μὴ λοιδορηθῇ, βέλτιόν ἐστιν, εἶπε, τοῦτον αὐτὸν ἢ ἡμᾶς διὰ τοῦτον κακῶς ἀκούειν. Ἀγανακτούντων δὲ τῶν φίλων ὅτι συρίττουσιν αὐτὸν ἐν ὀλυμπίοις εὖ πεπονθότες οἱ Πελοποννήσιοι, τί οὖν εἶπεν ἐὰν κακῶς πάθωσι; Κοιμηθεὶς δὲ πλείονα χρόνον ἐπὶ στρατείας, εἶτα διαναστάς, ἀσφαλῶς εἶπεν ἐκάθευδον, Ἀντίπατρος γὰρ ἐγρηγόρει. Πάλιν δὲ ἡμέρας καθεύδοντος αὐτοῦ καὶ τῶν ἠθροισμένων ἐπὶ θύραις ἑλλήνων ἀγανακτούντων καὶ ἐγκαλούντων, ὁ Παρμενίων μὴ θαυμάσητε, εἶπεν, καθεύδει νῦν Φίλιππος. ὅτε γὰρ ἐκαθεύδετε ὑμεῖς, οὗτος ἐγρηγόρει. Ψάλτην δέ τινα βουλομένου παρὰ δεῖπνον ἐπανορθοῦν αὐτοῦ καὶ λαλεῖν περὶ κρουμάτων, ὁ ψάλτης μὴ γένοιτό σοι εἶπεν κακῶς οὕτως ὦ βασιλεῦ, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς. Ἐπεὶ δὲ διενεχθέντος αὐτοῦ πρὸς Ὀλυμπιάδα τὴν γυναῖκα καὶ τὸν υἱόν, ἧκε Δημάρατος ὁ κορίνθιος, ἐπυνθάνετο πῶς πρὸς ἀλλήλους ἔχουσιν οἱ ἕλληνες, καὶ ὁ Δημάρατος πάνυ γοῦν, ἔφη, σοὶ περὶ τῆς τῶν ἑλλήνων ὁμονοίας ὁ λόγος ἐστίν, οὕτω πρὸς σὲ τῶν οἰκειοτάτων ἐχόντων. ὁ δὲ, συμφρονήσας, ἐπαύσατο τῆς ὀργῆς καὶ διηλλάγη πρὸς αὐτούς. Πρεσβύτιδος δὲ πενιχρᾶς ἀξιούσης ἐπ' αὐτοῦ κριθῆναι καὶ πολλάκις ἐνοχλούσης, ἔφη μὴ σχολάζειν, ἡ δὲ πρεσβῦτις ἐγκραγοῦσα, καὶ μὴ βασίλευε, εἶπεν. ὁ δὲ θαυμάσας τὸ ῥηθὲν, οὐ μόνον ἐκείνης, ἀλλὰ καὶ τῶν ἄλλων εὐθὺς διήκουσεν.

Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας, ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει· τῶν δὲ παίδων λεγόντων ὅτι ταῦτα σοὶ κτᾶται, τί δὲ ὄφελος εἶπεν, ἐὰν ἔχω μὲν πολλά, πράξω δὲ οὐδέν; Ἐλαφρὸς δὲ ὢν καὶ ποδώκης καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς ὀλύμπια δραμεῖν στάδιον, εἴγε ἔφη βασιλεῖς ἕξειν ἔμελλον ἀνταγωνιστάς. Ἀχθείσης δὲ παιδίσκης πρὸς αὐτὸν ὡς συναναπαυσομένης περὶ ἑσπέραν βαθεῖαν, ἠρώτησεν ὅτι τη-

νικαῦτα ; τῆς δὲ εἰπούσης, περιμένον γὰρ τὸν ἄνδρα κατακλῖναι, πικρῶς ἐπετίμησε τοῖς παισὶ, ὡς μικροῦ δι' αὐτοὺς μοιχὸς γενόμενος. Ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης ὁ παιδαγωγὸς, οὕτως εἶπεν, ὦ παῖ δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς. ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτὸν, ἀπέσταλκά σοι τάλαντα ἑκατὸν λιβανωτοῦ καὶ κασίας, ἵνα μηκέτι μικρολογῇ πρὸς τοὺς θεοὺς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν. Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι, παρεκάλει τοὺς μακεδόνας ἀφθόνως δειπνεῖν, καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας ἐκ τῶν πολεμίων. Περίλλου δέ τινος φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν, αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα, σοί γε ἔφη λαβεῖν, ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι. Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν, ὅσον ἂν αἰτήσῃ, τοῦ δὲ διοικητοῦ φήσαντος ὡς ἑκατὸν αἰτεῖται τάλαντα, καλῶς ἔφη ποιεῖ, γινώσκων ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον. Ἐν δὲ τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος, ὀλύμπια καὶ πύθια νενικηκότων, καὶ ποῦ τὰ τηλικαῦτα ἦν σώματα ἔφη, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν; Τῆς δὲ τῶν Καρῶν βασιλίσσης Ἄδας, ὄψα καὶ πέμματα παρεσκευασμένα περιττῶς διὰ δημιουργῶν καὶ μαγείρων φιλοτιμουμένης ἀεὶ πέμπειν πρὸς αὐτὸν, ἔφη κρείττονας ἔχειν αὐτὸς ὀψοποιοὺς, πρὸς μὲν ἄριστον, τὴν νυκτοπορίαν, πρὸς δὲ δεῖπνον, τὴν ὀλιγαριστίαν. Ἐπεὶ δὲ παρεσκευασμένων πάντων πρὸς μάχην, ἠρώτησαν οἱ στρατηγοὶ μή τι πρὸς τούτοις ἕτερον; οὐδὲν εἶπεν, ἢ ξυρᾶν τὰ γένεια τῶν μακεδόνων. θαυμάσαντος δὲ τοῦ Παρμενίωνος, οὐκ οἶδας εἶπεν ὅτι βελτίων οὐκ ἔστιν ἐν μάχῃ λαβὴ πώγωνος; Δαρείου διδόντος αὐτῷ μυρία τάλαντα καὶ τὴν Ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης, καὶ Παρμενίωνος εἰπόντος, ἔλαβον ἂν εἰ Ἀλέξανδρος ἤμην, κἀγὼ νὴ

δία

δ' ἂν εἶπεν, εἰ Παρμενίων ἤμην. ἀπεκρίνατο δὲ Δαρείῳ μήτε τὴν γῆν ἡλίους δύο, μήτε τὴν ἀσίαν δύο βασιλεῖς ὑπομένειν. Μέλλοντι δὲ αὐτῷ περὶ τῶν ὅλων ἐν Ἀρβήλοις κινδυνεύειν πρὸς ἑκατὸν μυριάδας ἀντιτεταγμένας, προσήεσαν οἱ φίλοι τῶν στρατιωτῶν, κατηγοροῦντες ὡς ἐν ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν ἀλλ' αὐτοὶ κερδανοῦσιν, ὁ δὲ μειδιάσας ἀγαθά φησιν ἀγγέλλετε, νικᾶν γὰρ ἀνδρῶν οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς. καὶ προσιόντες αὐτῷ πολλοὶ τῶν στρατιωτῶν ἔλεγον, ὦ βασιλεῦ, θάρρει καὶ μὴ φοβοῦ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸν γὰρ ἡμῶν τὸν γράσον οὐχ ὑπομενοῦσι.

Παραταττομένου δὲ τοῦ στρατεύματος, ἰδὼν τινὰ τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον, ἐξέωσε τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς παρασκευάζεται δὴ νῦν ὅτε δεῖ χρῆσθαι τοῖς ὅπλοις. Ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων ἀπορρήτους λόγους κατ' Ἀντιπάτρου καὶ διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος ὥσπερ εἰώθει συναναγινώσκοντος, οὐκ ἐκώλυσεν, ὡς δὲ ἀνέγνω τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἀπέθηκεν. Ἐν δὲ Ἄμμωνος ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθείς, οὐδέν γε ἔφη θαυμαστόν, πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ δὲ ποιεῖται τοὺς ἀρίστους. Τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ, τουτὶ μὲν αἷμα εἶπεν, ὡς ὁρᾶτε καὶ οὐκ ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν. Ἐπαινούντων δὲ ἐνίων τοῦ Ἀντιπάτρου τὴν εὐτέλειαν ὡς ἀθρύπτως διαιτωμένου καὶ αὐστηρῶς, ἔξωθεν εἶπεν Ἀντίπατρος λευκοπάρυφός ἐστι, τὰ δὲ ἔνδον ὁλοπόρφυρος. Ἐν δὲ χειμῶνι καὶ ψύχει τῶν φίλων τινὸς ἑστιῶντος αὐτόν, ἐσχάραν δὲ μικρὰν καὶ πῦρ ὀλίγον εἰσενέγκαντος, ἢ ξύλα ἢ λιβανωτὸν εἰσενεγκεῖν ἐκέλευσεν. Ἀντιπατρίδου δὲ καλὴν ψάλτριαν ἐπὶ τὸ δεῖπνον ἀγαγόντος, κινηθεὶς τῇ ὄψει πρὸς αὐτὴν ὁ Ἀλέ-

ξαν-

ξανδρος, ἠρώτησε τὸν Ἀντιπατρείδην μή τι τυγχάνει τῆς γυναικὸς ἐρῶν, ἐκείνου δὲ ὁμολογήσαντος, ὦ μιαρὲ εἶπεν, οὐκ ἀπάξεις εὐθὺς ἐκ τοῦ συμποσίου τὴν γυναῖκα; Πάλιν δὲ Πύθωνα τὸν Εὐίου τοῦ αὐλητοῦ ἐρώμενον Κάσανδρος ἐβιάζετο φιλῆσαι· τὸν οὖν Εὔιον ὁρῶν ἀχθόμενον, ἀνεπήδησε μετ' ὀργῆς ἐπὶ τὸν Κάσανδρον κεκραγώς, ἀλλ' οὐδ' ἐρασθῆναί τινος ἔξεστιν δι' ἡμᾶς. Ἀποστέλλοντος δὲ αὐτοῦ τῶν μακεδόνων τοὺς νοσώδεις καὶ ἀναπήρους ἐπὶ θάλασσαν, ἐνεδείχθη τὶς εἰς τοὺς νοσοῦντας ἀπογεγραμμένος ἑαυτὸν οὐ νοσῶν· ἐπεὶ οὖν εἰς ὄψιν ἀχθεὶς καὶ ἀνακρινόμενος ὡμολόγησε προφασίζεσθαι δι' ἔρωτα Τελεσίππης ἀπιούσης ἐπὶ θάλασσαν, ἠρώτησεν ὁ Ἀλέξανδρος πρὸς τίνα δὴ περὶ τῆς Τελεσίππης διαλέγεσθαι, πυθόμενος δὲ ἐλευθέραν οὖσαν, οὐκοῦν ἔφη ὦ Ἀντιγένη πείθωμεν τὴν Τελεσίππαν ἵνα μείνῃ μεθ' ἡμῶν, βιάζεσθαι γὰρ ἐλευθέραν οὖσαν, οὐχ ἡμέτερον. Τῶν δὲ μισθοφορούντων ἑλλήνων παρὰ τοῖς πολεμίοις ὑποχειρίων γενομένων, τοὺς μὲν Ἀθηναίους ἐκέλευσεν ἐν πέδαις φυλάττειν ὅτι τροφὴν ἔχοντες ἐκ δημοσίου μισθοφοροῦσι, καὶ τοὺς Θετταλοὺς ὅτι τὴν ἀρίστην κεκτημένοι οὐ γεωργοῦσι, τοὺς δὲ Θηβαίους ἀφῆκεν εἰπών, ὅτι μόνοις τούτοις οὔτε πόλις οὔτε χώρα δι' ἡμᾶς ἀπολέλειπται. Τῶν δὲ Ἰνδῶν τὸν ἄριστα τοξεύειν δοκοῦντα καὶ λεγόμενον διὰ δακτυλίου τὸν ὀϊστὸν ἀφιέναι, λαβὼν αἰχμάλωτον ἐκέλευσε ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέταξε. ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας ὅτι πολλῶν ἡμερῶν οὐ μεμελέτηκε καὶ ἐφοβήθη διαπεσεῖν, ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε καὶ ἀπέλυσε μετὰ δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἢ τῆς δόξης ἀνάξιος φανῆναι. Ἐπεὶ δὲ Ταξίλης εἷς τῶν Ἰνδῶν βασιλεὺς ὢν ἀπαντήσας προὐκαλεῖτο μὴ μάχεσθαι μηδὲ πολεμεῖν Ἀλέξανδρον, ἀλλ' εἰ μὲν ἐστιν ἥττων, εὖ πάσχειν, εἰ δὲ βελτίων, εὖ ποιεῖν, ἀπεκρίνατο περὶ αὐτοῦ τούτου μαχητέον εἶναι, πότερος εὖ ποιῶν περιγένηται. Περὶ δὲ τῆς λεγομένης ἀόρνου πέτρας ἐν

Ἰν-

Ἰνδοῖς ἀκούσας ὅτι τὸ μὲν χωρίον δυσάλωτόν ἐστιν, ὁ δὲ ἔχων αὐτὸ δειλός ἐστιν, νῦν ἔφη τὸ χωρίον εὐάλωτόν ἐστιν. Ἐπεὶ δὲ ἄλλος ἔχων πέτραν ἄληπτον δοκοῦσαν εἶναι ἐνεχείρισεν ἑαυτὸν μετὰ τῆς πέτρας τῷ Ἀλεξάνδρῳ, καὶ τῆς δυνάμεως ἐκέλευσεν ἄρχειν, καὶ προσέθηκε χώραν εἰπὼν, ὅτι φρονεῖν μοι δοκεῖ ὁ ἄνθρωπος ἀνδρὶ μᾶλλον ἀγαθῷ πιστεύσας ἑαυτὸν, ἢ ὀχυρῷ τόπῳ. μετὰ δὲ τὴν τῆς πέτρας ἅλωσιν τῶν φίλων λεγόντων ὑπερβεβληκέναι τὸν Ἡρακλέα ταῖς πράξεσιν, ἀλλ' ἐγὼ εἶπε τὰς ἐμὰς πράξεις μετὰ τῆς ἡγεμονίας, ἑνὸς οὐ νομίζω ῥήματος ἀνταξίας εἶναι τοῦ Ἡρακλέους. Τῶν δὲ φίλων τινὰς αἰσθόμενος ἐν τῷ κυβεύειν οὐ παίζοντας ἐζημίωσε. Τῶν δὲ πρώτων φίλων καὶ κρατίστων, τιμᾶν μὲν ἐδόκει Κρατερὸν μάλιστα πάντων, φιλεῖν δὲ Ἡφαιστίωνα. Κρατερὸς μὲν γὰρ ἔφη φιλοβασιλεύς ἐστι, Ἡφαιστίων δὲ φιλαλέξανδρος. Ξενοκράτει δὲ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο, μὴ δεῖσθαι φήσας, ἠρώτησεν εἰ μὴ δὲ φίλον ἔχει Ξενοκράτης, ἐμοὶ μὲν γὰρ ἔφη μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν. Ἐπεὶ δὲ Πῶρος ἐρωτηθεὶς ὑπ' αὐτοῦ μετὰ τὴν μάχην, πῶς σοι χρήσομαι, βασιλικῶς εἶπε, καὶ προσερωτηθεὶς καὶ μή τι ἄλλο, πάντα εἶπεν ἐν τῷ βασιλικῶς ἔνεστι, θαυμάσας καὶ τὴν σύνεσιν αὐτοῦ καὶ τὴν ἀνδραγαθίαν, πλείονα χώραν ἧς πρότερον εἶχε προσέθηκε. Πυθόμενος δὲ ὑπό τινος λοιδορεῖσθαι, βασιλικὸν ἔφη ἐστὶν εὖ ποιοῦντα κακῶς ἀκούειν. Ἀποθνήσκων δὲ, πρὸς τοὺς ἑταίρους ἰδὼν ἔφη μέγαν ὁρῶ μου τὸν ἐπιτάφιον ἐσόμενον. Τελευτήσαντος δὲ αὐτοῦ, Δημάδης ὁ ῥήτωρ ὅμοιον ἔφη διὰ τὴν ἀναρχίαν ὁρᾶσθαι τὸ στρατόπεδον τῶν μακεδόνων ἐκτετυφλωμένῳ τῷ κύκλωπι.

Πτολεμαῖος ὁ Λάγου τὰ πολλὰ παρὰ τοῖς φίλοις ἐδείπνει καὶ ἐκάθευδεν, εἰ δέ ποτε δειπνίζοι τοῖς ἐκείνων ἐχρῆτο μεταπεμπόμενος ἐκπώματα καὶ στρώματα καὶ τραπέζας, αὐτὸς δὲ οὐκ ἐκέκτητο πλείω τῶν ἀναγκαίων, ἀλλὰ τοῦ πλουτεῖν ἔλεγε τὸ πλουτίζειν εἶναι βασιλικώτερον.

Ἀν-

Ἀντίγονος εἰσέπραττε χρήματα συντόνως, εἰπόντος δέ τινος, ἀλλ' οὐκ Ἀλέξανδρος ἦν τοιοῦτος, εἰκότως εἶπεν, ἐκεῖνος μὲν γὰρ ἐθέριζε τὴν Ἀσίαν, ἐγὼ δὲ καλαμῶμαι. Τῶν δὲ στρατιωτῶν ἰδών τινας ἐν τοῖς θώραξι καὶ τοῖς κράνεσι σφαιρίζοντας, ἥσθη, καὶ τοὺς ἡγεμόνας αὐτῶν μετεπέμπετο, ἐπαινέσαι βουλόμενος. ὡς δὲ ἤκουσεν ὅτι πίνουσιν, τὰς ἐκείνων ἡγεμονίας τοῖς στρατιώταις ἔδωκε. Θαυμαζόντων δὲ πάντων ὅτι γέρων γενόμενος ἠπίως ἐχρῆτο καὶ πράως τοῖς πράγμασι, πρότερον μὲν γὰρ εἶπε δυνάμεως ἐδεόμην, νῦν δὲ δόξης καὶ εὐνοίας. Πρὸς δὲ τὸν υἱὸν Φίλιππον πυθόμενον πλειόνων πρόντων, πότε μέλλομεν ἀναζευγνύναι, τί δέδοικας εἶπε, μὴ μόνος τῆς σάλπιγγος οὐκ ἀκούσῃς; Σπουδάσαντος δὲ τοῦ νεανίσκου λαβεῖν κατάλυσιν παρὰ γυναικὶ χήρᾳ τρεῖς ἐχούσῃ θυγατέρας εὐπρεπεῖς, καλέσας τὸν ἐπὶ τῶν ξενίων εἶπεν οὐκ ἐξάξεις μου τὸν υἱὸν ἐκ τῆς στενοχωρείας; Νοσήσας δὲ μικρὰν νόσον, ὡς ἀνέῤῥωσεν, οὐδὲν ἔφη χεῖρον, ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μεγαφρονεῖν ὡς ὄντας θνητούς.

Ἑρμοδότου δὲ αὐτὸν ἐν τοῖς ποιήμασιν ἡλίου παῖδα γράψαντος, οὐ ταῦτά μοι ἔφη σύνοιδεν ὁ λασανοφόρος. Εἰπόντος δέ τινος ὅτι πάντα καλὰ καὶ δίκαια τοῖς βασιλεῦσι, ναὶ μὰ Δία εἶπεν, τοῖς τῶν βαρβάρων, ἡμῖν δὲ μόνα καλὰ, τὰ καλὰ, καὶ μόνα δίκαια τὰ δίκαια. Μαρσύου τοῦ ἀδελφοῦ δίκην ἔχοντος, ἀξιοῦντος δὲ τὴν κρίσιν αὐτῷ γενέσθαι κατ' οἰκίαν, ἔσται μὲν οὖν εἶπεν ἐν τῇ ἀγορᾷ, καὶ πάντων ἀκουόντων εἰ μηδὲν ἀδικοῦμεν. Ἐπεὶ δέ ποτε χειμῶνος ἐν τόποις σπανίζουσι τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι, καὶ τῶν στρατιωτῶν τινὲς ἐλοιδόρουν αὐτὸν, ἀγνοοῦντες ὅτι πλησίον ἐστὶν, τῇ βακτηρίᾳ τὴν σκηνὴν διαστείλας, οἰμώξετε εἶπεν, εἰ μὴ μακρότερον ἀποστάντες λοιδορήσετε ἡμᾶς. Ἀριστοδήμου δὲ τῶν φίλων τινὸς ἐκ μαγείρου γεγονέναι δοκοῦντος, συμβουλεύοντος δὲ αὐτῷ τῶν ἀναλωμάτων καὶ τῶν δωρεῶν ἀφαιρεῖν, οἱ λόγοι σου εἶπεν ὦ Ἀριστόδημε περιζώματος ὄ-

ζου-

ζουσιν. Ἀθηναίων δὲ δοῦλον αὐτοῦ τιμώμενον εἰς τὴν πολιτείαν ὡς ἐλεύθερον ἐγγραψάντων, οὐκ ἂν εἶπεν, ἐβουλόμην ἵνα Ἀθηναῖον ὑπ' ἐμοῦ μαστιγοῦσθαι. Νεανίσκου δέ τινος τῶν Ἀναξιμένους τοῦ ῥήτορος μαθητῶν, λόγον ἐσκεμμένον ἐκ παρασκευῆς εἰπόντος ἐπ' αὐτοῦ, βουλόμενός τι μαθεῖν, ἠρώτησεν, ἀποσιωπήσαντος δὲ τοῦ νεανίσκου, τί λέγεις, εἶπε; ταῦτ' ἐστὶν τὰ δέλτοισιν ἐγγεγραμμένα; Ἑτέρου δὲ ῥήτορος ἀκούων λέγοντος ὅτι χιονοβόλος ἡ ὥρα γενομένη λειποβοτανεῖν ἐποίησεν τὴν χώραν, οὐ παύσῃ μοι εἶπεν ὡς ὄχλῳ χρώμενος; Θρασύλλου δὲ τοῦ κυνικοῦ δραχμὴν αἰτήσαντος αὐτὸν, ἀλλ' οὐ βασιλικὸν εἶπε τὸ δόμα, τοῦ δὲ εἰπόντος οὐκοῦν τάλαντον δός μοι, ἀλλ' οὐ κυνικὸν ἔφη τὸ λῆμμα. Πέμπων δὲ Δημήτριον τὸν υἱὸν μετὰ νεῶν πολλῶν καὶ δυνάμεων ἐλευθερώσοντα τοὺς Ἕλληνας, ἔλεγε τὴν δόξαν ὥσπερ ἀπὸ σκοπῆς τῆς Ἑλλάδος εἰς τὴν οἰκουμένην πυρσεύεσθαι. Ἀνταγόρου δὲ τοῦ ποιητοῦ γόγγρον ἕψοντος καὶ αὐτοῦ τὴν λοπάδα σείοντος, ἐπιστὰς ἐξόπισθεν οἴει φησὶ τὸν Ὅμηρον ὦ Ἀνταγόρα γόγγρον ἕψειν τὰς τοῦ Ἀγαμέμνονος γράφοντα πράξεις; καὶ ὁ Ἀνταγόρας σὺ δὲ εἶπεν ὦ βασιλεῦ, τὸν Ἀγαμέμνονα νομίζεις πράττοντα τὰς πράξεις ἐκείνας πολυπραγμονεῖν, εἴτις ἐν τῷ στρατοπέδῳ γόγγρον ἕψει; Ἐπεὶ δὲ ὄναρ ἰδὼν χρυσοῦν θέρος ἐξαμῶντα Μιθριδάτην ἐβουλεύσατο κτεῖναι, καὶ Δημητρίῳ τῷ υἱῷ φράσας ὥρκωσε σιωπῆσαι, ὁ δὲ παραλαβὼν τὸν Μιθριδάτην ὁ Δημήτριος καὶ συμπεριπατῶν παρὰ θάλασσαν ἐν τῷ αἰγιαλῷ κατέγραψε τῷ σαυρωτῆρι τοῦ δόρατος, φεῦγε Μιθριδάτα. ἐκεῖνος δὲ νοήσας ἔφυγεν εἰς Πόντον, κἀκεῖ βασιλεύων διετέλεσε.

Ῥοδίους δὲ πολιορκῶν ὁ Δημήτριος, ἔλαβεν ἔν τινι προαστείῳ πίνακα Πρωτογένους τοῦ ζωγράφου τὸν Ἰάλυσον γράφοντος; ἐπικηρυκευσαμένων δὲ τῶν Ῥοδίων, καὶ φείσασθαι τοῦ πίνακος παρακαλούντων, ἔφη μᾶλλον τὰς τοῦ πατρὸς εἰκόνας, ἢ τὴν γραφὴν ἐκείνην διαφθείρειν. Σπεισάμενος δὲ τοῖς ῥοδίοις, τὴν ἐ-

λέπολιν ἀπέλιπε παρ' αὐτοῖς ὑπόδειγμα τῆς αὐτοῦ μεγαλουργίας, ἐκείνων δὲ αἰδοῦς ἐσομένων. Ἀποσαύτων δὲ τῶν Ἀθηναίων, ἑλὼν τὴν πόλιν ἤδη κακῶς ὑπὸ σιτοδείας ἔχουσαν, εὐθὺς ἐκκλησίας αὐτοῦ συναχθείσης, ἐπέδωκε δωρεάν, σῖτον αὐτοῖς, δημηγορῶν δὲ περὶ τούτων ἐβαρβάρισε, τῶν δὲ καθημένων τινὸς ὡς ἔδει τὸ ῥῆμα λεχθῆναι παραφωνήσαντος, οὐκοῦν ἔφη καὶ τῆς ἐπανορθώσεως ταύτης ἄλλους ὑμῖν πεντακισχιλίους ἐπιδίδωμι μεδίμνους.

Ἀντίγονος ὁ δεύτερος, Δημητρίου τοῦ πατρὸς ἁλόντος, καὶ πέμψαντος τινὰ τῶν φίλων κελεύοντος μὴ προσέχειν ἄν τι γράφῃ βιασθεὶς ὑπὸ Σελεύκου, μηδὲ παραχωρεῖν τῶν πόλεων, αὐτὸς ἔγραψε πρὸς Σέλευκον ἐξιστάμενος αὐτοῦ τῆς ἀρχῆς ἁπάσης καὶ παραδιδοὺς ὅμηρον ἑαυτὸν ἐπὶ τῷ τὸν πατέρα Δημήτριον ἀπολυθῆναι. Μέλλων δὲ ναυμαχεῖν πρὸς τοὺς Πτολεμαίου στρατηγούς, εἰπόντος τοῦ κυβερνήτου πολὺ πλείονας εἶναι τὰς τῶν πολεμίων ναῦς, ἐμὲ δὲ ἔφη αὐτὸν παρόντα πρὸς πόσας ἀντιτάττεις; Ὑποχωρῶν δέ ποτε τοῖς πολεμίοις ἐπερχομένοις, οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον. Ἐπεὶ δὲ νεανίσκος ἀνδρείου πατρὸς, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης, ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφοράς, ἀλλ' ἐγὼ εἶπεν ὦ μειράκιον ἀνδραγαθίας οὐ πατραγαθίας μισθοὺς καὶ δωρεὰς δίδωμι. Ζήνωνος δὲ τοῦ Κιτιέως ἀποθανόντος, ὃν μάλιστα τῶν φιλοσόφων ἐθαύμασεν, ἔλεγε τὸ θέατρον αὐτοῦ τῶν πράξεων ἀνῃρῆσθαι.

Λυσίμαχος ἐν Θράκῃ κρατηθεὶς ὑπὸ Δρομαχέτου, καὶ διὰ δίψαν ἑαυτὸν καὶ τὸ στράτευμα παραδοὺς, ὡς ἔπιεν αἰχμάλωτος γενόμενος, ὦ θεοὶ εἶπεν, ὡς μικρᾶς ἡδονῆς ἕνεκα, δοῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα. Πρὸς δὲ Φιλιππίδην τὸν κωμῳδοποιὸν φίλον ὄντα καὶ συνήθη, τίνος σοι εἶπε τῶν ἐμῶν μεταδῶ; κἀκεῖνος οὗ βούλει, πλὴν τῶν ἀπορρήτων.

Ἀντίπατρος ἀκούσας τὴν Παρμενίωνος ὑπὸ Ἀλεξάνδρου τελευ-

λεύτην, εἶπεν, εἰ μὲν ἐπεβούλευσε Παρμενίων Ἀλεξάνδρῳ, τίνι πιστευτέον; εἰ δὲ μή, τί πρακτέον; Δημάδου δὲ τοῦ ῥήτορος ἤδη πρεσβύτου γεγονότος, ἔφη καθάπερ ἱερείου διαπεπραγμένου, καταλείπεσθαι μόνην τὴν γαστέρα καὶ τὴν γλῶτταν.

Ἀντίοχος ὁ τρίτος ἔγραψε ταῖς πόλεσιν, ἄν τι γράψῃ παρὰ τοὺς νόμους κελεύων γενέσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι. Τὴν δὲ τῆς Ἀρτέμιδος ἱέρειαν ἰδὼν ὑπερβολῇ καλλὴν φανεῖσαν, εὐθὺς ἀνέζευξεν ἐξ Ἐφέσου, φοβούμενος μὴ παρὰ γνώμην ἐκβιασθῇ πρᾶξαί τι τῶν οὐχ ὁσίων. Ἀντίοχος ὁ ἐπικληθεὶς ἱέραξ ἐπολέμει περὶ βασιλείας πρὸς τὸν ἀδελφὸν Σέλευκον· ἐπεὶ δὲ ὁ Σέλευκος ἡττηθεὶς ὑπὸ Γαλατῶν οὐδαμοῦ φανερὸς ἦν, ἀλλ᾽ ἐδόκει κατακεκόφθαι, θεὶς τὴν πορφύραν ὁ Ἀντίοχος, φαιὸν ἱμάτιον ἀνέλαβε. μετ᾽ ὀλίγον δὲ πυθόμενος τὸν ἀδελφὸν σώζεσθαι εὐαγγέλια τοῖς θεοῖς ἔθυσε, καὶ τὰς πόλεις τὰς ὑφ᾽ ἑαυτὸν στεφανηφορεῖν ἐποίησεν.

Εὐμενὴς ἐπιβουλευθεὶς ὑπὸ Περσέως, ἔδοξε τεθνάναι. τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης, Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα καὶ τὴν γυναῖκα γήμας ἐβασίλευσε· πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν, ἀπήντησεν ὥσπερ εἰώθει μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων. ὁ δὲ Εὐμενὴς φιλοφρόνως ἀσπασάμενος αὐτὸν καὶ πρὸς τὸ οὖς εἰπὼν μὴ σπεῦδε γῆμαι πρὶν τελευτήσαντ᾽ ἴδῃς, οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ᾽ εἶπεν ὕποπτον, οὔτε ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν. ἀνθ᾽ ὧν ἐκεῖνος οὐδὲν ἐξ ἑαυτοῦ τέκνον ἔθρεψε πολλῶν γενομένων, ἀλλὰ τῷ Εὐμενοῦς υἱῷ τὴν βασιλείαν ἔτι ζῶν ἐνηλίκῳ γενομένῳ παρέδωκε.

Πύῤῥον οἱ υἱοὶ παῖδες ὄντες ἠρώτων τίνι καταλείψει τὴν βασιλείαν, καὶ ὁ Πύῤῥος εἶπεν, ὃς ἂν ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν. Ἐρωτηθεὶς δὲ πότερον Πύθων ἢ Καφείσιος αὐλη-

τὴς

τίς ἀμείνων, Πολυπέρχης ἔφη ὁ στρατηγός. Ἐπεὶ δὲ συμβαλὼν Ῥωμαίοις δὶς ἐνίκησε, πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, ἂν ἔτι μίαν ἔφη μάχην Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν. Ἐπεὶ δὲ Σικελίας ἀποτυχὼν ἐξέπλει, μεταστραφεὶς ὀπίσω πρὸς τοὺς φίλους οἵαν ἔφη Ῥωμαίοις καὶ Καρχηδονίοις ἀπολείπομεν παλαίστραν. Τῶν δὲ στρατιωτῶν ἀετὸν αὐτὸν προσαγορευόντων, τί γὰρ εἶπεν, οὐ μέλλω τοῖς ἡμετέροις ὅπλοις ὥσπερ ὠκυπτέροις αἰρόμενος. Ἀκούσας δὲ ὅτι νεανίσκοι πολλὰ βλάσφημα περὶ αὐτοῦ πίνοντες εἰρήκασιν ἐκέλευσεν ἀχθῆναι μεθ' ἡμέραν πρὸς αὐτὸν ἅπαντας, ἀχθέντων δὲ τὸν πρῶτον ἠρώτησεν εἰ ταῦτα εἰρήκασι περὶ αὐτοῦ, καὶ ὁ νεανίσκος ταῦτα εἶπεν ὦ βασιλεῦ, πλείονα δ' ἂν τούτων εἰρήκειμεν, εἰ πλείονα οἶνον εἴχομεν.

Ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ Πάρθους, ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ θεραπόντων ἀποπλανηθεὶς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων ἀγνοούμενος εἰσῆλθε, καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως, ἤκουσεν ὅτι τἄλλα χρηστός ἐστιν, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ, καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι. τότε μὲν οὖν ἐσιώπησεν. ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν, φανερὸς γενόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος, ἀλλ' ἀφ' ἧς εἶπεν ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ. Τῶν δὲ Ἰουδαίων, πολιορκοῦντες αὐτοῦ τὰ Ἱεροσόλυμα πρὸς τὴν μεγίστην ἑορτὴν αἰτησαμένων ἑπτὰ ἡμερῶν ἀνοχὰς, οὐ μόνον ἔδωκε ταύτας, ἀλλὰ καὶ ταύρους χρυσόκερως παρασκευασάμενος καὶ θυμιαμάτων καὶ ἀρωμάτων πλῆθος, ἄχρι τῶν πυλῶν ἐπόμπευσε, καὶ παραδοὺς τοῖς ἐκείνων ἱερεῦσι τὴν θυσίαν, αὐτὸς ἐπανῆλθεν εἰς τὸ στρατόπεδον. οἱ δὲ Ἰουδαῖοι θαυμάσαντες, εὐθὺς ἑαυτοὺς μετὰ τὴν ἑορτὴν ἐνεχείρισαν.

Θε-

Θεμιστοκλῆς ἔτι μειράκιον ὢν, ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν. ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ. πρὸς δὲ τοὺς θαυμάζοντας τὴν μεταβολὴν, ἔλεγεν, ὡς οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥαθυμεῖν τὸ Μιλτιάδου τρόπαιον. Ἐρωτηθεὶς δὲ πότερον Ἀχιλλεὺς ἐβούλετ' ἂν ἢ Ὅμηρος εἶναι, σὺ δ' αὐτὸς ἔφη πότερον ἤθελες ὁ νικῶν ἐν ὀλυμπιάσιν ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι. Ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν ἑλλάδα τῷ μεγάλῳ στόλῳ, φοβηθεὶς Ἐπικύδην τὸν δημαγωγὸν αἰσχροκερδῆ καὶ δειλὸν ὄντα, μὴ στρατηγὸς γενόμενος ἀπολέσῃ τὴν πόλιν, ἔπεισεν ἀργυρίῳ τῆς στρατηγίας ἀποστῆναι. Ἀδειμάντου δὲ ναυμαχεῖν μὴ τολμῶντος, εἰπόντος πρὸς τὸν Θεμιστοκλέα τοὺς ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα, ὦ Θεμιστόκλεις, τοὺς ἐν τοῖς ἀγῶσι προεξισταμένους μαστιγοῦσιν ἀεί, ναὶ εἶπεν ὦ Ἀδείμαντε, τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν. Ἐπαραμένου δὲ τοῦ Εὐρυβιάδου τὴν βακτηρίαν ὡς πατάξοντος, πάταξον μὲν οὖν εἶπεν, ἄκουσον δέ. μὴ πείθων δὲ τὸν Εὐρυβιάδην ἐν τοῖς στενοῖς ναυμαχῆσαι, κρύφα πρὸς τὸν βάρβαρον ἔπεμψε, παραινῶν μὴ δεδιέναι τοὺς ἕλληνας ἀποδιδράσκοντας. ἐπεὶ δὲ πεισθεὶς ἐκεῖνος ἡττήθη, ναυμαχήσας ὅπου συνέφερε τοῖς ἕλλησι, πάλιν ἔπεμψε πρὸς αὐτὸν κελεύων φεύγειν ἐπὶ τὸν Ἑλλήσποντον τὴν ταχίστην, ὡς τῶν ἑλλήνων διανοουμένων λύειν τὴν γέφυραν, ἵνα σώζων τοὺς ἕλληνας, ἐκεῖνον δοκῇ σώζειν. Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος ὡς οὐ δι' αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν, ἀληθῆ λέγεις εἶπεν, ἀλλ' οὔτ' ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος, οὔτε σὺ Ἀθηναῖος. Ἀντιφάτου δὲ τοῦ καλοῦ πρότερον μὲν ἐρῶντα τὸν Θεμιστοκλέα φεύγοντος καὶ καταφρονοῦντος, ἐπεὶ δὲ δόξαν ἔσχε μεγάλην καὶ δύναμιν, προσερχομένου καὶ κολακεύοντος, ὦ μειράκιον εἶπεν, ὀψὲ μὲν ἀμφότεροι, ἀλλὰ νοῦν ἐσχήκαμεν. Πρὸς δὲ Σιμωνίδην ἐξαιτούμενον τινὰ κρίσιν οὐ δικαίαν, ἔφη μήτ' ἂν ἐκεῖνον γενέσθαι

ποιητὴν ἀγαθὸν ᾄδοντα παρὰ μέλος, μήτ' αὐτὸν ἄρχοντα χρηστὸν δικάζοντα παρὰ τὸν νόμον. τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ, πλεῖστον ἑλλήνων ἔλεγε δύνασθαι. τῶν γὰρ ἑλλήνων ἄρχειν ἀθηναίους, ἀθηναίων δὲ ἑαυτὸν, ἑαυτοῦ δὲ τὴν ἐκείνου μητέρα, τῆς δὲ μητρὸς ἐκεῖνον. Τῶν δὲ τὴν θυγατέρα μνωμένων αὐτοῦ, τὸν ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας, ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον, ἢ χρήματα ἀνδρός. Χωρίον δὲ πωλῶν, ἐκέλευσε κηρύττειν ὅτι καὶ γείτονα χρηστὸν ἔχει. Τῶν δὲ ἀθηναίων αὐτὸν προπηλακιζόντων, τί κοπιᾶτε εἶπεν ὑπὸ τῶν αὐτῶν πολλάκις εὐεργετούμενοι; καὶ τοῖς πλατάνοις ἀπείκαζεν αὐτὸν, αἷς ὑποτρέχουσι χειμαζόμενοι, γενομένης δὲ εὐδίας τίλλουσι παρερχόμενοι καὶ λοιδοροῦσι. τοὺς δὲ Ἐρετριεῖς ἐπισκώπτων ἔλεγεν ὥσπερ τευθίδας μάχαιραν μὲν ἔχειν, καρδίαν δὲ μὴ ἔχειν. Ἐπεὶ δ' ἐξέπεσε τῶν ἀθηναίων τοπρῶτον, εἶτα καὶ τῆς ἑλλάδος, ἀναβὰς πρὸς βασιλέα καὶ κελευόμενος λέγειν, ἔφη τὸν λόγον ἐοικέναι τοῖς ποικίλοις στρώμασιν. ὡς γὰρ ἐκεῖνα καὶ τοῦτον ἐκτεινόμενον μὲν ἐπιδεικνύναι τὰ εἴδη, συστελλόμενον δὲ κρύπτειν καὶ διαφθείρειν. ᾐτήσατο δὲ καὶ χρόνον ὅπως τὴν περσικὴν διάλεκτον καταμαθὼν ὡς βούλεται, καὶ μὴ δι' ἑτέρου ποιήσαι τὴν πρὸς αὐτὸν ἔνδειξιν. πολλῶν δὲ δωρεῶν ἀξιωθεὶς καὶ ταχὺ πλούσιος γενόμενος πρὸς τοὺς παῖδας εἶπεν, ὦ παῖδες ἀπωλόμεθ' ἂν εἰ μὴ ἀπολώλειμεν.

Μυρωνίδης παρήγγειλεν ἔξοδον Ἀθηναίοις ἐπὶ Βοιωτοὺς στρατεύων, ἐνστάσης δὲ τῆς ὥρας, καὶ τῶν λοχαγῶν λεγόντων μηδέπω πάντας παρεῖναι, πάρεισιν εἶπεν οἱ μέλλοντες μάχεσθαι, καὶ χρησάμενος αὐτοῖς προθύμοις, ἐνίκησε τοὺς πολεμίους. Ἀριστείδης δὲ ὁ δίκαιος, ἀεὶ καθ' αὐτὸν ἐπολιτεύετο, καὶ τὰς ἑταιρείας ἔφευγεν ὡς τῆς ἀπὸ τῶν φίλων δυνάμεως ἀδικεῖν ἐπαιρούσης. Ἐπεὶ δὲ τῶν ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμὸν, ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ Ἀριστείδου,

γι-

γινώσκεις δὲ ἔφη τὸν ἀριστείδην; τοῦ δὲ ἀνθρώπου γινώσκειν μὲν οὐ φήσαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ καὶ ἀπέδωκεν. Ἐχθρὸς δὲ ὢν τοῦ Θεμιστοκλέους, καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐτῷ, βούλει φησὶν ὦ Θεμιστόκλεις ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀπολίπωμεν; ἂν γὰρ δοκῇ πάλιν αὐτὴν ἐπανιόντες ληψόμεθα. Τάξας δὲ τοὺς φόρους τοῖς ἕλλησι, τοσοῦτον πτωχότερος ἐπανῆλθεν, ὅσον εἰς τὴν ἀποδημίαν ἀνήλωσεν. Αἰσχύλου δὲ ποιήσαντος εἰς Ἀμφιάραον, οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ' εἶναι θέλει βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος, ἀφ' ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα, καὶ λεγομένων τούτων, πάντες εἰς Ἀριστείδην ἀπέβλεψαν.

Περικλῆς ὁπότε μέλλοι στρατηγεῖν, ἀναλαμβάνων τὴν χλαμύδα πρὸς ἑαυτὸν ἔλεγεν, πρόσεχε Περίκλεις ἐλευθέρων μέλλεις ἄρχειν, ἑλλήνων, καὶ ἀθηναίων. Ἐκέλευσε δὲ τοὺς ἀθηναίους τὴν Αἴγιναν ὥσπερ λήμην ἀφαιρεῖν τοῦ Πειραιῶς. Πρὸς δὲ φίλον τινὰ μαρτυρίαν ψευδῆ δεόμενον, ᾗ προσῆν καὶ ὅρκος, ἔφησε μέχρι τοῦ βωμοῦ φίλος εἶναι. Μέλλων δὲ ἀποθνήσκειν, αὐτὸς ἑαυτὸν ἐμακάριζεν, ὅτι μηδεὶς ἀθηναίων μέλαν ἱμάτιον δι' αὐτὸν ἐνεδύσατο.

Ἀλκιβιάδης ἔτι παῖς ὢν ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ, καὶ μὴ δυνάμενος διαφυγεῖν, ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος εἰπόντος δὲ ἐκείνου δάκνεις, ὡς αἱ γυναῖκες; οὐ μὲν οὖν εἶπεν, ἀλλ' ὡς οἱ λέοντες. Ἔχων δὲ κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν, ἀπέκοψεν αὐτοῦ τὴν οὐρὰν, ὅπως ἔφη τοῦτο λέγωσιν ἀθηναῖοι περὶ ἐμοῦ, καὶ μὴ δὲν ἄλλο πολυπραγμονῶσι. Προσελθὼν δὲ διδασκαλείῳ, ῥαψῳδίαν Ἰλιάδος ᾔτει, τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον παρῆλθεν. Ἐλθὼν δὲ ἐπὶ θύρας τοῦ Περικλέους, καὶ πυθόμενος αὐτὸν μὴ σχολάζειν, ἀλλὰ σκοπεῖν ὅπως ἀποδώσει λόγους ἀθηναίοις, οὐ βέλτιον ἔφη σκοπεῖν ἦν, ὅπως μὴ ἀπο-

ἀποδώσει; Καλούμενος δὲ ἐπὶ κρίσιν θανατικὴν ὑπὸ τῶν ἀθηναίων ἀπὸ Σικελίας ἔκρυψεν ἑαυτόν, εἰπὼν εὐήθη εἶναι τὸν δίκην ἔχοντα, ζητεῖν ἀποφυγὴν, ἐξὸν φυγεῖν. Εἰπόντος δέ τινος οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σεαυτοῦ κρίσιν; ἐγὼ μὲν ἔφη οὐδὲ τῇ μητρί, μή πως ἀγνοήσασα τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς. Ἀκούσας δὲ ὅτι θάνατος αὐτοῦ καὶ τῶν σὺν αὐτῷ κατέγνωσται, δείξομεν οὖν εἶπεν αὐτοῖς ὅτι ζῶμεν, καὶ πρὸς λακεδαιμονίους τρεψάμενος, τὸν Δεκελικὸν ἤγειρεν ἐπὶ τοὺς ἀθηναίους πόλεμον.

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι, τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν, οὐκ ἔστιν εἶπεν ἐν πολέμῳ δὶς ἁμαρτεῖν.

Ἰφικράτης δοκῶν υἱὸς εἶναι σκυτοτόμου, κατεφρονεῖτο. δόξαν δὲ τότε πρῶτον ἔσχεν, ὅτε τραυματίαν πολέμιον ἄνδρα μετὰ τῶν ὅπλων ζῶντα συναρπάσας, εἰς τὴν ἑαυτοῦ τριήρη μετήνεγκεν. Ἐν δὲ φιλίᾳ καὶ συμμάχῳ χώρᾳ στρατοπεδεύων καὶ χάρακα βαλλόμενος καὶ τάφρον ὀρύττων ἐπιμελῶς, πρὸς τὸν εἰπόντα τί γὰρ φοβούμεθα, χειρίστην ἔφησε στρατηγοῦ φωνὴν εἶναι, τὴν οὐκ ἂν προσεδόκησα. Παραταττόμενος δὲ τοῖς βαρβάροις, ἔφη δεδιέναι μὴ τὸν Ἰφικράτην οὐκ ἴσασιν, ᾧ καταπλήττεται τοὺς ἄλλους πολεμίους. κρινόμενος δὲ θανάτου, πρὸς τὸν συκοφάντην οἷα ποιεῖς ὦ ἄνθρωπε εἶπε, πολέμου περιεστῶτος, τὴν πόλιν περὶ ἐμοῦ πείθων βουλεύεσθαι καὶ μὴ μετ' ἐμοῦ. Πρὸς δὲ Ἁρμόδιον τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον, ἔφη, τὸ μὲν ἐμὸν ἀπ' ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται. Ῥήτορος δέ τινος ἐπερωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ τίς ὢν μέγα φρονεῖς; πότερον ἱππεὺς, ἢ τοξότης, ἢ πελταστὴς, ἢ πεζός; οὐδεὶς ἔφη τούτων, ἀλλ' ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν.

Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι, καὶ φθονοῦντες αὐτῷ τινὲς, ἐζωγράφουν τὰς πόλεις εἰς κύρτον αὐτομάτως ἐκεί-

νου

νου καθεύδοντος ἐνδυομένας. ἔλεγεν οὖν ὁ Τιμόθεος, εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα; Τῶν δὲ τολμηρῶν στρατηγῶν τινὸς τραῦμα τοῖς Ἀθηναίοις δεικνύοντος, ἐγὼ δὲ εἶπεν ᾐσχύνθην, ὅτι μου στρατηγοῦντος ὑμῶν ἐν Σάμῳ καταπελτικὸν βέλος ἐγγὺς ἔπεσε. Τῶν δὲ ῥητόρων τὸν Χάρητα προσαγόντων καὶ τοιοῦτον ἀξιούντων εἶναι τὸν Ἀθηναίων στρατηγὸν, οὐ τὸν στρατηγὸν εἶπεν ὁ Τιμόθεος, ἀλλὰ τὸν τῷ στρατηγῷ τὰ στρώματα κομίζοντα.

Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων. δίκην δὲ φεύγων προδοσίας μετὰ Ἰφικράτους, ἐπιτιμῶντος αὐτῷ τοῦ Ἰφικράτους, ὅτι κινδυνεύων εἰς τὸ γυμνάσιον βαδίζει καὶ τὴν εἰωθυῖαν ὥραν ἀριστᾷ, τοιγαροῦν εἶπεν, ἂν ἄλλο τι γνῶσι περὶ ἡμῶν ἀθηναῖοι, σὲ μὲν αὐχμῶντα καὶ ἄσιτον, ἐμὲ δὲ ἠριστηκότα καὶ ἀληλιμμένον ἀποκτενοῦσιν. εἰώθει δὲ λέγειν ὅτι φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον, ἡγουμένου λέοντος, ἢ λεόντων, ἐλάφου.

Ἡγησίππου, τοῦ Κρωβύλου προσαγορευομένου, παροξύνοντος τοὺς ἀθηναίους ἐπὶ Φίλιππον, ὑπεφώνησέ τις ἐκ τῆς ἐκκλησίας πόλεμον εἰσηγῇ; ναὶ μὰ δία εἶπε καὶ μέλανα ἱμάτια, καὶ δημοσίας ἐκφορὰς, καὶ λόγους ἐπιταφίους, εἰ μέλλομεν ἐλεύθεροι βιώσεσθαι, καὶ μὴ ποιήσειν τὸ προσαττόμενον μακεδόσι.

Πυθέας ἔτι μειράκιον ὢν παρῆλθεν ἀντερῶν τοῖς περὶ Ἀλεξάνδρου γραφομένοις ψηφίσμασιν. εἰπόντος δέ τινος σὺ νέος ὢν τολμᾷς λέγειν περὶ τηλικούτων; καὶ μὴν Ἀλέξανδρος εἶπεν, ὃν ψηφίζεσθε θεὸν, ἐμοῦ νεώτερός ἐστιν.

Φωκίων ὁ Ἀθηναῖος ὑπ' οὐδενὸς οὔτε γελῶν ὤφθη, οὔτε δακρύων. ἐκκλησίας δὲ γινομένης πρός τινα εἰπόντα, σκεπτομένῳ ὦ Φωκίων ἔοικας, ὀρθῶς ἔφη τοπάζεις, σκέπτομαι γὰρ εἴ τι δύναμαι περιελεῖν ὧν μέλλω λέγειν πρὸς Ἀθηναίους. Μαντείας δὲ γενομένης ἀθηναίοις ὡς εἷς ἐστὶν ἀνὴρ ἐν τῇ πόλει ταῖς πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν ἀθηναίων ζητεῖν κελευόντων

των ὅς τις ἐστὶ τῶν βοώντων, Φωκίων ἑαυτὸν ἔφησε τοῦτον εἶναι, μόνῳ γὰρ ἑαυτῷ μηδὲν ἀρέσκειν, ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν. Ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει, καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν, οὐδή που κακόν τι λέγων ἐμαυτὸν λέληθα; Πρὸς δὲ θυσίαν τινὰ τῶν ἀθηναίων αἰτούντων ἐπιδόσεις, καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις, αἰσχυνοίμην ἂν εἶπεν ὑμῖν ἐπιδιδοὺς, τούτῳ δὲ μὴ ἀποδιδοὺς, ἅμα δεικνύων τὸν δανειστήν. Δημοσθένους δὲ τοῦ ῥήτορος εἰπόντος, ἀποκτενοῦσί σε ἀθηναῖοι ἐὰν μανῶσι, καὶ εἶπεν, ἐμὲ μὲν, ἂν μανῶσι, σὲ δὲ ἂν σωφρονῶσιν. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου μέλλοντος ἀποθνήσκειν ἐν τῷ δεσμωτηρίῳ κατακρίτου γεγονότος καὶ δεομένου τὸν Φωκίωνα πρὸς αὐτὸν ἐλθεῖν, τῶν δὲ φίλων οὐκ ἐώντων πρὸς ἄνθρωπον πονηρὸν βαδίζειν, καὶ ποῦ τίς ἂν εἶπεν ἥδιον ἀριστογείτονι λαλήσειεν; Ὀργιζομένων δὲ τοῖς Βυζαντίοις τῶν ἀθηναίων, μὴ δεξαμένοις τῇ πόλει Χάρητα πεμφθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς Φίλιππον, εἰπὼν ὁ Φωκίων, ὅτι δεῖ μὴ τοῖς ἀπιστοῦσι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις τῶν στρατηγῶν ὀργίζεσθαι, αὐτὸς ᾑρέθη στρατηγὸς, καὶ πιστευθεὶς ὑπὸ τῶν βυζαντίων, ἐποίησε τὸν Φίλιππον ἀπελθεῖν ἄπρακτον. Ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν αὐτῷ πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας, τί δή ποτε πολλῶν ὄντων ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν Ἀλέξανδρος; εἰπόντων δ' ἐκείνων ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, οὐκοῦν ἔφη ἐασάτω με, καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον. Αἰτοῦντος δὲ Ἀλεξάνδρου τριήρεις, καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παρεῖναι τὸν Φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη συμβουλεύω τοίνυν ὑμῖν ἢ κρατεῖν τοῖς ὅπλοις αὐτοὺς, ἢ φίλους εἶναι τῶν κρατούντων. Λόγου δὲ περὶ τῆς Ἀλεξάνδρου τελευτῆς ἐμπεσόντος ἀδεσπότου, καὶ τῶν ῥητόρων ἀναπηδώντων εὐθὺς ἐπὶ τὸ βῆμα, καὶ μὴ μέλλειν ἀλλὰ πολεμεῖν ἤδη κελευόντων, ὁ Φωκίων ἠξίου

πε-

περιμεῖναι καὶ γνῶναι βεβαίως, εἰ γὰρ τήμερον ἔφη τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰσέτι τεθνηκώς. Τοῦ δὲ Λεωσθένους εἰς τὸν πόλεμον ἐμβαλόντος τὴν πόλιν ἐλπίσι λαμπραῖς πρὸς τὸ τῆς ἐλευθερίας ὄνομα καὶ τῆς ἡγεμονίας ἐπαιρομένην, τοὺς λόγους αὐτοῦ ταῖς κυπαρίττοις ἀπείκαζε, καλοὶ γὰρ ὄντες ἔφη καὶ ὑψηλοί, καρπὸν οὐκ ἔχουσι. Κατορθουμένων δὲ τῶν πρώτων, καὶ τῆς πόλεως εὐαγγέλια θυούσης, ἐρωτηθεὶς εἰ ταῦτα ἤθελεν οὕτω πεπρᾶχθαι. πεπρᾶχθαι μὲν οὖν ἔφη ταῦτα, βεβουλεῦσθαι δὲ ἐκεῖνα. Τῇ δὲ Ἀττικῇ τῶν Μακεδόνων προσβαλόντων καὶ πορθούντων τὴν παραλίαν, ἐξήγαγε τοὺς ἐν ἡλικίᾳ, πολλῶν δὲ συντρεχόντων πρὸς αὐτὸν καὶ παρεγκελευομένων ἐκεῖνον τὸν λόφον καταλαβεῖν, ἐνταῦθα τάξαι τὴν δύναμιν, ὦ Ἡράκλεις εἶπεν, ὡς πολλοὺς ὁρῶ στρατηγούς, στρατιώτας δὲ ὀλίγους. οὐ μὴν ἀλλὰ συμβαλὼν ἐκράτησε καὶ διέφθειρε Νικίωνα τὸν ἄρχοντα τῶν Μακεδόνων. Μετ᾽ ὀλίγον δὲ χρόνον οἱ μὲν Ἀθηναῖοι τῷ πολέμῳ κρατηθέντες ἐδέξαντο φρουρὰν ὑπ᾽ Ἀντιπάτρου, Μενύλλου δὲ τοῦ τῆς φρουρᾶς ἄρχοντος χρήματα τῷ Φωκίωνι διδόντος, ἀγανακτήσας εἶπε, μήτε ἐκεῖνον Ἀλεξάνδρου βελτίονα εἶναι, καὶ χείρονα τὴν αἰτίαν ἐφ᾽ ἣν λήψεται νῦν, τότε μὴ δεξάμενος. Ἀντίπατρος δὲ ἔφη ὡς δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων, οὔτε Φωκίωνα λαβεῖν πέπεικεν, οὔτε Δημάδην διδοὺς ἐμπέπληκεν. Ἀξιοῦντος δὲ Ἀντιπάτρου ποιῆσαί τι τῶν μὴ δικαίων αὐτόν, οὐ δύνασθαι εἶπεν Ἀντίπατρε καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι. Μετὰ δὲ τὴν Ἀντιπάτρου τελευτὴν δημοκρατίας Ἀθηναίοις γενομένης, κατεγνώσθη θάνατος τοῦ Φωκίωνος ἐν ἐκκλησίᾳ καὶ τῶν φίλων. οἱ μὲν οὖν ἄλλοι κλαίοντες ἤγοντο, τῷ δὲ Φωκίωνι σιωπῇ βαδίζοντι τῶν ἐχθρῶν τις ἐνέπτυσεν ἀπαντήσας εἰς τὸ πρόσωπον· ὁ δὲ πρὸς τοὺς ἄρχοντας ἀποβλέψας, οὐ παύσει τὶς εἶπε τοῦτον ἀσχημονοῦντα; Τῶν δὲ μελλόντων συναποθνήσκειν ἑνὸς ὀδυρομένου, καὶ ἀγανακτοῦντος, οὐκ ἀγαπᾷς εἶπεν ὦ Εὔιππε μετὰ Φωκίωνος ἀποθανούμενος; ἤδη δὲ τῆς κύλικος

αὐτῷ προσφερομένης ἐρωτηθεὶς εἴ τι λέγει πρὸς τὸν υἱὸν, ἐγώ σοι εἶπεν ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν ἀθηναίοις μνησικακεῖν

Πεισίστρατος ὁ ἀθηναίων τύραννος, ἐπεὶ τῶν φίλων τινὲς ἀποστάντες αὐτοῦ φυλὴν κατέλαβον, ἦλθε πρὸς αὐτοὺς στρωματόδεσμον αὐτὸς κομίζων· πυνθανομένων δὲ ἐκείνων τί βούλεται, πείσας ὑμᾶς εἶπεν ἀπαγαγεῖν, ἢ μὴ πείσας, μένειν μεθ' ὑμῶν, καὶ διὰ τοῦτο ἀφῖγμαι συνεσκευασμένος. Διαβληθείσης δὲ τῆς μητρὸς πρὸς αὐτόν, ὡς ἐρᾷ τινὸς νεανίσκου καὶ κρύφα σύνεστι φοβουμένῳ καὶ παραιτουμένῳ τὰ πολλὰ, καλέσας ἐπὶ δεῖπνον τὸν νεανίσκον, ἠρώτησε δειπνήσαντα πῶς γέγονεν, ἡδέως δὲ φήσαντος, ταῦτά σοι ἔφη καθ' ἡμέραν ἔσται, ἐὰν τῇ μητρί μου ἀρέσκῃς. Ἐπεὶ δὲ Θρασύβουλος ἐρῶν αὐτοῦ τῆς θυγατρὸς ἐφίλησεν ἀπαντήσας, παροξυνόμενος ἐπ' αὐτὸν ὑπὸ τῆς γυναικὸς, ἂν τοὺς φιλοῦντας εἶπε μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας; καὶ ἔδωκεν γυναῖκα τῷ Θρασυβούλῳ τὴν παρθένον. Κωμαστῶν δέ τινων περιτυχόντων αὐτοῦ τῇ γυναικὶ καὶ πολλὰ πραξάντων ἀσελγῆ καὶ εἰπόντων, μεθ' ἡμέραν δὲ τοῦ Πεισιστράτου δεομένων καὶ δακρυόντων, ὑμεῖς μὲν ἔφη πειρᾶσθε σωφρονεῖν τὸ λοιπὸν, ἡ δ' ἐμὴ γυνὴ τὸ παράπαν ἐχθὲς οὐδαμῆ προῆλθε. Τῶν παίδων αὐτοῦ γαμεῖν ἑτέραν γυναῖκα μέλλοντος διαπυνθανομένων, μή τι μεμφόμενος αὐτοὺς εἴη, ἥκιστα εἶπεν, ἀλλ' ἐπαινῶν καὶ βουλόμενος ἑτέρους μοι παῖδας τοιούτους γενέσθαι.

Δημήτριος ὁ φαληρεὺς, Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει, τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν, ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Λυκοῦργος ὁ Λακεδαιμόνιος εἴθισε τοὺς πολίτας κομᾶν, λέγων ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. Πρὸς δὲ τὸν κελεύοντα ποιεῖν ἐν τῇ πό-

λει

λει δημοκρατίαν, σὺ πρῶτος εἶπεν ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. Ἐκέλευε δὲ τὰς οἰκίας ποιεῖν ἀπὸ πελέκεως καὶ πρίονος μόνον, αἰσχύνεσθαι γὰρ εἰς οἰκίας λιτὰς ἐκπώματα καὶ στρώματα καὶ τραπέζας πολυτελεῖς εἰσφέροντας. Πυγμὴν δὲ καὶ παγκράτιον ἀγωνίζεσθαι ἐκώλυσεν, ἵνα μὴ δὲ παίζοντες ἀπαυδᾶν ἐθίζωνται.

Στρατεύειν δὲ πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους. ὕστερον οὖν τοῦ Ἀγησιλάου τρωθέντος, ὁ Ἀνταλκίδας εἶπεν καλὰ διδασκάλια παρὰ Θηβαίων λαμβάνειν αὐτὸν ἐθίσαντα καὶ διδάξαντα πολεμεῖν ἄκοντας.

Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς διατὶ νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν. Τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου, νὴ τὼ σιὼ εἶπε κατέκτανον τεῦ, εἰ μὴ ὠργιζόμαν. πρὸς δὲ τὸν πυθόμενον διατὶ κομῶσιν, εἶπεν ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι.

Τήλεκλος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, σὺ γὰρ εἶπεν οὐκ οἶδας ἀδικεῖσθαι.

Θεόπομπος ἔν τινι πόλει πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ καὶ πυνθανόμενον εἰ δοκεῖ καλὸν καὶ ὑψηλὸν εἶναι, οὐ δεῖ γυναικῶν, εἶπεν.

Ἀρχίδαμος ἐν τῷ πελοποννησιακῷ πολέμῳ τῶν συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, εἶπεν, ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται.

Βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν, εἶτα πρὸς τοὺς παρόντας οὐδὲν οὕτως ἔφη μικρόν ἐστιν, ὃ μὴ σώζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας. Ἐν δὲ μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ τραύματος ἑλκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν, ἐπερωτηθεὶς δὲ πῶς ἐτρώθη, προδούσης με τῆς ἀσπίδος εἶπεν. Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐ-

λευ-

λεμίων, καὶ περιταφρευόντων τὸ στρατόπεδον, κελεύσαντος ἐπεξιέναι καὶ διαμάχεσθαι τοῦ βασιλέως, οὐκ ἔφη διακωλύσειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέσθαι βουλομένους, ἔτι δὲ μικρὸν ἀπολειπούσης τῆς τάφρου συνάψαι κατὰ τοῦτο παρατάξας τὸ διαλεῖπον, καὶ πρὸς ἴσους ἴσοι ἀγωνισάμενοι ἐνίκησαν. Ἀποθνήσκων δὲ τοὺς φίλους ἐκέλευσε μηδεμίαν πλαστὰν μηδὲ μιμηλὰν ποιήσασθαι, τὰς εἰκόνας οὕτω προσαγορεύων. εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν. εἰ δὲ μηδέν, οὐδ' οἱ πάντες ἀνδριάντες.

Ἀρχίδαμος ὁ Ἀγησιλάου, καταπελτικὸν ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθέν, ἀνεβόησεν, ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

Ὁ δὲ νεώτερος Ἆγις, Δημάδου λέγοντος ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, καὶ μὴν, ἔφη, μάλιστα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται. Τῷ δὲ προδότῃ παραδοῦναι στρατιώτας τῶν ἐφόρων κελευόντων, οὐκ ἔφη πιστεύειν τοὺς ἀλλοτρίους τῷ προδόντι τοὺς ἰδίους.

Κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι, μὴ σύγε, εἶπεν. ἀλλὰ δός μοι τοὺς κατακτείνοντας ἐν τῷ μάχεσθαι.

Παιδάρετος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει. χαίρειν λέγων, εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας.

Δαμονίδας δὲ ταχθεὶς εἰς τὴν τελευταίαν τοῦ χοροῦ τάξιν ὑπὸ τοῦ τὸν χορὸν ἱστάντος, εὖγε, εἶπεν, ἐξεῦρες πῶς καὶ αὐτὸς ἔντιμος γένηται.

Νικόστρατος ὁ τῶν Ἀργείων στρατηγὸς ὑπὸ Ἀρχιδάμου χωρίον τι προδοῦναι παρακαλούμενος ἐπὶ χρήμασι πολλοῖς, καὶ γάμῳ Λακαίνης ἣν βούλεται, δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο

μὴ

μὴ εἶναι τὸν Ἀρχίδαμον ἀφ' Ἡρακλέους· τὸν μὲν γὰρ Ἡρακλέα, περιϊόντα τοὺς κακοὺς κολάζειν, Ἀρχίδαμον δὲ τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν.

Εὐδαιμονίδας ἰδὼν ἐν ἀκαδημίᾳ Ξενοκράτην πρεσβύτερον ἤδη μετὰ τῶν μαθητῶν φιλοσοφοῦντα, καὶ πυθόμενος ὅτι τὴν ἀρετὴν ζητεῖ, Πότε οὖν, εἶπεν, αὐτῇ χρήσεται; Πάλιν ἀκούσας φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς ὁ σοφός ἐστιν, ὁ μὲν λόγος, ἔφη, θαυμαστὸς, ὁ δὲ λέγων οὐ περισεσάλπισαι.

Ἀντίοχος ἐφορεύων, ὡς ἤκουσεν ὅτι Μεσσηνίοις Φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν εἰ καὶ τὸ κρατεῖν αὐτοῖς μαχομένοις περὶ τῆς χώρας ἔδωκεν.

Ἀνταλκίδας πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλοῦντα τοὺς Λακεδαιμονίους, μόνοι γοῦν, εἶπεν, ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ' ὑμῶν. Ἑτέρου δὲ Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος, ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν, ἡμεῖς δὲ οὐδέποτε, εἶπεν, ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα. Σοφιστοῦ δὲ μέλλοντος ἀναγινώσκειν ἐγκώμιον Ἡρακλέους, ἔφη, τίς γὰρ αὐτὸν ψέγει;

Ἐπαμινώνδου τοῦ Θηβαίου στρατηγοῦντος, οὐδέποτε πανικὸς θόρυβος ἐνέπεσεν εἰς τὸ στρατόπεδον. ἔλεγε δὲ τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον. τῶν δὲ ὁπλιτῶν δεῖν ἀπέφαινεν εἶναι τὸ σῶμα γεγυμνασμένον, οὐκ ἀθλητικῶς μόνον ἀλλὰ καὶ στρατιωτικῶς. Διὸ καὶ τοῖς πολυσάρκοις ἐπολέμει, καί τινα τοιοῦτον ἀπήλασε τῆς στρατιᾶς, εἰπὼν ὅτι μόλις αὐτοῦ σκέπουσι τὴν γαστέρα ἀσπίδες τρεῖς ἢ τέσσαρες, δι' ἣν οὐχ ἑώρακεν αὐτοῦ τὸ αἰδοῖον. οὕτω δ' ἦν εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς ἐπὶ δεῖπνον ὑπὸ γείτονος, εὑρὼν πεμμάτων καὶ ὄψων καὶ μύρων παρασκευὴν ἀπῆλθεν εὐθὺς, εἰπὼν ἐγώ σε θύειν ᾤμην, οὐχ ὑβρίζειν. Τοῦ δὲ μαγείρου τοῖς συνάρχουσιν ἡμερῶν τινῶν δαπάνην ἀπολογιζομένου, πρὸς μόνον ἠγανάκτησε τὸ πλῆ-

θος

ϑος τοῦ ἐλαίου, θαυμασάντων δὲ τῶν συναρχόντων, οὐ τὸ τῆς δαπάνης ἔφη λυπεῖν αὐτὸν, ἀλλ' εἰ τοσοῦτον ἔλαιον ἐντὸς παραδέδεκται τοῦ σώματος. Ἑορτὴν δὲ τῆς πόλεως ἀγούσης, καὶ πάντων ἐν πότοις καὶ συνουσίαις ὄντων, ἀπήντησέ τινι τῶν συνήθων αὐχμηρὸς καὶ σύννους βαδίζων, θαυμάζοντος δὲ καὶ πυνθανομένου τί δὴ μόνος οὕτως ἔχων περίεισιν, ὅπως εἶπεν ἐξῇ πᾶσιν ὑμῖν μεθύειν καὶ ῥαθυμεῖν. Ἄνθρωπον δὲ φαῦλον ἐξημαρτηκότα τι τῶν μετρίων, τοῦ μὲν Πελοπίδου παρακαλοῦντος, οὐκ ἀφῆκε, τῆς δ' ἐρωμένης δεηθείσης, ἀφῆκεν, εἰπὼν ὅτι τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις ἀλλὰ μὴ στρατηγοῖς. Ἐπεὶ δὲ Λακεδαιμονίων ἐπιστρατευομένων ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν, ἧτταν, οἱ δὲ νίκην φράζοντες, ἐκέλευσε τοὺς μὲν ἐπὶ δεξιᾷ τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ' ἀριστερᾷ. τεθέντων δὲ πάντων, ἀναστὰς εἶπεν, ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσὶν οἱ χρησμοὶ, δείξας τοὺς βελτίονας. ἐὰν δὲ ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι, πρὸς τοὺς χείρονας εἰπών. Πάλιν δὲ προσάγων τοῖς πολεμίοις, βροντῆς γενομένης καὶ τῶν περὶ αὐτὸν πυνθανομένων, τί σημαίνειν οἴεται τὸν θεὸν, ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, ὅτι τοιούτων χωρίων ἐγγὺς ὄντων, ἐν τοιούτοις στρατοπεδεύουσιν. ἥδιστον δὲ πάντων αὐτῷ τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν εἶναι ἔλεγε, τὸ τῶν γειναμένων αὐτὸν τοῦ πατρὸς ζῶντος ἔτι καὶ τῆς μητρὸς, ἐν Λεύκτροις νικῆσαι Λακεδαιμονίους. Εἰωθὼς δὲ φαίνεσθαι τὸν ἄλλον χρόνον ἀληλιμμένος τὸ σῶμα, καὶ φαιδρὸς τῷ προσώπῳ, μετὰ τὴν μάχην ἐκείνην τῇ ὑστεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινός. τῶν δὲ φίλων ἐρωτώντων μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν, οὐδὲν εἶπεν, ἀλλ' ἐχθὲς ᾐσθόμην ἐμαυτοῦ μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος, διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς. Εἰδὼς δὲ τοὺς Σπαρτιάτας ἐπικρυπτομένους τὰ τοιαῦτα συμπτώματα, καὶ βουλόμενος ἐξελέγξαι τὸ μέγεθος

ϑος

θος τῆς συμφορᾶς αὐτῶν, οὐχ ὁμοῦ πᾶσι νεκρῶν ἀναίρεσιν, ἀλλ' ἑκάστοις κατὰ πόλιν ἔδωκεν ὥστε πλείονας ἢ χιλίους ὄντας ὀφθῆναι τοὺς Λακεδαιμονίων. Ἰάσονος δὲ τοῦ Θεσσαλῶν μονάρχου συμμάχου μὲν εἰς Θήβας παραγενομένου, δισχιλίους δὲ χρυσοῦς τῷ Ἐπαμινώνδᾳ πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσίον οὐκ ἔλαβε, τὸν δὲ Ἰάσονα θεασάμενος, ἀδίκων ἔφη χειρῶν ἄρχεις· αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος τῶν πολιτῶν, ἐφόδιον τῆς στρατιᾶς ἐνέβαλεν εἰς Πελοπόννησον. Αὖθις δὲ τοῦ Περσῶν βασιλέως τρισμυρίους δαρεικοὺς ἀποστείλαντος αὐτῷ, καθήψατο πικρῶς Διομέδοντος, εἰ τοσοῦτον πλοῦν πέπλευκε διαφθερῶν Ἐπαμινώνδαν, πρὸς δὲ τὸν βασιλέα λέγειν ἐκέλευσεν, ὅτι τὰ συμφέροντα Θηβαίοις φρονῶν, ἕξει προῖκα φίλον Ἐπαμινώνδαν, τὰ δὲ μὴ συμφέροντα, πολέμιον. Ἐπεὶ δὲ Ἀργεῖοι μὲν ἐγένοντο σύμμαχοι Θηβαίων, ἀθηναίων δὲ πρέσβεις εἰς ἀρκαδίαν παραγενόμενοι κατηγόρουν ἀμφοτέρων, καὶ Καλλίστρατος ὁ ῥήτωρ ὠνείδισε τὸν Ὀρέστην καὶ τὸν Οἰδίποδα ταῖς πόλεσιν, ἐπαναστὰς ὁ Ἐπαμινώνδας, ὁμολογοῦμεν ἔφη καὶ παρ' ἡμῖν πατροκτόνον γενέσθαι, καὶ παρ' ἀργείοις μητροκτόνον, ἀλλὰ τοὺς ταῦτα δράσαντας, ἡμεῖς μὲν ἐξεβάλομεν, ἀθηναῖοι δὲ ὑπεδέξαντο. Πρὸς δὲ τοὺς σπαρτιάτας, πολλὰ καὶ μεγάλα τῶν Θηβαίων κατηγορήσαντας, οὗτοι μέντοι εἶπεν, ὑμᾶς βραχυλογοῦντας ἔπαυσαν. Ἐπεὶ δὲ Ἀλέξανδρον τὸν Φεραίων τύραννον πολέμιον ὄντα Θηβαίων, ἀθηναῖοι φίλον ἐποιήσαντο καὶ σύμμαχον, ὑποσχόμενον αὐτοῖς ἡμιοβολίου τὴν μνᾶν κρεῶν ὤνιον παρέξειν, ἡμεῖς δὲ ἔφη ὁ Ἐπαμινώνδας ξύλα προῖκα παρέξομεν ἀθηναίοις ἐπὶ τὰ κρέα ταῦτα, τὴν δὲ χώραν αὐτῶν τεμνοῦμεν, ἂν πολυπραγμονῶσι. Τοὺς δὲ Βοιωτοὺς ὑπὸ σχολῆς ἐκλυομένους ἀεὶ βουλόμενος ἐν τοῖς ὅπλοις συνέχειν, ὁπότε βοιωτάρχης αἱρεθείη παραινῶν ἔλεγε, ἔτι βουλεύσασθε ἄνδρες. ἐὰν γὰρ ἐγὼ στρατηγῶ, στρατευτέον ἐστὶν ὑμῖν. καὶ τὴν χώραν ὑπτίαν

οὖσαν καὶ ἀναπεπταμένην, πολέμου ὀρχήστραν προσηγόρευεν, ὡς μὴ δυναμένους κρατεῖν αὐτῆς, ἂν μὴ τὴν χεῖρα διὰ πόρπακος ἔχωσι. Τοῦ δὲ Χαβρίου περὶ Κόρινθον ὀλίγους τινὰς τῶν Θηβαίων ὑπὸ τὰ τείχη φιλομαχοῦντας καταβαλόντος καὶ στήσαντος τρόπαιον, ὁ Ἐπαμινώνδας καταγελῶν ἔφη, ἐνταῦθα δὴ οὐ τρόπαιον, ἀλλὰ Ἑκατήσιον ἱστάναι. τὴν γὰρ Ἑκάτην ἐπιεικῶς ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις. Ἀπαγγείλαντος δέ τινος ὡς Ἀθηναῖοι στράτευμα καινοῖς κεκοσμημένον ὅπλοις εἰς Πελοπόννησον ἀπεστάλκασι, τί οὖν εἶπεν; Ἀντιγενίδας στένει, καινοὺς Τέλληνος αὐλοὺς ἔχοντος; ἦν δὲ αὐλητὴς ὁ μὲν Τέλλης κάκιστος, ὁ δὲ Ἀντιγενίδας, κάλλιστος. τὸν δὲ ὑπασπιστὴν αἰσθόμενος εἰληφότα χρήματα πολλὰ παρ' ἀνδρὸς αἰχμαλώτου γεγονότος, ἐμοὶ μὲν εἶπεν ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον ἐν ᾧ καταζήσεις, οὐκέτι γὰρ ἐθέλεις κινδυνεύειν ὁμοίως εἷς τῶν πλουσίων γεγονὼς καὶ μακαρίων. Ἐρωτηθεὶς δὲ πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν, ἢ Χαβρίαν, ἢ Ἰφικράτην, δύσκριτον εἶπεν ἕως ζῶμεν. Ἐπεὶ δ' ἐκ τῆς Λακωνικῆς ὑποστρέψας, ἔφευγε θανάτου δίκην μετὰ τῶν συστρατήγων ὡς ἐπιβαλὼν τῇ βοιωταρχίᾳ παρὰ τὸν νόμον τέσσαρας μῆνας, τοὺς μὲν οὖν ἄρχοντας ἐκέλευσεν εἰς ἑαυτὸν ἀναφέρειν τὴν αἰτίαν ὡς ἐκβιασθέντας, αὐτὸς δὲ οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων λόγους, εἰ δὲ δεῖ πάντως εἰπεῖν πρὸς τοὺς δικαστὰς, ἀξιοῦν, ἂν ἀποκτείνωσιν αὐτὸν, ἐπιγράψαι τῇ στήλῃ τὴν καταδίκην, ὅπως οἱ Ἕλληνες εἰδῶσιν ὅτι μὴ βουλομένους Θηβαίους, Ἐπαμινώνδας ἠνάγκασε τὴν Λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδῄωτον οὖσαν, οἰκίσαι δὲ Μεσσήνην δι' ἐτῶν τριάκοντα καὶ διακοσίων, συντάξαι δὲ καὶ συναγαγεῖν εἰς ταυτὸν Ἀρκάδας, ἀποδοῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν, ταῦτα γὰρ ἐπράχθη κατ' ἐκείνην τὴν στρατείαν. ἐξῆλθον οὖν οἱ δικασταὶ σὺν πολλῷ γέλωτι, μὴ δὲ τὰς ψήφους ἐπ' αὐτὸν ἀναλαβόντες. Ἐν δὲ τῇ τελευταίᾳ μά-

χῃ

χη τρωθεὶς καὶ κομισθεὶς ἐπὶ σκηνὴν, ἐκάλει Δαΐφαντον, εἶτα μετ᾽ ἐκεῖνον Ἰολλίδαν, τεθνάναι δὲ τοὺς ἄνδρας πυθόμενος, ἐκέλευε διαλύεσθαι πρὸς τοὺς πολεμίους, ὡς οὐκ ὄντος αὐτοῖς στρατηγοῦ, καὶ τῷ λόγῳ τὸ ἔργον ἐμαρτύρησεν, ὡς εἰδότος ἄριστα τοὺς πολίτας.

Πελοπίδας δὲ ὁ συστράτηγος Ἐπαμινώνδου, τῶν φίλων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγκαίου χρημάτων συναγωγῆς, ἀναγκαῖα τὰ χρήματα νὴ Δία εἶπε τούτῳ Νικομήδει, δείξας χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον. Τῆς δὲ γυναικὸς ἐπὶ μάχην ἐξιόντος αὐτοῦ δεομένης σώζειν ἑαυτὸν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ, σώζειν τοὺς πολίτας. Εἰπόντος δέ τινος τῶν στρατιωτῶν, ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους, τί μᾶλλον εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι; Ἐπεὶ δὲ παρασπονδηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου, καὶ δεθεὶς, κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου σπεύδεις ἀποθανεῖν; πάνυ μὲν οὖν εἶπεν, ἵνα μᾶλλον ἐπὶ σὲ παροξυνθῶσι Θηβαῖοι, καὶ σὺ δίκην δῷς τάχιον. Θήβης δὲ τῆς τοῦ τυράννου γυναικὸς ἐλθούσης πρὸς Πελοπίδαν, καὶ λεγούσης θαυμάζειν, ὅτι οὕτως ἱλαρός ἐστι δεδεμένος, αὐτὸς ἔφη μᾶλλον θαυμάζειν ἐκείνην, ὅτι μὴ δεδεμένη ὑπομένει Ἀλέξανδρον. Κομισαμένου δ᾽ αὐτὸν τοῦ Ἐπαμινώνδου, χάριν εἶπεν ἔχειν Ἀλεξάνδρῳ. πεπειρᾶσθαι γὰρ ἑαυτοῦ νῦν μάλιστα οὐ πρὸς πόλεμον ἀλλὰ καὶ πρὸς θάνατον εὖ θαρσῶς ἔχοντος.

Μάνιος Κούριος, ἐγκαλούντων αὐτῷ τινῶν, ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε, τὴν δὲ πολλὴν ἐποίησε δημοσίαν, ἐπηύξατο μηδένα γενέσθαι Ῥωμαίων ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν. Σαυνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς αὐτὸν, καὶ χρυσίον διδόντων, ἔτυχεν ἐν χύτραις ἕψων γογγυλίδας, ἀπεκρίνατο δὲ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν, αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν, τὸ κρατεῖν τῶν ἐχόντων. Γάϊος Φαβρίκιος τὴν

ὑπὸ Πύῤῥου Ῥωμαίων ἧτταν πυθόμενος, Λαβιηΐνῳ εἶπε, Πύῤῥος, οὐκ Ἠπειρῶται Ῥωμαίους νενικήκασιν. Ἐλθὼν δὲ πρὸς Πύῤῥον περὶ λύσεως αἰχμαλώτων, χρυσίον μὲν πολὺ διδόντος, οὐκ ἔλαβε, τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα τοῦ Πύῤῥου παρακελεύσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥήξαντα φωνὴν ἐπιφανῆναι, καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος καὶ μειδιάσας, ἐμὲ εἶπεν οὔτε τὸ χρυσίον ἐχθὲς, οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε. Τοῦ δὲ Πύῤῥου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ τὴν μετ' αὐτὸν ἔχειν ἡγεμονίαν, οὐδέ σοι ἔφη τοῦτο λυσιτελές ἐστιν, Ἠπειρῶται γὰρ ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ' ἐμοῦ βασιλεύεσθαι μᾶλλον, ἢ σοῦ ἐθελήσουσιν. Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρὸς ἐπαγγελλόμενος ἐὰν κελεύῃ φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν, ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν αἰσθέσθαι κελεύσας, διότι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων. ἐπεὶ δὲ φωράσας τὴν ἐπιβουλὴν ὁ Πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεὰν, ἀλλ' ἴσους ἀντέδωκε, μὴ δόξῃ λαμβάνειν μισθὸν, οὐ δὲ γὰρ χάριτι Πύῤῥου, μεμηνυκέναι τὴν ἐπιβουλὴν, ἀλλ' ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κτείνειν ὡς φανερῶς νικᾶν οὐ δυνάμενοι.

Φάβιος Μάξιμος Ἀννίβα μάχεσθαι μὴ βουλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ, καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων οὖσαν ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών. καταγελώντων δὲ τῶν πολλῶν, καὶ παιδαγωγὸν Ἀννίβα καλούντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὐτοῦ λογισμοῖς, καὶ πρὸς τοὺς φίλους ἔλεγεν ὅτι τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας, δειλότερον ἡγεῖται τοῦ φεύγοντος τοὺς πολεμίους. Ἐπεὶ δὲ τοῦ συνάρχοντος Μινουκίου καταβαλόντος τινὰς τῶν πολεμίων, πολὺς ἦν λόγος ὡς ἀνδρὸς ἀξίου τῆς Ῥώμης, μᾶλλον ἔφη τὴν εὐτυχίαν ἢ τὴν ἀτυχίαν τοῦ Μινουκίου φοβεῖσθαι. καὶ μετὰ μικρὸν ἐνέδρα

περιπεσόντος, κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως, ἐπιβοηθήσας τῶν τε πολεμίων πολλοὺς διέφθειρε, κἀκεῖνον ἔσωσεν. Ὁ μὲν οὖν Ἀννίβας, εἶπε πρὸς τοὺς φίλους οὐ πολλάκις ὑμῖν προὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ' ἡμᾶς; Μετὰ δὲ τὴν ἐν Κάνναις ἀτυχίαν τῆς πόλεως, ἄρχων κατασταθεὶς μετὰ Κλαυδίου Μαρκέλλου τόλμαν ἔχοντος ἀνδρὸς, καὶ φιλομαχοῦντος ἀεὶ πρὸς τὸν Ἀννίβαν αὐτὸς ἤλπιζεν εἰ μηδεὶς μάχοιτο ταχὺ τὴν δύναμιν τοῦ Ἀννίβα παρατεινομένην ἀπαγορεύσειν. ἔλεγεν οὖν ὁ Ἀννίβας ὅτι μᾶλλον φοβεῖται Μαρκέλλου μαχομένου, Φάβιον μὴ μαχόμενον. Στρατιώτου δέ τινος Λευκανοῦ κατηγορηθέντος πρὸς αὐτὸν ὡς νύκτωρ ἀπὸ τοῦ στρατοπέδου πλανῷτο πολλάκις ἐρῶν γυναικὸς, τὰ δ' ἄλλα θαυμαστὸν ἐν τοῖς ὅπλοις πυνθανόμενος εἶναι τὸν ἄνδρα, συλλαβεῖν ἐκέλευσε τὴν ἐρωμένην αὐτοῦ κρύφα καὶ πρὸς αὐτὸν ἀγαγεῖν. ὡς δ' ἤχθη, μεταπεμψάμενος τὸν ἄνθρωπον, οὐ λέληθας ἔφη παρὰ τὸν νόμον ἀπονυκτερεύων, ἀλλ' οὐδὲ χρηστὸς ὢν πρότερον ἐλελήθεις· τὰ μὲν οὖν ἡμαρτημένα λελύσθω τοῖς ἀνδραγαθημένοις, τὸ δὲ λοιπὸν ἔσῃ μεθ' ἡμῶν, ἔχω γὰρ ἐγγυητὴν, καὶ προαγαγὼν συνέστησεν αὐτῷ τὸ γύναιον. Ταραντίνους δὲ κατέχοντα φρουρᾷ τοῦ Ἀννίβαν πλὴν τῆς ἀκροπόλεως, ἀπαγαγὼν πορρωτάτω δι' ἀπάτης, καὶ τὴν πόλιν ἑλὼν καὶ διαρπάσας, τοῦ γραμματέως ἐπερωτήσαντος τί περὶ τῶν ἱερῶν ἔγνωκεν ἀγαλμάτων, ἀπολείπομεν ἔφη Ταραντίνοις τοὺς θεοὺς κεχολωμένους. Μάρκου δὲ Λιβίου τοῦ τὴν ἀκρόπολιν φρουροῦντος δι' ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος, οἱ μὲν ἄλλοι κατεγέλων, ὁ δὲ Φάβιος εἶπεν, ἀληθῆ λέγεις, εἰ γὰρ μὴ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ ἀνέλαβον. Ἤδη δὲ πρεσβύτερος ὢν ὑπατεύοντος τοῦ υἱοῦ, καὶ χρηματίζοντος ἐν δημοσίῳ πολλῶν παρόντων, ἀναβὰς ἐφ' ἵππου προῄει, πέμψαντος δὲ τοῦ νεανίσκου ῥαβδοῦχον καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διετράπησαν, αὐτὸς δὲ ὁ Φάβιος ἀποπηδήσας τοῦ ἵππου προσέ-

αὐτῷ προσφερομένης ἐρωτηθεὶς εἴτι λέγει πρὸς τὸν υἱὸν, ἐγώ σοι εἶπεν ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν ἀθηναίοις μνησικακεῖν

Πεισίστρατος ὁ ἀθηναίων τύραννος, ἐπεὶ τῶν φίλων τινὲς ἀποστάντες αὐτοῦ φυλὴν κατέλαβον, ἦλθε πρὸς αὐτοὺς στρωματόδεσμον αὐτὸς κομίζων· πυνθανομένων δὲ ἐκείνων τί βούλεται, πείσας ὑμᾶς εἶπεν ἀπαγαγεῖν, ἢ μὴ πείσας, μένειν μεθ' ὑμῶν, καὶ διὰ τοῦτο ἀφῖγμαι συνεσκευασμένος. Διαβληθείσης δὲ τῆς μητρὸς πρὸς αὐτόν, ὡς ἐρᾷ τινὸς νεανίσκου καὶ κρύφα σύνεστι φοβουμένῳ καὶ παραιτουμένῳ τὰ πολλά, καλέσας ἐπὶ δεῖπνον τὸν νεανίσκον, ἠρώτησε δειπνήσαντα πῶς γέγονεν, ἡδέως δὲ φήσαντος, ταῦτά σοι ἔφη καθ' ἡμέραν ἔσται, ἐὰν τῇ μητρί μου ἀρέσκῃς. Ἐπεὶ δὲ Θρασύβουλος ἐρῶν αὐτοῦ τῆς θυγατρὸς ἐφίλησεν ἀπαντήσας, παροξυνόμενος ἐπ' αὐτὸν ὑπὸ τῆς γυναικὸς, ἂν τοὺς φιλοῦντας εἶπε μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας; καὶ ἔδωκεν γυναῖκα τῷ Θρασυβούλῳ τὴν παρθένον. Κωμαστῶν δέ τινων περιτυχόντων αὐτοῦ τῇ γυναικὶ καὶ πολλὰ πραξάντων ἀσελγῆ καὶ εἰπόντων, μεθ' ἡμέραν δὲ τοῦ Πεισιστράτου δεομένων καὶ δακρυόντων, ὑμεῖς μὲν ἔφη πειρᾶσθε σωφρονεῖν τολοιπὸν, ἡ δ' ἐμὴ γυνὴ τοπαράπαν ἐχθὲς οὐδαμῆ προῆλθε. Τῶν παίδων αὐτοῦ γαμεῖν ἑτέραν γυναῖκα μέλλοντος ἐξεπυνθανομένων, μή τι μεμφόμενος αὐτῇ εἴη, ἥκιστα εἶπεν, ἀλλ' ἐπαινῶν καὶ βουλόμενος ἑτέρους μοι παῖδας τοιούτους γενέσθαι.

Δημήτριος ὁ φαληρεὺς, Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει, τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν, ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.

Λυκοῦργος ὁ Λακεδαιμόνιος εἴθισε τοὺς πολίτας κομᾶν, λέγων ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους. Πρὸς δὲ τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει

λει

λει δημοκρατίαν, σὺ πρῶτος εἶπεν ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν. Ἐκέλευε δὲ τὰς οἰκίας ποιεῖν ἀπὸ πελέκεως καὶ πρίονος μόνον, αἰσχύνεσθαι γὰρ εἰς οἰκίας λιτὰς ἐκπώματα καὶ στρώματα καὶ τραπέζας πολυτελεῖς εἰσφέροντας. Πυγμὴν δὲ καὶ παγκράτιον ἀγωνίζεσθαι ἐκώλυσεν, ἵνα μηδὲ παίζοντες ἀπαυδᾷν ἐθίζωνται.

Στρατεύειν δὲ πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώλυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους. ὕστερον οὖν τοῦ Ἀγησιλάου τρωθέντος, ὁ Ἀνταλκίδας εἶπεν καλὰ διδασκάλια παρὰ Θηβαίων λαμβάνειν αὐτὸν ἐθίσαντα καὶ διδάξαντα πολεμεῖν ἄκοντας.

Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς διατί νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν. Τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου, νὴ τὼ σιὼ εἶπε κατέκτανον τεῦ, εἰ μὴ ὠργιζόμαν. πρὸς δὲ τὸν πυθόμενον διατί κομῶσιν, εἶπεν ὅτι τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι.

Τήλεκλος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκαλοῦντα τοῖς πολίταις ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, σὺ γὰρ εἶπεν οὐκ οἶδας ἀδικεῖσθαι.

Θεόπομπος ἔν τινι πόλει πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ καὶ πυνθανόμενον εἰ δοκεῖ καλὸν καὶ ὑψηλὸν εἶναι, οὐ δεῖ γυναικῶν, εἶπεν.

Ἀρχίδαμος ἐν τῷ πελοποννησιακῷ πολέμῳ τῶν συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, εἶπεν, ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται.

Βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν, εἶτα πρὸς τοὺς παρόντας οὐδὲν οὕτως ἔφη μικρόν ἐστιν, ὃ μὴ σῴζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας. Ἐν δὲ μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ τραύματος ἑλκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν, ἐπερωτηθεὶς δὲ πῶς ἐτρώθη, προδούσης με τῆς ἀσπίδος εἶπεν. Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐ-

λευ-

λάθεροιῶντα τοὺς ἐπὶ θράκης ἕλλωας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις, τῇ μητρὶ προσῆλθον αὐτοῦ, πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ βρασίδας ἀπέθανεν, ἐγκωμιαζόντων δὲ τῶν θρακῶν αὐτὸν καὶ λεγόντων, ὡς οὐδεὶς ἄλλος ἔσαι τοιοῦτος, ἀγνοεῖτε εἶπεν ὦ ξένοι. βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθὸς, ἀλλὰ Λακεδαίμων πολλοὺς ἔχει τούτου κάῤῥονας.

Α῎γις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς Λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσὶν ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι. Ε᾿ν δὲ Μαντινέᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν, ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον. Ε᾿παινουμένων δὲ τῶν Η᾿λείων ἐπὶ τῷ τὰ ὀλύμπια καλῶς ἄγειν, τί δὲ εἶπε ποιοῦσι θαυμαστὸν, εἰ δι᾽ ἐτῶν τεσσάρων, μιᾷ ἡμέρᾳ χρῶνται τῇ δικαιοσύνῃ. ἐπιμενόντων δὲ τοῖς ἐπαίνοις, ἔφη, τί θαυμαστὸν εἰ πράγματι καλῷ καλῶς χρῶνται τῇ δικαιοσύνῃ. Πρὸς δὲ ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη σπαρτιατῶν, εἶπεν ὁ σοὶ ἀνομοιότατος. Ε᾿τέρου δὲ πυνθανομένου πόσοι εἰσὶ Λακεδαιμόνιοι, ὅσοι εἶπεν ἱκανοὶ τοὺς κακοὺς ἀπείργειν. Καὶ τὸ αὐτὸ ἑτέρου πυνθανομένου, πολλοί σοι ἔφη δόξουσιν εἶναι ἐὰν αὐτοὺς ἴδῃς μαχομένους.

Λύσανδρος Διονυσίου τοῦ τυράννου πέμψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν, εἰπὼν δεδιέναι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσι. Πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι᾽ ἀπάτης τὰ πολλὰ πράσσειν, ὡς ἀνάξιον τοῦ Η᾿ρακλέους, ἔλεγεν ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον εἶναι ἐκεῖ τὴν ἀλωπεκῆν. Πρὸς δὲ Α᾿ργείους δικαιότερα τῶν λακεδαιμονίων λέγειν περὶ τῆς ἀμφισβητουμένης χώρας δοκούντων, σπασάμενος τὴν μάχαιραν, ὁ ταύτης ἔφη κρατῶν, βέλτιστα περὶ γῆς ὅρων διαλέγεται. Τοὺς δὲ λακεδαιμονίους ὁρῶν ὀκνοῦντας προσμάχεσθαι τοῖς τείχεσι τῶν κορινθίων, ὡς εἶδε λαγὼν ἐξαλλόμενον ἐκ τῆς τάφρου, τοιούτους ἔφη φοβεῖσθε πολεμίους, ὧν οἱ λαγοὶ δι᾽ ἀργίαν ἐν τοῖς τείχεσι ἐγκαθεύδουσιν. Μεγαρέως δὲ

ἀνδρὸς ἐν κοινῷ συλλόγῳ παῤῥησίᾳ χρησαμένου πρὸς αὐτὸν, οἱ λόγοι σου εἶπε πόλεως δέονται.

Ἀγησίλαος ἔλεγε τοὺς τὴν Ἀσίαν κατοικοῦντας ἐλευθέρους μὲν, κακοὺς εἶναι· δούλους δὲ, ἀγαθούς. Εἰθισμένων δὲ αὐτῶν τὸν περσῶν βασιλέα μέγαν προσαγορεύειν, τί δὲ ἐκεῖνος εἶπεν ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος; Περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθεὶς πότερα βελτίων, οὐδὲν ἀνδρείας ἔφη χρήζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι. Νυκτὸς δὲ μέλλων κατὰ τάχος ἀναζευγνύειν ἐκ τῆς πολεμίας, καὶ τὸν ἐρώμενον ὁρῶν ἀπολειπόμενον δι' ἀσθένειαν, καὶ δακρύοντα, χαλεπὸν εἶπεν ἅμα ἐλεεῖν καὶ φρονεῖν. Μενεκράτους δὲ τοῦ ἰατροῦ διὸς προσαγορευομένου, γράψαντος ἐπιστολὴν πρὸς αὐτὸν, Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν, ἀντέγραψεν, βασιλεὺς Ἀγησίλαος, Μενεκράτει ὑγιαίνειν. Λακεδαιμονίων δὲ νικησάντων ἀθηναίους, καὶ τοὺς συμμάχους ἐν Κορίνθῳ, πυθόμενος τὸ πλῆθος τῶν πολεμίων νεκρῶν, φεῦ τᾶς Ἑλλάδος εἶπεν, ἃ τοσούτους ὑφ' ἑαυτᾶς ἀπολώλεκεν, ὅσοις ἀρκεῖ τοὺς βαρβάρους νικῆν ἅπαντας. Χρησμὸν δὲ λαβὼν ἐν ὀλυμπίᾳ παρὰ τοῦ διὸς ὃν ἤθελεν, εἶτα τῶν ἐφόρων κελευόντων καὶ τὸν πύθιον ἐρωτῆσαι περὶ τῶν αὐτῶν, εἰς Δελφοὺς παραγενόμενος, ἠρώτησε τὸν θεὸν, εἰ ἅπερ τῷ πατρὶ, δοκεῖ καὶ αὐτῷ. Παραιτούμενος δέ τινα τῶν φίλων παρὰ τοῦ Καρὸς Ἰδριέως, ἔγραψε πρὸς αὐτὸν Νικίας, εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες, εἰ δὲ ἀδικεῖ, ἡμῖν ἄφες, πάντως δὲ ἄφες. Τοῦ δὲ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν ἀκοῦσαι παρακαλούμενος, αὐτᾶς εἶπεν ἄκουκα πολλάκις. Μετὰ δὲ τὴν ἐν Λεύκτροις μάχην πάντας τοὺς τρέσαντας ἀτίμους εἶναι τοῦ νόμου κελεύοντος, ὁρῶντες οἱ ἔφοροι τὴν πόλιν ἀνδρῶν ἔρημον οὖσαν, ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι, καὶ νομοθέτην ἀπέδειξαν τὸν Ἀγησίλαον, ὁ δὲ προελθὼν εἰς τὸ μέσον, ἐκέλευσε τοὺς νόμους ἀπὸ τῆς αὔριον κυρίους εἶναι. Ἐπεὶ δὲ πεμφθεὶς τῷ βασιλεῖ τῶν αἰγυπτίων σύμμαχος, ἐπολιορκεῖτο μετ' αὐτοῦ πολλαπλασιόνων ὄντων τῶν πολε-

λε-

λεμίων, καὶ περιταφρευόντων τὸ στρατόπεδον, κελεύσαντος ἐπεξιέναι καὶ διαμάχεσθαι τοῦ βασιλέως, οὐκ ἔφη διακωλύσειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέσθαι βουλομένους, ἔτι δὲ μικρὸν ἀπολειπούσης τῆς τάφρου συνάψαι κατὰ τοῦτο παρατάξας τὸ διαλεῖπον, καὶ πρὸς ἴσους ἴσοι ἀγωνισάμενοι ἐνίκησαν. Ἀποθνήσκων δὲ τοὺς φίλους ἐκέλευσε μηδεμίαν πλαστὴν μηδὲ μιμηλὴν ποιήσασθαι, τὰς εἰκόνας οὕτω προσαγορεύων. εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν. εἰ δὲ μηδέν, οὐδ' οἱ πάντες ἀνδριάντες.

Ἀρχίδαμος ὁ Ἀγησιλάου, καταπελτικὸν ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθέν, ἀνεβόησεν, ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.

Ὁ δὲ νεώτερος Ἆγις, Δημάδου λέγοντος ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, καὶ μήν, ἔφη, μάλιστα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται. Τῷ δὲ προδότῃ παραδοῦναι στρατιώτας τῶν ἐφόρων κελευόντων, οὐκ ἔφη πιστεύειν τοὺς ἀλλοτρίους τῷ προδόντι τοὺς ἰδίους.

Κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώσειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι, μὴ σύγε, εἶπεν. ἀλλὰ δός μοι τοὺς κατακτείνοντας ἐν τῷ μάχεσθαι.

Παιδάρετος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει. χαίρειν λέγων, εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας.

Δαμωνίδας δὲ ταχθεὶς εἰς τὴν τελευταίαν τοῦ χοροῦ τάξιν ὑπὸ τοῦ τὸν χορὸν ἱστάντος, εὖγε, εἶπεν, ἐξεῦρες πῶς καὶ αὕτη ἔντιμος γένηται.

Νικόστρατος ὁ τῶν Ἀργείων στρατηγὸς ὑπὸ Ἀρχιδάμου χωρίον τι προδοῦναι παρακαλούμενος ἐπὶ χρήμασι πολλοῖς, καὶ γάμῳ Λακαίνης ἣν βούλεται, δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο

μὴ

μὴ εἶναι τὸν Ἀρχίδαμον ἀφ᾽ Ἡρακλέους· τὸν μὲν γὰρ Ἡρακλέα, περιϊόντα τοὺς κακοὺς κολάζειν, Ἀρχίδαμον δὲ τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν.

Εὐδαμονίδας ἰδὼν ἐν ἀκαδημίᾳ Ξενοκράτην πρεσβύτερον ἤδη μετὰ τῶν μαθητῶν φιλοσοφοῦντα, καὶ πυθόμενος ὅτι τὴν ἀρετὴν ζητεῖ, Πότε οὖν, εἶπεν, αὐτῇ χρήσεται; Πάλιν ἀκούσας φιλοσόφου διαλεχθέντος ὅτι μόνος ἀγαθὸς ὁ σοφός ἐστιν, ὁ μὲν λόγος, ἔφη, θαυμαστὸς, ὁ δὲ λέγων οὐ περιεσσάλπισται.

Ἀντίοχος ἐφορεύων, ὡς ἤκουσεν ὅτι Μεσσηνίοις Φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν εἰ καὶ τὸ κρατεῖν αὐτοῖς μαχομένοις περὶ τῆς χώρας ἔδωκεν.

Ἀνταλκίδας πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλοῦντα τοὺς Λακεδαιμονίους, μόνοι γοῦν, εἶπεν, ἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρ᾽ ὑμῶν. Ἑτέρου δὲ Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος, ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμεν, ἡμεῖς δὲ οὐδέποτε, εἶπεν, ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα. Σοφιστοῦ δὲ μέλλοντος ἀναγινώσκειν ἐγκώμιον Ἡρακλέους, ἔφη, τίς γὰρ αὐτὸν ψέγει;

Ἐπαμινώνδου τοῦ Θηβαίου στρατηγοῦντος, οὐδέποτε πανικὸς θόρυβος ἐνέπεσεν εἰς τὸ στρατόπεδον. ἔλεγε δὲ τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον. τῶν δὲ ὁπλιτῶν δεῖν ἀπέφαινεν εἶναι τὸ σῶμα γεγυμνασμένον, οὐκ ἀθλητικῶς μόνον ἀλλὰ καὶ στρατιωτικῶς. Διὸ καὶ τοῖς πολυσάρκοις ἐπολέμει, καί τινα τοιοῦτον ἀπήλασε τῆς στρατιᾶς, εἰπὼν ὅτι μόλις αὐτοῦ σκέπουσι τὴν γαστέρα ἀσπίδες τρεῖς ἢ τέσσαρες, δι᾽ ἣν οὐχ ἑώρακεν αὐτοῦ τὸ αἰδοῖον. οὕτω δ᾽ ἦν εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς ἐπὶ δεῖπνον ὑπὸ γείτονος εὑρὼν πεμμάτων καὶ ὄψων καὶ μύρων παρασκευὴν ἀπῆλθεν εὐθὺς, εἰπὼν ἐγώ σε θύειν ᾤμην, οὐχ ὑβρίζειν. Τοῦ δὲ μαγείρου τοῖς συνάρχουσιν ἡμερῶν τινῶν δαπάνην ἀπολογιζομένου, πρὸς μόνον ἠγανάκτησε τὸ πλῆθος

θος τοῦ ἐλαίου, θαυμασάντων δὲ τῶν συναρχόντων, οὐ τὸ τῆς δαπάνης ἔφη λυπεῖν αὐτὸν, ἀλλ' εἰ τοσοῦτον ἔλαιον ἐντὸς παραδέδεκται τοῦ σώματος. Ἑορτὴν δὲ τῆς πόλεως ἀγούσης, καὶ πάντων ἐν πότοις καὶ συνουσίαις ὄντων, ἀπήντησέ τινι τῶν συνήθων αὐχμηρὸς καὶ σύννους βαδίζων, θαυμάζοντος δὲ καὶ πυνθανομένου τί δὴ μόνος οὕτως ἔχων περίεισιν, ὅπως εἶπεν ἐξῇ πᾶσιν ὑμῖν μεθύειν καὶ ῥαθυμεῖν. Ἄνθρωπον δὲ φαῦλον ἐξημαρτηκότα τι τῶν μετρίων, τοῦ μὲν Πελοπίδου παρακαλοῦντος, οὐκ ἀφῆκε, τῆς δ' ἐρωμένης δεηθείσης, ἀφῆκεν, εἰπὼν ὅτι τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις ἀλλὰ μὴ στρατηγοῖς. Ἐπεὶ δὲ Λακεδαιμονίων ἐπιστρατευομένων ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν, ἧτταν, οἱ δὲ νίκην φράζοντες, ἐκέλευσε τοὺς μὲν ἐπὶ δεξιᾷ τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ' ἀριστερᾷ. τεθέντων δὲ πάντων, ἀναστὰς εἶπεν, ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσὶν οἱ χρησμοὶ, δείξας τοὺς βελτίονας. ἐὰν δὲ ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι, πρὸς τοὺς χείρονας εἰπών. Πάλιν δὲ προσάγων τοῖς πολεμίοις, βροντῆς γενομένης καὶ τῶν περὶ αὐτὸν πυνθανομένων, τί σημαίνειν οἴεται τὸν θεὸν, ἐμβεβροντῆσθαι τοὺς πολεμίους εἶπεν, ὅτι τοιούτων χωρίων ἐγγὺς ὄντων, ἐν τοιούτοις στρατοπεδεύουσιν. ἥδιστον δὲ πάντων αὐτῷ τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν εἶναι ἔλεγε, τὸ τῶν γειναμένων αὐτὸν τοῦ πατρὸς ζῶντος ἔτι καὶ τῆς μητρὸς, ἐν Λεύκτροις νικῆσαι Λακεδαιμονίους. Εἰωθὼς δὲ φαίνεσθαι τὸν ἄλλον χρόνον ἀληλιμμένος τὸ σῶμα, καὶ φαιδρὸς τῷ προσώπῳ, μετὰ τὴν μάχην ἐκείνην τῇ ὑστεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινός· τῶν δὲ φίλων ἐρωτώντων μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν, οὐδὲν εἶπεν, ἀλλ' ἐχθὲς ᾐσθόμην ἐμαυτοῦ μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος, διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς. Εἰδὼς δὲ τοὺς σπαρτιάτας ἐπικρυπτομένους τὰ τοιαῦτα συμπτώματα, καὶ βουλόμενος ἐξελέγξαι τὸ μέγε-

θος

θος τῆς συμφορᾶς αὐτῶν, οὐχ ὁμοῦ πᾶσι νεκρῶν ἀναίρεσιν, ἀλλ' ἑκάστοις κατὰ πόλιν ἔδωκεν ὥς τε πλείονας ἢ χιλίους ὄντας ἐφθάρθαι τοὺς Λακεδαιμονίων. Ἰάσονος δὲ τοῦ Θετταλῶν μονάρχου συμμάχου μὲν εἰς Θήβας παραγενομένου δισχιλίους δὲ χρυσοῦς τῷ Ἐπαμινώνδᾳ πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσίον οὐκ ἔλαβε, τὸν δὲ Ἰάσονα θεασάμενος, ἀδίκων ἔφη χειρῶν ἄρχεις· αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος τῶν πολιτῶν, ἐφόδιον τῆς στρατιᾶς ἐνέβαλεν εἰς Πελοπόννησον. Αὖθις δὲ τοῦ Περσῶν βασιλέως τρισμυρίους δαρεικοὺς ἀποστείλαντος αὐτῷ, καθήψατο πικρῶς Διομέδοντος, εἰ τοσοῦτον πλοῦν πέπλευκε διαφθερῶν Ἐπαμινώνδαν, πρὸς δὲ τὸν βασιλέα λέγειν ἐκέλευσεν, ὅτι τὰ συμφέροντα Θηβαίοις φρονῶν, ἕξει προῖκα φίλον Ἐπαμινώνδαν, τὰ δὲ μὴ συμφέροντα, πολέμιον. Ἐπεὶ δὲ Ἀργεῖοι μὲν ἐγένοντο σύμμαχοι Θηβαίων, ἀθηναίων δὲ πρέσβεις εἰς ἀρκαδίαν παραγενόμενοι κατηγόρουν ἀμφοτέρων, καὶ Καλλίστρατος ὁ ῥήτωρ ὠνείδισε τὸν Ὀρέστην καὶ τὸν Οἰδίποδα ταῖς πόλεσιν, ἐπαναστὰς ὁ Ἐπαμινώνδας, ὁμολογοῦμεν ἔφη καὶ παρ' ἡμῖν πατροκτόνον γενέσθαι, καὶ παρ' ἀργείοις μητροκτόνον, ἀλλὰ τοὺς ταῦτα δράσαντας, ἡμεῖς μὲν ἐξεβάλομεν, ἀθηναῖοι δὲ ὑπεδέξαντο. Πρὸς δὲ τοὺς σπαρτιάτας, πολλὰ καὶ μεγάλα τῶν Θηβαίων κατηγορήσαντας, οὗτοι μέντοι εἶπεν, ὑμᾶς βραχυλογοῦντας ἔπαυσαν. Ἐπεὶ δὲ Ἀλέξανδρον τὸν Φεραίων τύραννον πολέμιον ὄντα Θηβαίων, ἀθηναῖοι φίλον ἐποιήσαντο καὶ σύμμαχον, ὑποσχόμενον αὐτοῖς ἡμιωβολίου τὴν μνᾶν κρεῶν ὤνιον παρέξειν, ἡμεῖς δὲ ἔφη ὁ Ἐπαμινώνδας ξύλα προῖκα παρέξομεν ἀθηναίοις ἐπὶ τὰ κρέα ταῦτα, τὴν δὲ χώραν αὐτῶν τεμνοῦμεν, ἂν πολυπραγμονῶσι. Τοὺς δὲ βοιωτοὺς ὑπὸ σχολῆς ἐκλυομένους ἀεὶ βουλόμενος ἐν τοῖς ὅπλοις συνέχειν, ὁπότε βοιωτάρχης αἱρεθείη παραινῶν ἔλεγε, ἔτι βουλεύσασθε ἄνδρες. ἐὰν γὰρ ἐγὼ στρατηγῶ, στρατευτέον ἐστὶν ὑμῖν. καὶ τὴν χώραν ὑπτίαν

οὖσαν καὶ ἀναπεπταμένην, πολέμου ὀρχήστραν προσηγόρευεν, ὡς μὴ δυναμένους κρατεῖν αὐτῆς, ἂν μὴ τὴν χεῖρα διὰ πόρπακος ἔχωσι. Τοῦ δὲ Χαβρίου περὶ κόρινθον ὀλίγους τινὰς τῶν Θηβαίων ὑπὸ τὰ τείχη φιλομαχοῦντας καταβαλόντος καὶ στήσαντος τρόπαιον, ὁ Ἐπαμινώνδας καταγελῶν ἔφη, ἐνταῦθα δὴ οὐ τρόπαιον, ἀλλὰ ἑκατήσιον ἑστάναι. τὴν γὰρ ἑκάτην ἐπιεικῶς ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις. Ἀπαγγείλαντος δέ τινος ὡς Ἀθηναῖοι στράτευμα καινοῖς κεκοσμημένον ὅπλοις εἰς Πελοπόννησον ἀπεστάλκασι, τί οὖν εἶπεν; Ἀντιγενίδας στένει, καινοὺς Τέλλινος αὐλοὺς ἔχοντος; ἦν δὲ αὐλητὴς ὁ μὲν Τέλλις κάκιστος, ὁ δὲ Ἀντιγενίδας, κάλλιστος. τὸν δὲ ὑπασπιστὴν αἰσθόμενος εἰληφότα χρήματα πολλὰ παρ' ἀνδρὸς αἰχμαλώτου γεγονότος, ἐμοὶ μὲν εἶπεν ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον ἐν ᾧ καταζήσεις, οὐκέτι γὰρ ἐθέλεις κινδυνεύειν ὁμοίως εἷς τῶν πλουσίων γεγονὼς καὶ μακαρίων. Ἐρωτηθεὶς δὲ πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν, ἢ Χαβρίαν, ἢ Ἰφικράτην, δύσκριτον εἶπεν ἕως ζῶμεν. Ἐπεὶ δ' ἐκ τῆς λακωνικῆς ὑποστρέψας, ἔφευγε θανάτου δίκην μετὰ τῶν συστρατήγων ὡς ἐπιβαλὼν τῇ βοιωταρχίᾳ παρὰ τὸν νόμον τέσσαρας μῆνας, τοὺς μὲν οὖν ἄρχοντας ἐκέλευσεν εἰς ἑαυτὸν ἀναφέρειν τὴν αἰτίαν ὡς ἐκβιασθέντας, αὐτὸς δὲ οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων λόγους, εἰ δὲ δεῖ πάντως εἰπεῖν πρὸς τοὺς δικαστὰς, ἀξιοῦν, ἂν ἀποκτείνωσιν αὐτὸν, ἐπιγράψαι τῇ στήλῃ τὴν καταδίκην, ὅπως οἱ Ἕλληνες εἰδῶσιν ὅτι μὴ βουλομένους Θηβαίους, Ἐπαμινώνδας ἠνάγκασε τὴν λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδῄωτον οὖσαν, οἰκίσαι δὲ Μεσσήνην δι' ἐτῶν τριάκοντα καὶ διακοσίων, συντάξαι δὲ καὶ συναγαγεῖν εἰς ταυτὸν Ἀρκάδας, ἀποδοῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν, ταῦτα γὰρ ἐπράχθη κατ' ἐκείνην τὴν στρατείαν. ἐξῆλθον οὖν οἱ δικασταὶ σὺν πολλῷ γέλωτι, μηδὲ τὰς ψήφους ἐπ' αὐτὸν ἀναλαβόντες. Ἐν δὲ τῇ τελευταίᾳ μά-

χῃ

χηρωθεὶς καὶ κομισθεὶς ἐπὶ σκηνὴν, ἐκάλει Δαΐφαντον, εἶτα μετ' ἐκεῖνον Ἰολλίδαν, τεθνάναι δὲ τοὺς ἄνδρας πυθόμενος, ἐκέλευε διαλύεσθαι πρὸς τοὺς πολεμίους, ὡς οὐκ ὄντος αὐτοῖς στρατηγοῦ, καὶ τῷ λόγῳ τὸ ἔργον ἐμαρτύρησεν, ὡς εἰδότος ἄριστα τοὺς πολίτας.

Πελοπίδας ὁ συστράτηγος Ἐπαμινώνδου, τῶν φίλων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγκαίου χρημάτων συναγωγῆς, ἀναγκαῖα τὰ χρήματα νὴ Δία εἶπε τούτῳ Νικομήδει, δείξας χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον. Τῆς δὲ γυναικὸς ἐπὶ μάχην ἐξιόντος αὐτοῦ δεομένης σώζειν ἑαυτὸν, ἄλλοις ἔφη δεῖν τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ, σώζειν τοὺς πολίτας. Εἰπόντος δέ τινος τῶν στρατιωτῶν, ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους, τί μᾶλλον εἶπεν, ἢ εἰς ἡμᾶς ἐκεῖνοι; Ἐπεὶ δὲ παρασπονδηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου, καὶ δεθεὶς, κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου σπεύδεις ἀποθανεῖν; πάνυ μὲν οὖν εἶπεν, ἵνα μᾶλλον ἐπὶ σὲ παροξυνθῶσι Θηβαῖοι, καὶ σὺ δίκην δῷς τάχιον. Θήβης δὲ τῆς τοῦ τυράννου γυναικὸς ἐλθούσης πρὸς Πελοπίδαν, καὶ λεγούσης θαυμάζειν, ὅτι οὕτως ἱλαρός ἐστι δεδεμένος, αὐτὸς ἔφη μᾶλλον θαυμάζειν ἐκείνην, ὅτι μὴ δεδεμένη ὑπομένει Ἀλέξανδρον. Κομισαμένου δ' αὐτὸν τοῦ Ἐπαμινώνδου, χάριν εἶπεν ἔχειν Ἀλεξάνδρῳ. πεπειρᾶσθαι γὰρ ἑαυτοῦ νῦν μάλιστα οὐ πρὸς πόλεμον ἀλλὰ καὶ πρὸς θάνατον εὐθαρσῶς ἔχοντος.

Μάνιος Κούριος, ἐγκαλούντων αὐτῷ τινῶν, ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε, τὴν δὲ πολλὴν ἐποίησε δημοσίαν, ἐπηύξατο μηδένα γενέσθαι Ῥωμαίων ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν. Σαυνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς αὐτὸν, καὶ χρυσίον διδόντων, ἔτυχεν ἐν χύτραις ἕψων γογγυλίδας, ἀπεκρίνατο δὲ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν, αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν, τὸ κρατεῖν τῶν ἐχόντων. Γάϊος Φαβρίκιος τὴν

ὑπὸ Πύῤῥου Ῥωμαίων ἧτταν πυθόμενος, Λαβιηνῷ εἶπε, Πύῤῥος, οὐκ Ἠπειρῶται Ῥωμαίους νενικήκασιν. Ἐλθὼν δὲ πρὸς Πύῤῥον περὶ λύσεως αἰχμαλώτων, χρυσίον μὲν πολὺ διδόντος, οὐκ ἔλαβε, τῇ δ' ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα τοῦ Πύῤῥου παρακελεύσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥήξαντα φωνὴν ἐπιφανῆναι, καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος καὶ μειδιάσας, ἐμὲ εἶπεν οὔτε τὸ χρυσίον ἐχθὲς, οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε. Τοῦ δὲ Πύῤῥου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ τὴν μετ' αὐτὸν ἔχειν ἡγεμονίαν, οὐ δέ σοι ἔφη τοῦτο λυσιτελές ἐστιν, Ἠπειρῶται γὰρ ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ' ἐμοῦ βασιλεύεσθαι μᾶλλον, ἢ σοῦ ἐθελήσουσιν. Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν ἐπιστολὴν ὁ τοῦ Πύῤῥου ἰατρὸς ἐπαγγελλόμενος ἐὰν κελεύῃ φαρμάκοις τὸν Πύῤῥον ἀποκτενεῖν, ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύῤῥον ἔπεμψεν αἰσθέσθαι κελεύσας, διότι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων. ἐπεὶ δὲ φωράσας τὴν ἐπιβουλὴν ὁ Πύῤῥος, τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ Φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεὰν, ἀλλ' ἴσους ἀντέδωκε, μὴ δόξῃ λαμβάνειν μισθὸν, οὐδὲ γὰρ χάριτι Πύῤῥου, μεμηνυκέναι τὴν ἐπιβουλὴν, ἀλλ' ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κτείνειν ὡς φανερῶς νικᾶν οὐ δυνάμενοι.

Φάβιος Μάξιμος Ἀννίβα μάχεσθαι μὴ βουλόμενος, ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ, καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων οὖσαν ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών. καταγελώντων δὲ τῶν πολλῶν, καὶ παιδαγωγὸν Ἀννίβα καλούντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὐτοῦ λογισμοῖς, καὶ πρὸς τοὺς φίλους ἔλεγεν ὅτι τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας, δειλότερον ἡγεῖται τοῦ φεύγοντος τοὺς πολεμίους. Ἐπεὶ δὲ τοῦ συνάρχοντος Μινουκίου καταβαλόντος τινὰς τῶν πολεμίων, πολὺς ἦν λόγος ὡς ἀνδρὸς ἀξίου τῆς Ῥώμης, μᾶλλον ἔφη τὴν εὐτυχίαν ἢ τὴν ἀτυχίαν τοῦ Μινουκίου φοβεῖσθαι. καὶ μετὰ μικρὸν ἐνέδρᾳ

περιπεσόντος, κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως, ἐπιβοηθήσας τῶν τε πολεμίων πολλοὺς διέφθειρε, κἀκεῖνον ἔσωσεν. Ὁ μὲν οὖν Ἀννίβας, εἶπε πρὸς τοὺς φίλους οὐ πολλάκις ὑμῖν προὔλεγον ἐγὼ τὴν ἀπὸ τῶν ἄκρων νεφέλην, ὅτι χειμάσει ποτὲ ἐφ᾽ ἡμᾶς; Μετὰ δὲ τὴν ἐν Κάνναις ἀτυχίαν τῆς πόλεως, ἄρχων κατασταθεὶς μετὰ Κλαυδίου Μαρκέλλου τόλμαν ἔχοντος ἀνδρὸς, καὶ φιλομαχοῦντος ἀεὶ πρὸς τὸν Ἀννίβαν αὐτὸς ἤλπιζεν εἰ μηδεὶς μάχοιτο ταχὺ τὴν δύναμιν τοῦ Ἀννίβα παρατεινομένην ἀπαγορεύσειν. ἔλεγεν οὖν ὁ Ἀννίβας ὅτι μᾶλλον φοβεῖται Μαρκέλλου μαχομένου, Φάβιον μὴ μαχόμενον. Στρατιώτου δέ τινος Λευκανοῦ κατηγορηθέντος πρὸς αὐτὸν ὡς νύκτωρ ἀπὸ τοῦ στρατοπέδου πλανῶτο πολλάκις ἐρῶν γυναικὸς, τὰ δ᾽ ἄλλα θαυμαστὸν ἐν τοῖς ὅπλοις πυνθανόμενος εἶναι τὸν ἄνδρα, συλλαβεῖν ἐκέλευσε τὴν ἐρωμένην αὐτοῦ κρύφα καὶ πρὸς αὐτὸν ἀγαγεῖν. ὡς δ᾽ ἤχθη, μεταπεμψάμενος τὸν ἄνθρωπον, οὐ λέληθας ἔφη παρὰ τὸν νόμον ἀπονυκτερεύων, ἀλλ᾽ οὐδὲ χρηστὸς ὢν πρότερον ἐλελήθεις· τὰ μὲν οὖν ἡμαρτημένα λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ λοιπὸν ἔσῃ μεθ᾽ ἡμῶν, ἔχω γὰρ ἐγγυητὴν, καὶ προαγαγὼν συνέστησεν αὐτῷ τὸ γύναιον. Ταραντίνους δὲ κατέχοντα φρουρᾷ τὸν Ἀννίβαν πλὴν τῆς ἀκροπόλεως, ἀπαγαγὼν πορρωτάτω δι᾽ ἀπάτης, καὶ τὴν πόλιν ἑλὼν καὶ διαρπάσας, τοῦ γραμματέως ἐπερωτήσαντος τί περὶ τῶν ἱερῶν ἔγνωκεν ἀγαλμάτων, ἀπολείπομεν ἔφη Ταραντίνοις τοὺς θεοὺς κεχολωμένους. Μάρκου δὲ Λιβίου τοῦ τὴν ἀκρόπολιν φρουροῦντος δι᾽ ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος, οἱ μὲν ἄλλοι κατεγέλων, ὁ δὲ Φάβιος εἶπεν, ἀληθῆ λέγεις, εἰ γὰρ μὴ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ ἀνέλαβον. Ἤδη δὲ πρεσβύτερος ὢν ὑπατεύοντος τοῦ υἱοῦ, καὶ χρηματίζοντος ἐν δημοσίῳ πολλῶν παρόντων, ἀναβὰς ἐφ᾽ ἵππου προῄει, πέμψαντος δὲ τοῦ νεανίσκου ῥαβδοῦχον καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διετράπησαν, αὐτὸς δὲ ὁ Φάβιος ἀποπηδήσας τοῦ ἵππου προσέ-

δραμε παρ' ἡλικίαν, καὶ περιβαλὼν τὸν υἱὸν, εὖγε εἶπεν ὦ παῖ φρονεῖς, αἰσθόμενος τίνων ἄρχεις, καὶ πηλίκης ἀρχῆς μέγεθος παρείληφας.

Σκιπίων δὲ ὁ πρεσβύτερος, τὴν ἀπὸ τῶν στρατηγῶν καὶ τῆς πολιτείας σχολὴν ἐν γράμμασι διατριβὴν ποιούμενος, ἔλεγεν ὁπότε σχολάζοι πλείονα πράττειν. Ἐπεὶ δὲ Καρχηδόνα κατὰκράτος εἷλε, καὶ τῶν στρατιωτῶν τινὲς αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον, ἧκον κομίζοντες, αὐτῷ τε ἐδίδοσαν, ἡδέως ἂν ἔφη ἔλαβον, εἴπερ ἦν ἰδιώτης καὶ μὴ ἄρχων. Πολιορκῶν δὲ πόλιν Βάθειαν ἧς ὑπερεφαίνετο ναὸς ἀφροδίτης, ἐκέλευσεν ἐκεῖ τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς ἀφροδίτης ἀκουσόμενος τῶν διαδικούντων, καὶ τοῦτ' ἐποίησεν ὡς προεῖπε, τῆς πόλεως ἁλούσης. Πυνθανομένου δέ τινος ἐν σικελίᾳ τίνι πεποιθὼς ἐπὶ καρχηδόνα μέλλει τὸν στόλον περαιοῦν, δείξας αὐτῷ ἐνόπλους ἄνδρας τριακοσίους γυμναζομένους, καὶ πύργον ὑψηλὸν ὑπὲρ θαλάττης, οὐδεὶς τούτων ἔφη ἐστὶν, ὅς τις ἐπὶ τὸν πύργον ἀναβὰς τοῦτον οὐκ ἂν ἑαυτὸν ῥίψειεν ἐπὶ κεφαλὴν, ἐμοῦ κελεύσαντος. Ἐπεὶ δὲ διαβὰς τῆς τε γῆς ἐκράτει, καὶ τὰ στρατόπεδα τῶν πολεμίων κατέκαυσεν, οἱ δὲ καρχηδόνιοι πέμψαντες ἐποιοῦντο συνθήκας, τά τε θηρία καὶ τὰς ναῦς καὶ τὰ χρήματα δώσειν ὁμολογήσαντες· Ἀννίβου δὲ καταπλεύσαντος ἐξ Ἰταλίας, μετεμέλοντο ταῖς ὁμολογίαις διὰ τὸ θαρρεῖν, πυθόμενος δὲ ὁ Σκιπίων ἔφη, μὴ δὲ βουλομένοις αὐτοῖς ἔτι τὰς σπονδὰς φυλάξειν, ἂν μὴ τάλαντα πεντακισχίλια προσεκτίσωσιν, ὅτι μετεπέμψαντο τὸν Ἀννίβαν. Ἐπεὶ δὲ νικηθέντες οἱ καρχηδόνιοι κατακράτος, περὶ σπονδῶν καὶ εἰρήνης πρέσβεις ἀπέστειλαν πρὸς αὐτὸν, ἐκέλευσεν εὐθὺς ἀπιέναι τοὺς ἥκοντας ὡς οὐκ ἀκουσόμενος πρότερον αὐτῶν, ἢ λεύκιον Τερέντιον ἀγάγωσιν· ἦν δὲ ῥωμαῖος ὁ Τερέντιος ἐπιεικὴς ἀνὴρ, γεγονὼς αἰχμάλωτος ὑπὸ καρχηδονίων· ἐπεὶ δὲ ἧκον ἄγοντες τὸν ἄνδρα, καθίσας ἐν τῷ συμβουλίῳ παρ' αὐτὸν ἐπὶ τοῦ βήματος,

οὕτως

οὕτως ἐσχημάτισε τοῖς καρχηδονίοις, καὶ κατέλυσε τὸν πόλεμον. ὁ δὲ Τερέντιος ἐπηκολούθησεν αὐτῷ θριαμβεύοντι πίλιον ἔχων, ὥσπερ ἀπελεύθερος. ἀποθανόντος δὲ τοῖς ἐπὶ τὴν ἐκφορὰν παραγινομένοις ἐνέχει πίνειν οἰνόμελι, καὶ τὰ ἄλλα περὶ τὴν ταφὴν ἐφιλοτιμήθη. ταῦτα μὲν οὖν ὕστερον. Ἀντιόχου δὲ τοῦ βασιλέως μετὰ τὸ διαβῆναι ῥωμαίους ἐπ' αὐτὸν εἰς ἀσίαν πέμψαντος πρὸς Σκιπίωνα περὶ διαλύσεως, ἔδει πρότερον εἶπεν, ἀλλὰ μὴ νῦν ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι. Χρήματα δὲ τῆς συγκλήτου λαβεῖν αὐτὸν ἐκ τοῦ ταμείου ψηφισαμένης, τῶν δὲ ταμιῶν οὐ βουλομένων ἀνοῖξαι τῆς ἡμέρας ἐκείνης, αὐτὸς ἀνοίξειν ἔφη, καὶ γὰρ κλείεσθαι δι' αὐτὸν πλήσαντα χρημάτων τοσούτων τὸ ταμιεῖον. Παιτιλίου δὲ καὶ Κοΐντου πολλὰ πρὸς τὸν δῆμον αὐτοῦ κατηγορησάντων, εἰπὼν ὅτι τῇ σήμερον ἡμέρᾳ καρχηδονίους καὶ Ἀννίβαν ἐνίκησεν, αὐτὸς μὲν ἔφη στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ Καπετώλιον θύσων, τὸν δὲ βουλόμενον τὴν ψῆφον, ἐκέλευσε φέρειν περὶ αὐτοῦ· καὶ ταῦτα εἰπὼν, ἀνέβαινεν, ὁ δὲ δῆμος ἐπηκολούθησεν τοὺς κατηγόρους ἀπολιπὼν λέγοντας.

Τίτος Κοΐντος οὕτως ἦν εὐθὺς ἐξ ἀρχῆς ἐπιφανὴς ὥστε πρὸ δημαρχίας καὶ στρατηγίας καὶ ἀγορανομίας, ὕπατος αἱρεθῆναι· πεμφθεὶς δὲ στρατηγὸς ἐπὶ Φίλιππον, εἰς λόγους ἐπείσθη συνελθεῖν αὐτῷ, τοῦ δὲ Φιλίππου λαβεῖν ὁμήρους ἀξιοῦντος, ἐκεῖνον μὲν γὰρ εἶναι μετὰ πολλῶν ῥωμαίων, ἑαυτὸν δὲ μόνον μακεδόσι, σὺ γὰρ μόνον ὁ Κοΐντος ἔφη ἑαυτὸν ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς. Νικήσας δὲ μάχῃ τὸν Φίλιππον, ἐκήρυξεν ἐν ἰσθμίοις ὅτι τοὺς ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφίησιν. ὅσοι δὲ ῥωμαίων αἰχμάλωτοι γενόμενοι ἐν τοῖς κατ' Ἀννίβαν χρόνοις ἐδούλευον παρὰ τοῖς ἕλλησι, τούτων ἕκαστον οἱ ἕλληνες ἐξωνησάμενοι δραχμῶν πεντακοσίων, δωρεὰν ἔδωκαν αὐτῷ, κἀκεῖνοι θριαμβεύοντι συνηκολούθησαν

δραμε παρ' ἡλικίαν, καὶ περιβαλὼν τὸν ὑὸν, εὖγε εἶπεν ὦ παῖ φρονεῖς, αἰσθόμενος τίνων ἄρχεις, καὶ πηλίκης ἀρχῆς μέγεθος παρείληφας.

Σκιπίων δὲ ὁ πρεσβύτερος, τὴν ἀπὸ τῶν στρατηγῶν καὶ τῆς πολιτείας σχολὴν ἐν γράμμασι διατριβὴν ποιούμενος, ἔλεγεν ὁπότε σχολάζοι πλείονα πράττειν. Ἐπεὶ δὲ Καρχηδόνα κατὰ κράτος εἷλε, καὶ τῶν στρατιωτῶν τινὲς αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον, ἧκον κομίζοντες, αὐτῷ τε ἐδίδοσαν, ἡδέως ἂν ἔφη ἔλαβον, εἴπερ ἦν ἰδιώτης καὶ μὴ ἄρχων. Πολιορκῶν δὲ πόλιν Βαθεῖαν ἧς ὑπερεφαίνετο ναὸς ἀφροδίτης, ἐκέλευσεν ἐκεῖ τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς ἀφροδίτης ἀκουσόμενος τῶν διαδικουμένων, καὶ τοῦτ' ἐποίησεν ὡς προεῖπε, τῆς πόλεως ἁλούσης. Πυνθανομένου δέ τινος ἐν σικελίᾳ τίνι πεποιθὼς ἐπὶ καρχηδόνα μέλλει τὸν στόλον περαιοῦν, δείξας αὐτῷ ἐνόπλους ἄνδρας τριακοσίους γυμναζομένους, καὶ πύργον ὑψηλὸν ὑπὲρ θαλάττης, οὐδεὶς τούτων ἔφη ἐστὶν, ὅς τις ἐπὶ τὸν πύργον ἀναβὰς τοῦτον οὐκ ἂν ἑαυτὸν ῥίψειεν ἐπὶ κεφαλὴν, ἐμοῦ κελεύσαντος. Ἐπεὶ δὲ διαβὰς τῆς τε γῆς ἐκράτει, καὶ τὰ στρατόπεδα τῶν πολεμίων κατέκαυσεν, οἱ δὲ καρχηδόνιοι πέμψαντες ἐποιοῦντο συνθήκας, τά τε θηρία καὶ τὰς ναῦς καὶ τὰ χρήματα δώσειν ὁμολογήσαντες· Ἀννίβου δὲ καταπλεύσαντος ἐξ Ἰταλίας, μετεμέλοντο ταῖς ὁμολογίαις διὰ τὸ θαρρεῖν, πυθόμενος δὲ ὁ Σκιπίων ἔφη, μὴ δὲ βουλομένοις αὐτοῖς ἔτι τὰς σπονδὰς φυλάξειν, ἂν μὴ τάλαντα πεντακισχίλια προσεκτίσωσιν, ὅτι μετεπέμψαντο τὸν Ἀννίβαν. Ἐπεὶ δὲ νικηθέντες οἱ καρχηδόνιοι κατακράτος, περὶ σπονδῶν καὶ εἰρήνης πρέσβεις ἀπέστειλαν πρὸς αὐτὸν, ἐκέλευσεν εὐθὺς ἀπεῖναι τοὺς ἥκοντας ὡς οὐκ ἀκουσόμενος πρότερον αὐτῶν, ἢ λεύκιον Τερέντιον ἀγάγωσιν· ἦν δὲ ῥωμαῖος ὁ Τερέντιος ἐπιεικὴς ἀνὴρ, γεγονὼς αἰχμάλωτος ὑπὸ καρχηδονίων· ἐπεὶ δὲ ἧκον ἄγοντες τὸν ἄνδρα, καθίσας ἐν τῷ συμβουλίῳ παρ' αὐτὸν ἐπὶ τοῦ βήματος, ὅπως

οὕτως ἐσχημάτισε τοῖς καρχηδονίοις, καὶ κατέλυσε τὸν πόλεμον. ὁ δὲ Τερέντιος ἐπηκολούθησεν αὐτῷ θριαμβεύοντι πίλιον ἔχων, ὥσπερ ἀπελεύθερος. ἀποθανόντος δὲ τοῖς ἐπὶ τὴν ἐκφορὰν παραγινομένοις ἐνέχει πίνειν οἰνόμελι, καὶ τὰ ἄλλα περὶ τὴν ταφὴν ἐφιλοτιμήθη. ταῦτα μὲν οὖν ὕστερον. Ἀντιόχου δὲ τοῦ βασιλέως μετὰ τὸ διαβῆναι ῥωμαίους ἐπ' αὐτὸν εἰς ἀσίαν πέμψαντος πρὸς Σκιπίωνα περὶ διαλύσεως, ἔδει πρότερον εἰπεῖν, ἀλλὰ μὴ νῦν ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι. Χρήματα δὲ τῆς συγκλήτου λαβεῖν αὐτὸν ἐκ τοῦ ταμιείου ψηφισαμένης, τῶν δὲ ταμιῶν οὐ βουλομένων ἀνοῖξαι τῆς ἡμέρας ἐκείνης, αὐτὸς ἀνοίξειν ἔφη, καὶ γὰρ κλείεσθαι δι' αὐτὸν πλήσαντα χρημάτων τοσούτων τὸ ταμιεῖον. Παιτιλίου δὲ καὶ Κοΐντου πολλὰ πρὸς τὸν δῆμον αὐτοῦ κατηγορησάντων, εἰπὼν ὅτι τῇ σήμερον ἡμέρᾳ καρχηδονίους καὶ Ἀννίβαν ἐνίκησεν, αὐτὸς μὲν ἔφη στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ Καπετώλιον θύσων, τὸν δὲ βουλόμενον τὴν ψῆφον, ἐκέλευσε φέρειν περὶ αὐτοῦ· καὶ ταῦτα εἰπὼν, ἀνέβαινεν, ὁ δὲ δῆμος ἐπηκολούθησεν τοὺς κατηγόρους ἀπολιπὼν λέγοντας.

Τίτος Κοΐντος οὕτως ἦν εὐθὺς ἐξ ἀρχῆς ἐπιφανὴς ὥστε πρὸ δημαρχίας καὶ στρατηγίας καὶ ἀγορανομίας, ὕπατος αἱρεθῆναι· πεμφθεὶς δὲ στρατηγὸς ἐπὶ Φίλιππον, εἰς λόγους ἐπείσθη συνελθεῖν αὐτῷ, τοῦ δὲ Φιλίππου λαβεῖν ὁμήρους ἀξιοῦντος, ἐκεῖνον μὲν γὰρ εἶναι μετὰ πολλῶν ῥωμαίων, ἑαυτὸν δὲ μόνον μακεδόσι, σὺ γὰρ μόνον ὁ Κοΐντος ἔφη ἑαυτὸν ἐποίησας, ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς. Νικήσας δὲ μάχῃ τὸν Φίλιππον, ἐκήρυξεν ἐν ἰσθμίοις ὅτι τοὺς ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφίησιν. ὅσοι δὲ ῥωμαίων αἰχμάλωτοι γενόμενοι ἐν τοῖς κατ' Ἀννίβαν χρόνοις ἐδούλευον παρὰ τοῖς ἕλλησι, τούτων ἕκαστον οἱ ἕλληνες ἐξωνησάμενοι δραχμῶν πεντακοσίων, δωρεὰν ἔδωκαν αὐτῷ, κἀκεῖνοι θριαμβεύοντι συνηκολούθησαν

ἐν ῥώμῃ πίλια περὶ ταῖς κεφαλαῖς ἔχοντες, ὥσπερ ἔθος ἐστὶν τοῖς ἐλευθερωθεῖσι. Τοὺς δ' Ἀχαιοὺς ἐπὶ τὴν Ζακυνθίων νῆσον διανοουμένους στρατεύειν ἐκέλευε φυλάττεσθαι, μὴ καθάπερ αἱ χελῶναι τὴν κεφαλὴν προτείναντες ἔξω τῆς Πελοποννήσου κινδυνεύσωσιν. Ἀντιόχου δὲ τοῦ βασιλέως μετὰ πολλῆς δυνάμεως ἥκοντος εἰς τὴν ἑλλάδα, καὶ πάντων ἐκπεπληγμένων τὰ πλήθη καὶ τοὺς ὁπλισμοὺς, λόγον εἶπε τοιοῦτον πρὸς τοὺς ἀχαιοὺς, ἔφη γὰρ ἐν Χαλκίδι παρὰ τῷ ξένῳ δείπνῳ θαυμάζειν τὸ τῶν κρεῶν πλῆθος, εἰπεῖν δὲ τὸν ξένον ὅτι ταῦτα πάντα χοίρειά ἐστιν ἡδύσμασι καὶ σκευασίαις διαφέροντα· μὴ τοίνυν μὴ δὲ ὑμεῖς ἔφη θαυμάζετε τὴν βασιλικὴν δύναμιν, λογχοφόρους καὶ καταφράκτους καὶ πεζεταίρους, καὶ ἀμφιπποτοξότας ἀκούοντες, πάντες γάρ εἰσιν οὗτοι Σύροι ὁπλαρίοις ἀλλήλων διαφέροντες. Φιλοποίμενι δὲ τῷ στρατηγῷ τῶν ἀχαιῶν, ἱππεῖς μὲν πολλοὺς καὶ ὁπλίτας ἔχοντι, χρημάτων δὲ οὐκ εὐποροῦντι, προσπαίζων ἔλεγεν ὅτι χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη, γαστέρα δὲ οὐκ ἔχει. καὶ γὰρ καὶ τῇ φύσει τοῦ σώματος ἦν ὁ φιλοποίμην τοιοῦτος.

Γάϊος Δομίτιος, ὃν Σκιπίων ὁ μέγας ἀνθ' ἑαυτοῦ τῷ ἀδελφῷ Λευκίῳ παρακατέστησεν ἐν τῷ πρὸς Ἀντίοχον πολέμῳ, κατασκεψάμενος τὴν τῶν πολεμίων φάλαγγα καὶ τῶν περὶ αὐτὸν ἡγεμονικῶν εὐθὺς ἐπιχειρεῖν κελευόντων, ἔφη τὴν ὥραν οὐκ ἐπαρκεῖν ἵνα τοσαύτας μυριάδας κατακόψαντες καὶ διαρπάσαντες τὴν παρασκευὴν ἐπανελθόντες εἰς τὸ στρατόπεδον, ἑαυτῶν ἐπιμεληθῶσι, τὸ δὲ αὐτὸ ποιήσειν αὔριον καθ' ὥραν· καὶ συμβαλὼν τῇ ὑστεραίᾳ, πεντακισμυρίους τῶν πολεμίων ἀνεῖλεν.

Πόπλιος Λικίνιος ὕπατος στρατηγὸς ἡττηθεὶς ὑπὸ Περσέως τῶν μακεδόνων βασιλέως ἱππομαχίᾳ δυσχιλίους ὀκτακοσίους ἀπέβαλε, τοὺς μὲν πεσόντας, τοὺς δὲ ἁλόντας ἐπεὶ δὲ μετὰ τὴν

μά-

μάχλω ἔπεμψεν ὁ Περσεὺς πρέσβεις περὶ σπονδῶν καὶ εἰρήνης, ἐκέλευεν ὁ νενικημένος τὸν νενικηκότα Ῥωμαίοις ἐπιτρέπειν τὰ καθ' αὑτόν.

Παῦλος Αἰμίλιος δευτέραν ὑπατίαν μετελθὼν, ἀπέτυχεν. ἐπεὶ δὲ τοῦ πρὸς Περσέα καὶ μακεδόνας πολέμου μῆκος λαμβάνοντος ἀπειρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν, ἐκεῖνον ὕπατον ἀπέδειξαν, οὐκ ἔφη χάριν ἔχειν αὐτοῖς, οὐ γὰρ αὐτὸς ἀρχῆς δεόμενος ὡς ἐκεῖνοι ἄρχοντος ᾑρῆσθαι στρατηγός. Ἐλθὼν δὲ εἰς οἶκον ἐξ ἀγορᾶς καὶ τὴν Τερτίαν τὸ θυγάτριον εὑρὼν δεδακρυμένον, ἐπυνθάνετο τὴν αἰτίαν. εἰπούσης δὲ ὅτι Περσεὺς τέθνηκεν ἡμῖν (κυνίδιον δ' ἦν οὕτως ὀνομαζόμενον) ἀγαθῇ τύχῃ εἶπεν ὦ θύγατερ, καὶ δέχομαι τὸν οἰωνόν. Εὑρὼν δὲ ἐπὶ στρατοπέδου πολλὴν θρασύτητα καὶ λαλιὰν, παραστρατηγούντων καὶ πολυπραγμονούντων, ἐκέλευεν ἡσυχίαν ἔχειν καὶ ποιεῖν ὀξείας τὰς μαχαίρας μόνον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν. Τὰς δὲ νυκτερινὰς φυλακὰς ἐκέλευεν φυλάσσειν ἄνευ λόγχης καὶ ξίφους, ὅπως ἀμύνασθαι τοὺς πολεμίους ἀπεγνωκότες, μᾶλλον διαμαχοῦνται πρὸς τὸν ὕπνον. Ἐμβαλὼν δὲ διὰ τῶν ἄκρων εἰς μακεδονίαν, καὶ συντεταγμένους ἰδὼν τοὺς πολεμίους, τοῦ Νασικᾶ παρακαλοῦντος αὐτὸν εὐθὺς ἐπιχειρεῖν, εἴγε τὴν σὴν εἶπεν ἡλικίαν εἶχον, αἱ δὲ πολλαί με πεῖραι κωλύουσιν ἐκ πορείας πρὸς φάλαγγα συντεταγμένην μάχεσθαι. Νικήσας δὲ τὸν Περσέα καὶ τὰς ἐπινικίους ποιούμενος ἑστιάσεις, ἔλεγε τῆς ἐμπειρίας εἶναι στράτευμα φοβερώτερον πολεμίοις, καὶ συμπόσιον ἥδιστον φίλοις παρασχεῖν. Τοῦ δὲ Περσέως αἰχμαλώτου γενομένου καὶ παραιτουμένου τὸν θρίαμβον, ἐπὶ σοὶ εἶπε, τουτέστιν ἐξουσίαν διδοὺς αὐτῷ ἑαυτὸν ἀνελεῖν. Χρημάτων δὲ ἀπείρων εὑρεθέντων, αὐτὸς μὲν οὐκ ἔλαβε, τῷ δὲ γαμβρῷ Τουβέρωνι φιάλην ἀργυρᾶν ὁλκῆς πέντε λιτρῶν ἀριστεῖον ἔδωκε. καὶ τοῦτό φασι πρῶτον εἰς τὸν Αἰμιλίων οἶκον εἰσελθεῖν κειμήλιον ἀργυροῦν. Τεσσάρων δὲ παίδων ἀρρένων αὐτῷ γεγονότων, δύο μὲν πρότερον ἐ-

τύγχανεν ἐνδεδωκὼς ἑτέροις θέσθαι, δυοῖν δὲ ὄντων ἐπὶ τῆς οἰκίας, ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριάμβου τεσσαρεσκαίδεκα γεγονὼς ἔτη ἀπέθανεν, ὁ δὲ ὕστερον πέντε τοῦ θριάμβου δωδεκαετής. προελθὼν δὲ τοῦ δήμου συναλγοῦντος αὐτῷ καὶ συμπενθοῦντος, νῦν ἔφη περὶ τῆς πατρίδος ἀδεὴς γεγονέναι καὶ ἀκίνδυνος, ὁπότε τῶν εὐτυχημάτων τὴν νέμεσιν εἰς τὸν οἶκον ἀπερεισαμένης τῆς τύχης, ὑπὲρ πάντων αὐτὸς ἀναδέδεκται.

Κάτων ὁ πρεσβύτερος ἐν τῷ δήμῳ τῆς ἀσωτίας καὶ πολυτελίας καθαπτόμενος εἶπεν, ὡς χαλεπόν ἐστιν λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν. θαυμάζειν δὲ πῶς σώζεται πόλις, ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς. Λοιδορῶν δέ ποτε τὴν ἐπιπολάζουσαν γυναικοκρατίαν, πάντες εἶπεν ἄνθρωποι τῶν γυναικῶν ἄρχουσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων, ἡμῶν δὲ αἱ γυναῖκες. Ἔφη δὲ βούλεσθαι μᾶλλον εὐεργετήσας μὴ κομίσασθαι χάριν, ἢ μὴ ὑποσχεῖν κόλασιν ἀδικήσας, καὶ πᾶσιν ἀεὶ τοῖς ἁμαρτάνουσιν χωρὶς ἑαυτοῦ δοῦναι συγγνώμην. Παρορμῶν δὲ τοὺς ἄρχοντας ἐπιτιμᾶν τοῖς ἁμαρτάνουσιν, ἔλεγε τοὺς δυναμένους κωλύειν τοὺς κακῶς ποιοῦντας, ἐὰν μὴ κωλύωσι, κατακελεύειν. Τῶν δὲ νέων ἔφη χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσι. Στρατιώτην δὲ μισεῖν, ὃς ἐν τῷ περιπατεῖν τὰς χεῖρας, ἐν δὲ τῷ μάχεσθαι τοὺς πόδας κινεῖ. ῥέγχει δὲ μεῖζον ἢ ἀλαλάζει. Κάκιστον δὲ, ἔλεγεν ἄρχοντα εἶναι, τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον. μάλιστα δὲ ἐνόμιζε δεῖν ἕκαστον ἑαυτὸν αἰδεῖσθαι, μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι. Πολλῶν δὲ ὁρῶν ἀνισταμένους ἀνδριάντας, ἐμοῦ δὲ ἔφη ἐρωτᾶν βούλομαι μᾶλλον τοὺς ἀνθρώπους, διατί ἀνδριὰς οὐ κεῖται Κάτωνος, ἢ διατί κεῖται. φείδεσθαι δὲ τῆς ἐξουσίας παρεκάλει τοὺς δυναμένους, ὅπως ἀεὶ παραμένῃ τὸ ἐξεῖναι. τοὺς δὲ τῆς ἀρετῆς τὴν τιμὴν ἀφαιροῦντας, ἔλεγε τὴν ἀρετὴν ἀφαιρεῖν τῆς νεότητος. τὸν δὲ ἄρχοντα ἢ κριτὴν ἔλεγε δεῖν μήτε ὑπὲρ τῶν δικαίων λιπαρεῖσθαι, μὴ δὲ ὑπὲρ τῶν ἀδίκων ἐκλιπαρεῖσθαι.

τὴν

τὴν δὲ ἀδικίαν ἔλεγε τοῖς ἀδικοῦσι, κἂν μὴ φέρῃ κίνδυνον, ἅπασι φέρειν. τῷ δὲ γήρᾳ πολλῶν παρόντων, ἠξίου μὴ προστιθέναι τὴν ἀπὸ τῆς κακίας αἰσχύνην. τὸν δὲ ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν. ἥκιστα δὲ φθονεῖσθαι τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως. οὐ γὰρ ἡμῖν, ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσι. τοὺς δὲ σπουδάζοντας ἐν τοῖς γελοίοις, ἔλεγεν ἐν τοῖς σπουδαίοις ἔσεσθαι καταγελάστους. Τὰς καλὰς πράξεις ἔλεγε δεῖν καταλαμβάνειν λόγους καλοὺς ἵνα μὴ τῆς δόξης ἀποῤῥέωσιν. Ἐπετίμα δὲ τοῖς πολίταις ἀεὶ τοὺς αὐτοὺς αἱρουμένοις ἄρχοντας, δόξετε γὰρ εἶπε μὴ πολλοῦ τὸ ἄρχειν ἄξιον, ἢ μὴ πολλοὺς τοὺς ἄρχειν ἀξίους ἡγεῖσθαι. Τὸν δὲ τοὺς παραλίους ἀγροὺς πεπρακότα, προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης, ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει, οὗτος ῥᾳδίως καταπέπωκε. Τιμητείαν δὲ μετιὼν καὶ τοὺς ἄλλους ὁρῶν δεομένους τῶν πολλῶν καὶ κολακεύοντας, αὐτὸς ἐβόα τὸν δῆμον ἀποτόμου χρείαν ἔχειν ἰατροῦ καὶ μεγάλου καθαρμοῦ, δεῖν οὖν μὴ τὸν ἥδιστον ἀλλὰ τὸν ἀπαραίτητον αἱρεῖσθαι. καὶ ταῦτα λέγων, ᾑρέθη πρὸ πάντων. Διδάσκων δὲ τοὺς νέους εὐθαρσῶς μάχεσθαι, πολλάκις ἔλεγε τοῦ ξίφους τὸν λόγον μᾶλλον, καὶ τὴν φωνὴν τῆς χειρὸς τρέπειν καὶ καταπλήττειν τοὺς πολεμίους. ἐπεὶ δὲ πολεμῶν τοῖς περὶ τὸν Βαῖτιν ποταμὸν οἰκοῦσιν, εἰς κίνδυνον ὑπὸ πλήθους τῶν πολεμίων κατέστη, τῶν μὲν Κελτιβήρων ἐπὶ διακοσίοις ταλάντοις βουλομένων βοηθεῖν, τῶν δὲ ῥωμαίων οὐκ ἐώντων ὁμολογεῖν μισθὸν ἀνθρώποις βαρβάροις, ἁμαρτάνειν ἔφησεν αὐτούς, νικῶντας μὲν γὰρ ἀποδώσειν οὐ παρ᾽ αὑτῶν, ἀλλὰ παρὰ τῶν πολεμίων, ἡττωμένων δὲ μήτε τοὺς ἀπῃτημένους μήτε τοὺς ἀπαιτοῦντας ἔσεσθαι. Πλείονας δὲ πόλεις ἑλὼν ὥς φησι τῶν ἡμερῶν ἃς διέτριψεν ἐν τοῖς πολεμίοις, οὐδὲν αὐτὸς πλέον λαβεῖν ὧν ἔπιε καὶ ἔφαγεν ἐκ τῆς πολεμίας. τῶν δὲ στρατιωτῶν ἑκάστῳ λίτραν ἀργύρου διανείμας, φησὶ βέλτιον εἶναι πολλοὺς ἔχοντας ἀργύριον, ἢ ὀλίγους χρυσίον,

ἀπὸ

ἀπὸ τῆς στρατείας ἐπανελθεῖν, τῶν γὰρ ἀρχόντων οὐδὲν ἄλλο δεῖν ἐν ταῖς ἐπαρχίαις, ἢ τὴν δόξαν αὐξάνεσθαι. πέντε δὲ οἰκέτας εἶχεν ἐπὶ τῆς στρατείας, ὧν εἷς αἰχμάλωτα τρία σώματα πριάμενος, ὡς οὐκ ἔλαθε τὸν Κάτωνα, πρὶν εἰς ὄψιν ἐλθεῖν, ἀπήγξατο. Παρακληθεὶς δὲ ὑπὸ Σκιπίωνος Ἀφρικανοῦ τοῖς ἀχαιῶν συλλαβέσθαι φυγάσιν, ὅπως εἰς τὰς πατρίδας κατέλθωσι, προσεποιεῖτο μηδὲν αὐτῷ μέλειν τοῦ πράγματος· ἐν δὲ τῇ συγκλήτῳ πολλῶν γινομένων λόγων, ἀναστὰς, ὥσπερ οὐκ ἔχοντες εἶπεν, ὃ πράττωμεν, καθήμεθα περὶ γραικῶν γεροντίων ζητοῦντες πότερον ὑπὸ τῶν παρ᾽ ἡμῖν ἢ ὑπὸ τῶν ἐκεῖ νεκροφόρων ἐξενεχθῶσι. Ποσουμίου δὲ Λαβινίου γράψαντος ἱστορίας ἑλληνιστὶ, καὶ συγγνώμην παρὰ τῶν ἀκροωμένων αἰτοῦντος, εἰρωνευόμενος ὁ Κάτων ἔφη, δοτέον εἶναι συγγνώμην, εἰ τῶν Ἀμφικτυόνων ψηφισαμένων ἀναγκασθεὶς ἔγραψε.

Σκιπίωνα τὸν νεώτερον λέγουσιν ἔτεσι πεντήκοντα καὶ τέτρασιν οἷς ἐβίωσε, μηδὲν πρίασθαι, μηδὲν ἀποδόσθαι, μηδὲν οἰκοδομῆσαι, λίτρας δὲ ἀργυρίου τρεῖς καὶ τριάκοντα μόνας ἐν οὐσίᾳ μεγάλῃ, δύο δὲ χρυσίου καταλιπεῖν, καὶ ταῦτα Καρχηδόνος κύριον ὄντα, καὶ μάλιστα τῶν στρατηγῶν πλουτίσαντα τοὺς στρατιώτας. Τὸ δὲ Πολυβίου παράγγελμα διαφυλάττων ἐπειρᾶτο μὴ πρότερον ἐξ ἀγορᾶς ἀπελθεῖν, ἢ ποιήσασθαί τινα συνήθη καὶ φίλον ἁμωσγέπως τῶν ἐντυγχανόντων. Ἔτι δὲ νέος ὢν, τοσαύτην εἶχε δόξαν ἀνδρείας καὶ συνέσεως, ὥστε Κάτωνα μὲν τὸν πρεσβύτερον εἰπεῖν ἐρωτηθέντα περὶ τῶν ἐν Καρχηδόνι στρατευομένων, ἐν οἷς καὶ Σκιπίων ἦν, οἷός τοι πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν. Εἰς δὲ τὴν Ῥώμην ἐλθόντος ἀπὸ στρατείας, ἐκάλουν αὐτὸν, οὐκ ἐκείνῳ χαριζόμενοι, ἀλλ᾽ ὡς Καρχηδόνα δι᾽ ἐκείνου ταχὺ καὶ ῥᾳδίως ληψόμενοι. Ἐπεὶ δὲ παρελθὼν εἰς τὸ τεῖχος, τῶν Καρχηδονίων ἐκ τῆς ἄκρας ἀμυνομένων, τὴν δὲ διὰ μέσου θάλασσαν οὐ πάνυ βαθεῖαν οὖσαν, τοῦ Πολυβίου συμβουλεύοντος αὐτῷ καταπεῖραι τριβόλους σιδηροῦς ἢ σανίδας ἐμ-

βάλ-

βάλλειν κελεύοντας, ὅπως μὴ διαβαίνοντες οἱ πολέμιοι προσμάχωνται τοῖς χώμασιν, ἔφη γελοῖον εἶναι κατειληφότας τὰ τείχη, καὶ τῆς πόλεως ἐντὸς ὄντας, εἶτα πράττειν ὅπως οὐ μαχοῦνται τοῖς πολεμίοις. Εὑρὼν δὲ τὴν πόλιν ἀνδριάντων ἑλληνικῶν καὶ ἀναθημάτων ἀπὸ σικελίας μεστὴν οὖσαν, ἐκήρυξε τοὺς ἀπὸ τῶν πόλεων παρόντας, ἐπιγινώσκειν καὶ κομίζεσθαι. τῶν δὲ χρημάτων οὔτε δοῦλον οὔτε ἀπελεύθερον εἴα λαβεῖν οὐδένα, ἀλλ' οὐδὲ πρίασθαι, πάντων ἀγόντων καὶ φερόντων. Γαΐῳ δὲ Λαιλίῳ τῷ φιλτάτῳ τῶν ἑταίρων ὑπατείαν μετιόντι συμπράττων ἐπηρώτησε Πομπήϊον εἰ καὶ αὐτὸς ὑπατείαν μέτεισιν, ἐδόκει δὲ ὁ Πομπήϊος υἱὸς αὐλητοῦ γεγονέναι, τοῦ δὲ φήσαντος μὴ μετιέναι, ἀλλὰ καὶ τὸν Λαίλιον ἐπαγγελλόμενος συμπεριάξειν καὶ συναρχαιρεσιάσειν, πιστεύσαντες καὶ περιμένοντες ἐκεῖνον, ἐξηπατήθησαν, ἀπηγγέλλετο γὰρ αὐτὸς ἐν ἀγορᾷ περιιὼν καὶ δεξιούμενος τοὺς πολίτας· ἀγανακτούντων δὲ τῶν ἄλλων, ὁ Σκιπίων γελάσας, ἀβελτηρίᾳ δὲ εἶπεν ἡμῶν, καθάπερ οὐκ ἀνθρώπους μέλλοντες, ἀλλὰ θεοὺς παρακαλεῖν πάλαι διατρίβομεν αὐλητὴν ἀναμένοντες. Ἀππίου δὲ Κλαυδίου περὶ τῆς τιμητικῆς ἀρχῆς ἁμιλλωμένου πρὸς αὐτὸν καὶ λέγοντος, ὅτι πάντας ὀνομαστὶ Ῥωμαίους αὐτὸς ἀσπάζεται, Σκιπίωνος ὀλίγου δεῖν ἀγνοοῦντος ἅπαντας, ἀληθῆ λέγεις εἶπεν, ἐμοὶ γὰρ οὐκ εἰδέναι πολλοὺς, ἀλλ' ὑπὸ μηδενὸς ἀγνοεῖσθαι μεμέληκεν. Ἐκέλευε δὲ τοὺς πολίτας ἐπειδὴ ἐτύγχανον πολεμοῦντες Κελτίβηρσιν ἀμφοτέρους ἐπὶ τὴν στρατείαν ἐκπέμψαντας, ἢ πρεσβευτὰς, ἢ χιλιάρχους μάρτυρας λαμβάνειν καὶ κριτὰς τῆς ἑκάστου ἀρετῆς τοὺς πολεμοῦντας. Ἀποδειχθεὶς δὲ τιμητὴς, νεανίσκου μὲν ἀφείλετο τὸν ἵππον, ὅτι δειπνῶν πολυτελῶς ἐν ᾧ χρόνῳ Καρχηδὼν ἐπολεμεῖτο, μελίπηκτον εἰς σχῆμα τῆς πόλεως διαπλάσας, καὶ τοῦτο καρχηδόνα προσειπὼν, προὔθηκε διαρπάσαι τοῖς παροῦσι, καὶ πυνθανομένου τοῦ νεανίσκου τὴν αἰτίαν δι' ἣν ἀφῄρηται τὸν ἵππον, ἐμοῦ γὰρ ἔφη πρότερος καρχηδόνα

δόνα διήρπασας. Γάϊον δὲ Λικίνιον ἰδὼν παρερχόμενον, οἶδα ἔφη τοῦτον ἐπιωρκηκότα τὸν ἄνδρα, μηδενὸς δὲ κατηγοροῦντος, οὐ δύναμαι κατήγορος αὐτὸς εἶναι καὶ δικαστής. Ἐκπεμφθέντα δ' αὐτὸν ὑπὸ τῆς βουλῆς τρίτον ὥς φησι κλειτόμαχος, ἀνθρώπων πόλεών τε καὶ εὐνομίην ἐφορῶντα πόλεων, ἐθνῶν, βασιλέων ἐπίσκοπον, ὡς εἰς Ἀλεξάνδρειαν ἧκε, καὶ τῆς νεὼς ἀποβὰς, ἐβάδιζε κατὰ τῆς κεφαλῆς ἔχων τὸ ἱμάτιον, ἠξίουν ἀποκαλύψασθαι, περιθέοντες οἱ Ἀλεξανδρεῖς, καὶ δεῖξαι ποθοῦσιν αὐτοῖς τὸ πρόσωπον· ἀποκαλυψαμένου δὲ, κραυγὴν καὶ κρότον ἐποίησαν, τοῦ δὲ βασιλέως μόλις ἁμιλλωμένου βαδίζουσιν αὐτοῖς δι' ἀργίαν καὶ τρυφὴν τοῦ σώματος, ὁ Σκιπίων ἀτρέμα πρὸς τὸν Παναίτιον ψιθυρίσας εἶπεν, ἤδη τῆς ἐπιδημίας ἡμῶν Ἀλεξανδρεῖς ἀπολελαύκασι, δι' ἡμᾶς γὰρ ἑωράκασι τὸν βασιλέα περιπατοῦντα. Συναπεδήμει δὲ αὐτῷ, φίλος μὲν εἷς φιλόσοφος Παναίτιος, οἰκέται δὲ πέντε· καὶ τοῦ ἑνὸς ἀποθανόντος ἐπὶ τῆς ξένης, ἄλλον μὴ βουλόμενος πρίασθαι, ἀπὸ τῆς Ῥώμης μετεπέμψατο. Τῶν δὲ Νομαντίνων ἀμάχων εἶναι δοκούντων καὶ πολλοὺς νενικηκότων στρατηγοὺς, ὕπατον ἀπέδειξαν Σκιπίωνα τὸ δεύτερον ὁ δῆμος ἐπὶ τὸν πόλεμον· ὡρμημένων δὲ πολλῶν ἐπὶ τὴν στρατείαν, καὶ τοῦτο διεκώλυσεν ἡ σύγκλητος ὡς ἐρήμου τῆς Ἰταλίας ἐσομένης, καὶ χρήματα λαβεῖν τῶν ἑτοίμων οὐκ εἴασαν, ἀλλὰ τὰς τελωνικὰς προσόδους ἀπέταξαν οὔπω χρόνον ἐχούσας· ὁ δὲ Σκιπίων χρημάτων μὲν οὐκ ἔφη δεῖσθαι, τὰ γὰρ ἑαυτοῦ καὶ τῶν φίλων ἐξαρκέσειν, περὶ δὲ τῶν στρατιωτῶν, ἐμέμψατο, χαλεπὸν γὰρ εἶναι τὸν πόλεμον, εἰ μὲν δι' ἀνδρείαν τῶν πολεμίων ἥττηνται τοσαυτάκις ὅτι πρὸς τοιούτους, εἰ δὲ δι' ἀνανδρίαν τῶν πολιτῶν, ὅτι μετὰ τοιούτων. Ἐπεὶ δὲ ἐλθὼν εἰς τὸ στρατόπεδον, πολλὴν ἀταξίαν καὶ ἀκολασίαν καὶ δεισιδαιμονίαν καὶ τρυφὴν κατέλαβε, μάντεις μὲν εὐθὺς ἐξήλασε καὶ θύτας καὶ πορνοβοσκοὺς, σκεύη δὲ προσέταξεν ἀποπέμπειν ἅπαντα πλὴν χύτρας ὀβελίσκου καὶ ποτηρίου κεραμέου. τῶν δὲ ἀργυ-

γυ-

γυρέων ἔκπωμα οὐ μεῖζον δύο λιτρῶν συνεχώρησε τοῖς βουλομένοις ἔχειν, λέγεται δὲ ἀπεῖπε, τῶν δὲ ἀλειφομένων τρίβειν ἕκαστον ἑαυτὸν, τὰ γὰρ ὑποζύγια χεῖρας οὐκ ἔχοντα, ἑτέρου τρίψαντος δεῖσθαι. προσέταξε δὲ ἀριστᾶν μὲν ἑστῶτας ἄπυρον ὄψον, δειπνεῖν δὲ κατακειμένους ἄρτον ἢ πολτὸν ἁπλῶς καὶ κρέας ὀπτὸν ἢ ἑφθὸν, αὐτὸς δὲ σάγον ἐμπεπορπημένος μέλανα περιῄει πενθεῖν τὴν τοῦ στρατεύματος αἰσχύνην λέγων. Μεμμίου δέ τινος χιλιάρχου λαβὼν ὑποζύγια, ψυκτῆρας διαλίθους παρακομίζοντα καὶ Θηρικλείους, ἐμοὶ μὲν εἶπεν ἡμέρας τριάκοντα καὶ τῇ πατρίδι, σαυτῷ δὲ τὸν βίον ἅπαντα τοιοῦτος ὢν ἄχρηστον πεποίηκας σεαυτόν. Ἑτέρου δὲ θυρεὸν ἐπιδείξαντος εὖ κεκοσμημένον, ὁ μὲν θυρεὸς εἶπεν ὦ νεανία καλὸς, πρέπει δὲ ῥωμαῖον ἄνδρα μᾶλλον ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἢ τῇ ἀριστερᾷ. Τοῦ δὲ τὸν χάρακα ἄραντος, σφόδρα πιέζεσθαι φάσκοντος, εἰκότως ἔφη, τῷ γὰρ ξύλῳ τούτῳ μᾶλλον ἢ τῇ μαχαίρᾳ πιστεύεις. Ὁρῶν δὲ τὴν ἀπόνοιαν τῶν πολεμίων, ἔλεγεν ὠνεῖσθαι τοῦ χρόνου τὴν ἀσφάλειαν. τὸν γὰρ ἀγαθὸν στρατηγὸν, ὥσπερ ἰατρὸν ἐσχάτης δεῖσθαι τῆς διὰ τοῦ σιδήρου θεραπείας, οὐ μὴν ἀλλ' ἐπιθέμενος ἐν καιρῷ τοὺς Νομαντίνους ἐτρέψατο. Τῶν δὲ πρεσβυτέρων τοὺς ἡττημένους κακιζόντων, τί πεφεύγασιν, οὓς τοσαυτάκις ἐδίωξαν, εἰπεῖν τινα λέγεται τῶν νομαντίνων, ὡς τὰ πρόβατα ταυτὰ καὶ νῦν ἐστιν, ὁ δὲ ποιμὴν ἄλλος. Ἐπεὶ δὲ τὴν Νομαντίαν ἑλὼν καὶ θριαμβεύσας τὸ δεύτερον πρὸς Γάϊον Γράκχον, ὑπέρ τε τῆς βουλῆς καὶ τῶν συμμάχων κατέστη διαφορὰ, καὶ λυπούμενος ὁ δῆμος ἐθορύβησεν αὐτὸν ἐπὶ τοῦ βήματος, ἐμὲ εἶπεν οὐδέποτε στρατοπέδων ἀλαλαγμὸς ἐθορύβησεν οὔτι γε συγκλύδων ἀνθρώπων, ὧν οὐ μητέρα τὴν Ἰταλίαν, ἀλλὰ μητρυιὰν οὖσαν ἐπίσταμαι. τῶν δὲ περὶ τὸν Γάϊον βοώντων κτεῖναι τὸν τύραννον, εἰκότως εἶπεν οἱ τῇ πατρίδι πολεμοῦντες, ἐμὲ βούλονται προανελεῖν. οὐ γὰρ οἷόν τε τὴν Ῥώμην

πεσεῖν, Σκιπίωνος ἑςῶτος, οὐδὲ ζῆν Σκιπίωνα τῆς Ῥώμης πεσούσης.

Καικίλιος Μέτελλος ὀχυρῷ χωρίῳ βουλόμενος προσαγαγεῖν, εἰπόντος ἑκατοντάρχου πρὸς αὐτὸν, ὡς ἐὰν δέκα μόνους ἀποβάλῃ, λήψεται τὸ χωρίον, ἠρώτησεν αὐτὸν εἰ βούλοιτο εἷς τῶν δέκα γενέσθαι. τῶν δὲ νεωτέρων τινὸς χιλιάρχου πυνθανομένου τί μέλλει ποιεῖν, εἰ τοῦτον ἔφη συνειδέναι μοι τὸν χιτωνίσκον ἐνόμιζον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ τὸ πῦρ ἐπέθηκα. Σκιπίωνι δὲ ζῶντι πολεμῶν, ἀποθανόντος ἠχθέσθη, καὶ τοὺς μὲν υἱοὺς ἐκέλευσεν ὑποδύντας ἄρασθαι τὸ λέχος, τοῖς δὲ θεοῖς ἔφη χάριν ἔχειν ὑπὲρ τῆς Ῥώμης ὅτι παρ' ἄλλοις οὐκ ἐγένετο Σκιπίων.

Γάϊος Μάριος ἐκ γένους ἀδόξου προϊὼν εἰς πολιτείαν διὰ τῶν στρατιῶν ἀγορανομίαν τὴν μείζονα παρήγγειλεν. αἰσθόμενος δὲ ὅτι λείπεται τῆς αὐτῆς ἡμέρας ἐπὶ τὴν ἐλάττονα μετῆλθε, κἀκείνης ἀποτυχὼν, ὅμως οὐκ ἀπέγνω τοῦ πρωτεύσειν ῥωμαίων. Ἰξίας δὲ ἔχων ἐν ἀμφοτέροις τοῖς σκέλεσι, παρέσχεν ἄδετος ἐκτεμεῖν τῷ ἰατρῷ, καὶ μὴ στενάξας μὴ δὲ τὰς ὀφρῦς συναγαγὼν ἐνεκαρτέρησεν τῇ χειρουργίᾳ. τοῦ δὲ ἰατροῦ μεταβαίνοντος ἐπὶ θάτερον, οὐκ ἠθέλησεν, εἰπὼν οὐκ εἶναι τὸ θεράπευμα τῆς ἀλγηδόνος ἄξιον. Ἐπεὶ δὲ Λούσιος ὁ ἀδελφιδοῦς, αὐτοῦ τὸ δεύτερον ὑπατεύοντος, ἐβιάζετο τῶν ἐν ὥρᾳ στρατευομένων τινὰ ὀνόματι Τρεβώνιον. ὁ δὲ ἀπέκτεινεν αὐτὸν, καὶ πολλῶν κατηγορούντων οὐκ ἠρνήσατο κτεῖναι τὸν ἄρχοντα, τὴν δὲ αἰτίαν εἶπε καὶ ἀπέδειξε· κελεύσας οὖν ὁ Μάριος τὸν ἐπὶ ταῖς ἀριστείαις διδόμενον στέφανον κομισθῆναι, τῷ Τρεβωνίῳ περιέθηκε. Τοῖς δὲ Τεύτοσι παραστρατοπεδεύσας ἐν χωρίῳ ὀλίγον ὕδωρ ἔχοντι, τῶν στρατιωτῶν διψῆν λεγόντων, δείξας αὐτοῖς ποταμὸν ἐγγὺς παραρέοντα τῷ χάρακι τῶν πολεμίων, ἐκεῖθεν ὑμῖν ἐςιν, εἶπε, ποτὸν ὤνιον αἵματος. οἱ δὲ ἄγειν παρεκά-

ρεκάλουν ἕως ὑγρὸν ἔχουσι τὸ αἷμα, καὶ μήπω πᾶν ὑπὸ τοῦ δίψην ἐκπεπηγός. Ἐν δὲ τοῖς Κιμβρικοῖς πολέμοις Καμαρίνων χιλίους ἄνδρας ἀγαθοὺς γενομένους, ὁμοῦ Ῥωμαίους ἐποίησε, κατ᾽ οὐδένα νόμον· πρὸς δὲ τοὺς ἐγκαλοῦντας ἔλεγε τῶν νόμων οὐκ ἐξακοῦσαι διὰ τὸν τῶν ὅπλων ψόφον. Ἐν δὲ τῷ ἐμφυλίῳ πολέμῳ περιταφρευόμενος καὶ πολιορκούμενος ἐκαρτέρει, τὸν οἰκεῖον ἀναμένων καιρόν. εἰπόντος δὲ τοῦ Ποπεδίου Σίλωνος πρὸς αὐτὸν, εἰ μέγας εἶ στρατηγὸς ὦ Μάριε, καταβὰς διαγώνισαι, σὺ μὲν οὖν, εἶπεν, εἰ μέγας εἶ στρατηγὸς ἀνάγκασόν με διαγωνίσασθαι καὶ μὴ βουλόμενον.

Κάτλος Λουτάτιος ἐν τῷ Κιμβρικῷ πολέμῳ παρὰ τὸν Ἀτίσωνα ποταμὸν στρατοπεδεύων, ἐπεὶ τοὺς βαρβάρους ὁρῶντες οἱ Ῥωμαῖοι διαβαίνειν ἐπιχειροῦντας, ἀνεχώρουν, μὴ δυνάμενος αὐτοὺς κατασχεῖν, ὥρμησεν εἰς τοὺς πρώτους τῶν ἀπεξερχόντων, ὅπως δοκῶσι μὴ φεύγειν τοὺς πολεμίους, ἀλλὰ τῷ στρατηγῷ κατακολουθεῖν.

Σύλλας ὁ εὐτυχὴς ἀναγορευθεὶς, τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν, καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας, ἀλλὰ φείσασθαι τῆς πόλεως.

Γάϊος Ποπίλλιος ἐπέμφθη πρὸς Ἀντίοχον ἐπιστολὴν παρὰ τῆς συγκλήτου κομίζων κελεύουσαν ἀπάγειν ἐξ Αἰγύπτου τὸ στράτευμα, καὶ μὴ σφετερίζεσθαι τῶν Πτολεμαίου τέκνων ὀρφανῶν ὄντων τὴν βασιλείαν. προσιόντα δ᾽ αὐτὸν διὰ τοῦ στρατοπέδου πόρρωθεν ἀσπασαμένου τοῦ Ἀντιόχου φιλοφρόνως, οὐκ ἀντασπασάμενος τὸ γραμματεῖον ἐπέδωκεν· ἐπεὶ δὲ ἀναγνοὺς, ἔφη βουλεύσεσθαι καὶ δώσειν τὴν ἀπόκρισιν, τῷ κλήματι γῦρον περὶ αὐτὸν ὁ Ποπίλλιος περιέγραψεν, εἰπὼν, ἐνταῦθα τοίνυν ἑστὼς βούλευσαι καὶ ἀπόκριναι. πάντων δὲ τὸ φρόνημα τοῦ ἀνδρὸς καταπλαγέντων, τοῦ τε Ἀντιόχου ποιήσειν ὁμολογοῦντος τὰ δοκοῦντα Ῥωμαίοις, οὕτως ἠσπάσατο καὶ περιέπτυξεν αὐτὸν ὁ Ποπίλλιος.

Λεύ-

Λεύκολλος ἐν Ἀρμενίᾳ μετὰ μυρίων ὁπλιτῶν καὶ χιλίων ἱππέων, ἐπὶ Τιγράνην ἐχώρει πεντεκαίδεκα μυριάδας στρατιᾶς ἔχοντα τῇ πρὸ μιᾶς νώνων ὀκτωβρίων ἐν ᾗ πρότερον ὑπὸ Κίμβρων ἡ μετὰ Σκιπίωνος διεφθάρη δύναμις. εἰπόντος δέ τινος ὅτι ῥωμαῖοι τὴν ἡμέραν ἀφοσιοῦνται καὶ δεδοίκασιν, οὐκοῦν ἔφη σήμερον ἀγωνισώμεθα προθύμως, ἵνα καὶ ταύτην ἐξ ἀποφράδος καὶ σκυθρωπῆς ποιήσωμεν ἱλαρὰν καὶ προσφιλῆ ῥωμαίοις. Τοὺς δὲ καταφράκτους μάλιστα φοβουμένων τῶν στρατιωτῶν, ἐκέλευε θαῤῥεῖν, πλεῖον γὰρ ἔργον εἶναι τοῦ νικῆσαι τὸ τούτους σκυλεῦσαι. Προσβὰς δὲ τῷ λόφῳ πρῶτος, καὶ τὸ κίνημα τῶν βαρβάρων θεασάμενος ἀνεβόησε, νενικήκαμεν ὦ συστρατιῶται, καὶ μηδενὸς ὑποστάντος διώκων πέντε ῥωμαίων ἀπέβαλε πεσόντας, τῶν δὲ πολεμίων ὑπὲρ δέκα μυριάδας ἀπέκτεινε.

Γναῖος Πομπήϊος ὑπὸ ῥωμαίων ἠγαπήθη τοσοῦτον, ὅσον ὁ πατὴρ ἐμισήθη, νέος δὲ ὢν παντάπασι τῇ Σύλλα μερίδι προσέθηκεν αὑτὸν, καὶ μή τε ἄρχων μή τε βουλεύων, πολλοὺς ἐκ τῆς Ἰταλίας ἐστρατολόγησε, καὶ Σύλλα καλοῦντος, οὐκ ἔφη δίχα λαφύρων οὐδὲ ἀναίμακτον ἐπιδεῖξαι τῷ αὐτοκράτορι τὴν δύναμιν, οὐδ' ἦλθε πρότερον πρὶν ἢ πολλαῖς μάχαις νικῆσαι τοὺς στρατηγοὺς τῶν πολεμίων. ἐπεὶ δὲ πεμφθεὶς εἰς Σικελίαν ὑπὸ Σύλλα στρατηγὸς, ἐπυνθάνετο τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἐκτρεπομένους βιάζεσθαι καὶ ἁρπάζειν, τοὺς μὲν ἄλλως πλανωμένους καὶ περιθέοντας ἐκόλασε, τῶν δὲ πεμπομένων ὑπ' αὐτοῦ, σφραγῖδας ἐπέβαλε ταῖς μαχαίραις. Μαμερτίνους δὲ τῆς ἐναντίας γενομένους μερίδος, οἷός τε ἦν ἀποσφάττειν ἅπαντας. Σθενίου δὲ τοῦ δημαγωγοῦ φήσαντος, οὐ δίκαια ποιεῖν αὐτὸν ἀνθ' ἑνὸς αἰτίου πολλοὺς ἀναιτίους κολάζοντα, τοῦτον δὲ αὐτὸν εἶναι τοὺς μὲν φίλους πείσαντα τοὺς δὲ ἐχθροὺς βιασάμενον ἑλέσθαι τὰ Μαρίου, θαυμάσας ὁ Πομπήϊος, ἔφη συγγνώμην ἔχειν Μαμερτίνοις ὑπὸ τοιούτου πεισθεῖσιν ἀνδρὸς, ὃς τὴν πατρίδα τῆς ἑαυτοῦ ψυχῆς προτιμᾷ· καὶ τήν τε πόλιν καὶ τὸν Σθέν-

νιον ἀπέλυσεν. Εἰς δὲ Λιβύην διαβὰς ἐπὶ Δομίτιον, καὶ μάχῃ μεγάλῃ κρατήσας, ἀσπασαμένων αὐτὸν αὐτοκράτορα τῶν στρατιωτῶν, ἔφη μὴ δέχεσθαι τὴν τιμὴν, ἕως ὀρθὸς ἕστηκεν ὁ χάραξ τῶν πολεμίων· οἱ δὲ, καίπερ ὄμβρου πολλοῦ κατέχοντος, ὁρμήσαντες διεπόρθησαν τὸ στρατόπεδον. Ἐπανελθόντα δὲ αὐτὸν ὁ Σύλλας ταῖς μὲν ἄλλαις τιμαῖς ἐδέξατο φιλοφρόνως καὶ μάγνον προσηγόρευσε πρῶτος αὐτόν. Θριαμβεῦσαι δὲ βουλόμενον οὐκ εἴα μηδέπω μετέχοντα βουλῆς· εἰπόντος δὲ τοῦ Πομπηΐου πρὸς τοὺς παρόντας ἀγνοεῖν τὸν Σύλλαν ὅτι τὸν ἥλιον ἀνατέλλοντα πλείονες ἢ δυόμενον προσκυνοῦσιν, ὁ μὲν Σύλλας ἀνεβόησε, θριαμβευέτω. Σερουΐλιος δὲ ἀνὴρ ἀριστοκρατικὸς, ἠγανάκτει, καὶ τῶν στρατιωτῶν ἐνίσταντο πολλοὶ τῷ θριάμβῳ δωρεάς τινας ἀπαιτοῦντες. ἐπεὶ δὲ ὁ Πομπήϊος ἔφη μᾶλλον ἀφήσειν τὸν θρίαμβον ἢ κολακεύσειν ἐκείνους, νῦν ἔφη καὶ μέγαν ἀληθῶς ὁρᾶν, καὶ ἄξιον τοῦ θριάμβου τὸν Πομπήϊον. Ἔθους δὲ ὄντος ἐν Ῥώμῃ τοῖς ἱππεῦσιν ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν τὸν ἵππον εἰς ἀγορὰν ἐπὶ τοὺς δύο ἄνδρας οὓς τιμητὰς καλοῦσι, καὶ καταριθμησαμένοις τὰς στρατιὰς καὶ τοὺς στρατηγοὺς, ὑφ' οὓς ἐστρατεύσαντο τυγχάνειν ἐπαίνων, ἢ ψόγων τῶν προσηκόντων, ὑπατεύων ὁ Πομπήϊος κατήγαγεν αὐτὸς τὸν ἵππον ἐπὶ τοὺς τιμητὰς Σπέλλιον καὶ Λέντλον· ἐκείνων δὲ, ὥσπερ ἔθος ἐστὶ, πυθομένων εἰ πάσας ἐστράτευται τὰς στρατείας, πάσας εἶπεν ὑπ' ἐμαυτῷ αὐτοκράτορι. Τῶν δὲ Σερτωρίου γραμμάτων κρατήσας ἐν Ἰβηρίᾳ, ἐν οἷς ἦσαν ἐπιστολαὶ πολλῶν ἡγεμόνων ἐπὶ νεωτερισμῷ καὶ μεταβολῇ τῆς πολιτείας, τὸν Σερτώριον εἰς Ῥώμην καλούντων, κατέκαυσε πάσας, διδοὺς μετανοῆσαι καὶ βελτίονας γενέσθαι τοὺς πονηρούς. Ἐπεὶ δὲ Φραάτης ὁ Πάρθων βασιλεὺς ἔπεμψε πρὸς αὐτὸν ἀξιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ, μᾶλλον ἔφη χρῆσθαι ῥωμαίους ὅρῳ πρὸς Πάρθους τῷ δικαίῳ. Λευκίου δὲ Λευκούλλου μετὰ τὰς στρατείας ἀφεικότος αὐτὸν εἰς ἡδονὰς καὶ πολυτελῶς ζῶντος, τὸν δὲ

Πομπηίου ὡς παρ' ἡλικίαν τοῦ πολλὰ πράσσειν ὀρεγόμενον ψέγοντος, μᾶλλον ἔφη γέροντι τὸ τρυφᾶν, ἢ τὸ ἄρχειν εἶναι παρ' ἡλικίαν. Νοσοῦντι δὲ αὐτῷ, κίχλην ὁ ἰατρὸς λαβεῖν προσέταξεν, οἱ δὲ ζητοῦντες οὐχ εὗρον, ἦν γὰρ παρ' ὥραν· ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λευκούλλῳ δι' ἔτους τρεφομένας, εἶτα ἔφη, εἰ μὴ Λεύκολλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησε; καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν, ἔλαβε τῶν εὐπορίστων. Ἰσχυρᾶς δὲ σιτοδείας ἐν Ῥώμῃ γενομένης ἀποδειχθεὶς λόγῳ μὲν ἀγορᾶς ἐπιμελητὴς, ἔργῳ δὲ γῆς καὶ θαλάσσης κύριος, ἔπλευσεν εἰς Λιβύην καὶ Σαρδόνα καὶ Σικελίαν, καὶ πολὺν ἀθροίσας σῖτον, ἔσπευδεν εἰς τὴν Ῥώμην. μεγάλου δὲ τοῦ χειμῶνος γενομένου, καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς, καὶ τὴν ἄγκυραν ἆραι κελεύσας, ἀνεβόησε πλεῖν ἀναγκάζῃ, ζῆν οὐκ ἀναγκάζῃ. Τῆς δὲ πρὸς τὸν Καίσαρα διαφορᾶς ἀποκαλυπτομένης, καὶ Μαρκελλίνου τινὸς τῶν ὑπὸ Πομπηίου προῆχθαι δοκούντων, μεταβεβλημένου δὲ πρὸς Καίσαρα πολλὰ πρὸς αὐτὸν ἐν συγκλήτῳ λέγοντος, οὐκ αἰσχύνῃ Μαρκελλῖνε εἶπεν ἐμοὶ λοιδορούμενος, δι' ὃν ἐξ ἀφώνου λόγιος, ἐκ δὲ πεινατικοῦ ἐμετικὸς γέγονας; Πρὸς δὲ Κάτωνα πικρῶς καθαψάμενον, ὅτι πολλάκις αὐτοῦ προαγορεύοντος τὴν Καίσαρος δύναμιν καὶ αὔξησιν, οὐκ ἐπ' ἀγαθῷ τῆς δημοκρατίας γενομένην ἠμέλει, ἀπεκρίνατο, τὰ μὲν σὰ μαντικώτερα, τὰ δ' ἐμὰ φιλικώτερα. Περὶ δὲ αὑτοῦ παρρησιαζόμενος εἶπεν, ὡς πᾶσαν ἀρχὴν καὶ ἔλαβε θᾶσσον ἢ προσεδόκησε, καὶ καταθοῖτο θᾶσσον, ἢ προσεδοκήθη. Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην φεύγων εἰς Αἴγυπτον, ὡς ἔμελλε διαβαίνων ἐκ τῆς τριήρους εἰς ἁλιευτικὸν πλοῖον, ἀποστείλαντος τοῦ βασιλέως, ἐπιστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν οὐδὲν ἕτερον, ἢ τὸ τοῦ Σοφοκλέους εἶπεν, ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται, κείνου ἐστὶ δοῦλος κἂν ἐλεύθερος μολῇ. μεταβὰς δὲ καὶ πληγεὶς ξίφει καὶ στενάξας ἅπαξ, εἰπὼν δὲ μηδὲν, ἀλλ' ἐγκαλυψάμενος παρέδωκεν ἑαυτόν.

Κικέ-

Κικέρων ὁ ῥήτωρ εἰς τοὔνομα σκωπτόμενος, καὶ τῶν φίλων μεταθέσθαι κελευόντων, ἔφη, τὸν Κικέρωνα ποιήσειν τῶν Κατώνων καὶ τῶν Κάτλων καὶ τῶν Σκαύρων ἐνδοξότερον. Ἔκπωμα δὲ ἀργυροῦν τοῖς θεοῖς ἀνατιθεὶς, τὰ μὲν πρῶτα τῶν ὀνομάτων γράμμασιν ἐσήμανεν, ἀντὶ δὲ τοῦ Κικέρωνος, ἐρέβινθον ἐτόρευσε. Τῶν δὲ ῥητόρων τοὺς μέγα βοῶντας ἔλεγε δι' ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὡς χωλοὺς ἀναβαίνειν ἐφ' ἵππον. Οὐέρρου δὲ υἱὸν ἔχοντος οὐκ εὖ κεχρημένον ἐφ' ὥρᾳ τῷ σώματι, τὸν δὲ Κικέρωνα λοιδοροῦντος εἰς μαλακίαν, καὶ κίναιδον ἀποκαλοῦντος, ἀγνοεῖς εἶπεν, ὅτι προσήκει τοῖς τέκνοις ἐν τοῖς θυρῶν λοιδορεῖσθαι. Μετέλλου δὲ Νέπωτος εἰπόντος πρὸς αὐτὸν ὅτι πλείονας μαρτυρῶν ἀπέκτονας, ἢ συνηγορῶν σέσωκας, καὶ γάρ ἐστιν ἔφη πλεῖον ἐμοὶ πίστεως ἢ λογιότητος. Ἐρωτῶντος δὲ τοῦ Μετέλλου, τίς αὐτοῦ πατήρ ἐστι, ταύτην ἔφη τὴν ἀπόκρισιν χαλεπωτέραν ἡ σὴ μήτηρ πεποίηκεν. ἦν γὰρ ἡ τοῦ Μετέλλου ἀκόλαστος, ὁ δὲ Μέτελλος αὐτὸς ὑπόκουφος καὶ ἀβέβαιος καὶ φερόμενος ταῖς ὁρμαῖς. Διοδότῳ δὲ τῷ διδασκάλῳ τῶν ῥητορικῶν ἀποθανόντι κόρακα λίθινον ἐπιστήσαντος αὐτοῦ, δικαίαν ἔφη τὴν ἀμοιβὴν γεγονέναι, πέτεσθαι γὰρ τοῦτον οὐ λέγειν ἐδίδαξεν. Βατίνιον δὲ ἄνθρωπον ἑαυτῷ διάφορον καὶ μοχθηρὸν ἄλλως ἀκούσας ὅτι τέθνηκεν, εἶτα γνοὺς ὕστερον ὅτι ζῇ, κακῶς εἶπεν ἀπόλοιτο ὁ κακῶς ψευσάμενος. Πρὸς δὲ τὸν δοκοῦντα Λίβυν ἀπὸ γένους εἶναι, φήσαντα δὲ αὐτοῦ μὴ ἀκούειν λέγοντος, καὶ μὴν οὐκ ἄτρυπητον ἔχεις τὸ οὖς εἶπε. Κάστον δὲ Ποπίλλιον νομικὸν εἶναι βουλόμενον, ὄντα δὲ ἀμαθῆ καὶ ἀφυῆ, προσεκαλεῖτο μάρτυρα πρός τινα δίκην· εἰπόντος δὲ ἐκείνου μηδὲν γινώσκειν, ὁ. εἰ γὰρ ἴσως εἶπε περὶ τῶν νομίμων ἐπερωτᾶσθαι; Ὁρτησίου δὲ τοῦ ῥήτορος λαβόντος μισθὸν ἀργυρᾶν σφίγγα παρὰ τοῦ Βέρου, καὶ πρὸς τὸν Κικέρωνα πλαγίως τι εἰπόντα φήσαντος αἰνιγμάτων λύσεως ἀπείρως ἔχειν, Καὶ μὴν ἡ σφὶγξ, ἔφη, παρὰ σοί ἐστιν. Βοκωνίῳ δὲ

ἀπαντήσας μετὰ τριῶν θυγατέρων ἀμορφοτάτων τὴν ὄψιν, ἀτρέμα πρὸς τοὺς φίλους εἶπεν, Φοῖβος ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα. Φαύστου δὲ τοῦ Σύλλα παιδὸς διὰ πλῆθος δανείων ἀπάρτιον προγράψαντος, ταύτην μᾶλλον, ἔφη, τὴν προγραφὴν ἀσπάζομαι ἢ τὴν πατρῴαν αὐτοῦ. Πομπηΐου δὲ καὶ Καίσαρος διαστάντων, ἔφη, Γινώσκω ὃν φύγω, μὴ γινώσκων πρὸς ὃν φύγω. καὶ Πομπήϊον ἐμέμψατο τὴν πόλιν ἐκλιπόντα, καὶ Θεμιστοκλέα μᾶλλον ἢ Περικλέα μιμησάμενον, οὐκ ἐκείνοις τῶν πραγμάτων, ἀλλὰ τούτοις ὁμοίων ὄντων. Γενόμενος δ' οὖν παρὰ Πομπηΐῳ, καὶ πάλιν μετανοῶν, ἐρωτηθεὶς ὑπὸ Πομπηΐου ποῦ Πίσωνα τὸν γαμβρὸν ἀπολέλοιπεν, ἔφη, Παρὰ τῷ σῷ πενθερῷ. μεταβαλλομένου δέ τινος ἀπὸ Καίσαρος πρὸς τὸν Πομπήϊον, λέγοντος ὑπὸ σπουδῆς καὶ προθυμίας ἀπολελοιπέναι τὸν ἵππον, βέλτιον ἔφη αὐτὸν περὶ τοῦ ἵππου βεβουλεῦσθαι. Πρὸς δὲ τὸν ἀπαγγέλλοντα τοὺς Καίσαρος φίλους σκυθρωποὺς εἶναι, λέγεις, ἔφη, δυσνοεῖν αὐτοὺς Καίσαρι. Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην Πομπηΐου μὲν φυγόντος, Νονίου δέ τινος ἔτι παρ' αὐτοῖς ἀετοὺς ἑπτὰ φήσαντος εἶναι, καὶ διὰ τοῦτο θαῤῥεῖν παρακαλοῦντος, Καλῶς ἂν παρῄνεις, εἶπεν, εἰ κολοιοῖς ἐπολεμοῦμεν. Ἐπεὶ δὲ Καῖσαρ κρατήσας τὰς Πομπηΐου καταβεβλημένας εἰκόνας ἀνέστησε μετὰ τιμῆς, ἔφη περὶ αὐτοῦ λέγων ὁ Κικέρων, ὅτι τοὺς Πομπηΐου Καῖσαρ ἱστὰς ἀνδριάντας, τοὺς ἑαυτοῦ πήγνυσιν. Οὕτω δὲ πολλοῦ τὸ καλῶς λέγειν ἐτίμα τε καὶ περὶ τοῦτο μάλιστα ἠγωνία, ὥστε προκειμένης δίκης ἐπὶ τῶν ἑκατὸν ἀνδρῶν, ὡς ἐπικειμένης τῆς ἡμέρας Ἔρωτα ἀπαγγείλαντα αὐτῷ οἰκέτην εἰς τὴν ἐπιοῦσαν ὑπερτεθῆναι τὴν δίκην, ἠλευθέρωσε.

Γάϊος Καῖσαρ ὅτε Σύλλαν ἔφυγεν ἔτι μειράκιον ὤν, περιέπεσε πειραταῖς· καὶ πρῶτον μὲν αἰτηθεὶς ἀργυρίου πλῆθος κατεγέλασε τῶν λῃστῶν ὡς ἀγνοούντων ὃν ἔχουσι, καὶ διπλάσιον ὁμο-


ὡμολόγησε δώσειν, ἔπειτα φρουρούμενος, ὡς συνῆγε τὰ χρήματα προσέταττεν ἡσυχίαν αὐτῷ παρέχειν κοιμωμένῳ καὶ σιωπᾶν· λόγους δὲ καὶ ποιήματα γράφων ἀνεγίνωσκεν αὐτοῖς, καὶ τοὺς μὴ λίαν ἐπαινοῦντας, ἀναισθήτους καὶ βαρβάρους ἀπεκάλει, καὶ μετὰ γέλωτος ἠπείλει κρεμᾶν αὐτοὺς, ὃ καὶ μετ' ὀλίγον ἐποίησεν· τῶν γὰρ λύτρων κομισθέντων ἀπολυθεὶς καὶ συναγαγὼν ἄνδρας ἐξ Ἀσίας καὶ πλοῖα, συνήρπασε τοὺς λῃστὰς καὶ προσήλωσεν. Ἐν δὲ Ῥώμῃ, πρὸς Κάτλον πρωτεύοντα Ῥωμαίων εἰς ἅμιλλαν ὑπὲρ τῆς ἀρχιερωσύνης καταστὰς, καὶ προπεμπόμενος ὑπὸ τῆς μητρὸς ἐπὶ τὰς θύρας, σήμερον εἶπεν ὦ μῆτερ, ἀρχιερέα τὸν υἱὸν, ἢ φυγάδα ἕξεις. Πομπηΐαν δὲ τὴν γυναῖκα κακῶς ἀκούσασαν ἐπὶ Κλωδίῳ παραιτησάμενος, εἶτα τοῦ Κλωδίου φεύγοντος ἐπὶ τούτῳ δίκην, μάρτυς εἰσαχθεὶς, οὐδὲν εἶπε φαῦλον περὶ τῆς γυναικός· ἐρομένου δὲ τοῦ κατηγόρου διατί τοίνυν ἐξέβαλες αὐτήν, ὅτι τὴν Καίσαρος ἔφη γυναῖκα καὶ διαβολῆς δεῖ καθαρὰν εἶναι. Τὰς δὲ Ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε, καὶ πρὸς τοὺς φίλους εἶπεν, ὅτι ταύτην τὴν ἡλικίαν ἔχων ἐνίκησε Δαρεῖον, ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν πέπρακται. Πολίχνιον δὲ αὐτοῦ λυπρὸν ἐν ταῖς Ἄλπεσι παρερχομένου, καὶ τῶν φίλων διαπορούντων εἰ καὶ ἐνταῦθά τινες στάσεις εἰσὶ καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιστὰς καὶ σύννους γενόμενος, μᾶλλον ἂν ἔφη ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι ἢ δεύτερος ἐν Ῥώμῃ. Τῶν δὲ τολμημάτων τὰ παράβολα καὶ μεγάλα πράττειν ἔφη δεῖν, ἀλλὰ μὴ βουλεύεσθαι. καὶ διέβη τὸν Ῥουβίκωνα ποταμὸν ἐκ τῆς Γαλατικῆς ἐπαρχίας, ἐπὶ Πομπήϊον εἰπὼν, πᾶς ἀνερρίφθω κύβος. Ἐπεὶ δὲ Πομπηΐου φεύγοντος ἐπὶ θάλασσαν ἐκ τῆς ῥώμης, καὶ Μέτελλος ἔπαρχος ὢν τοῦ ταμείου, βουλόμενον αὐτὸν χρήματα λαβεῖν ἐκώλυε, καὶ τὸ ταμιεῖον ἀπέκλεισεν, ἠπείλησεν ἀποκτενεῖν αὐτόν· καταπλαγέντος δὲ τοῦ Μετέλλου, τοῦτο εἶπεν ὦ νεανίσκε φῆσαί μοι χαλεπώτερον ἦν ἢ ποιῆσαι. Τῶν δὲ στρατιωτῶν αὐτῷ βραδέως εἰς Δυρράχιον ἐκ

Βρεντεσίῳ κομιζομένων, λαθὼν ἅπαντας εἰς πλοῖον μικρὸν ἐμβὰς ἐπεχείρησε διαπλεῖν τὸ πέλαγος. συγκλυζομένου δὲ τοῦ πλοίου, ποιήσας τῷ κυβερνήτῃ φανερὸν ἑαυτὸν, ἀνεβόησε, πίστευε τῇ τύχῃ, γνοὺς ὅτι Καίσαρα κομίζεις. Τότε μὲν οὖν ἐκωλύθη, τοῦ χειμῶνος ἰσχυροῦ γενομένου, καὶ τῶν στρατιωτῶν συνδραμόντων καὶ περιπαθούντων εἰ περιμένει δύναμιν ἄλλην ὡς ἀπιστῶν αὐτοῖς. Ἐπεὶ δὲ μάχης γενομένης νικῶν ὁ Πομπήϊος, οὐκ ἐπεξῆλθεν, ἀλλὰ ἀνεχώρησεν εἰς τὸ στρατόπεδον, τήμερον εἶπεν ἡ νίκη παρὰ τοῖς πολεμίοις, ἀλλὰ τὸν εἰδότα νικᾶν οὐκ ἔχουσιν. ἐν δὲ Φαρσάλῳ Πομπηΐου παρατεταγμένην τὴν φάλαγγα κατὰ χώραν ἑστάναι καὶ προσδέχεσθαι τοὺς πολεμίους παρεγγυήσαντος, ἁμαρτεῖν αὐτὸν ἔλεγε τὸν ἐξ ἐπιδρομῆς μετ' ἐνθουσιασμοῦ τόνον καὶ ῥοῖζον ἐκλύσαντα τῶν στρατιωτῶν. Φαρνάκην νικήσας τὸν Ποντικὸν ἐξ ἐφόδου, πρὸς τοὺς φίλους ἔγραψεν, ἦλθον, εἶδον, ἐνίκησα. Μετὰ δὲ τὴν ἐν Λιβύῃ τῶν περὶ τὸν Σκιπίωνα φυγὴν καὶ ἧτταν, Κάτωνος αὑτὸν ἀνελόντος, φθονῶ σοι Κάτων εἶπε τοῦ θανάτου, καὶ γὰρ σύ μοι τῆς σωτηρίας ἐφθόνησας. Ἀντώνιον δὲ καὶ Δολοβέλλαν ὑφορωμένων ἐνίων καὶ φυλάττεσθαι κελευόντων, οὐ τούτους ἔφη δεδιέναι τοὺς βαναύσους καὶ λιπῶντας, ἀλλὰ τοὺς ἰσχνοὺς καὶ ὠχροὺς ἐκείνους, δείξας Βροῦτον καὶ Κάσσιον. Λόγου δὲ παρὰ δεῖπνον ἐμπεσόντος περὶ θανάτου ποῖος ἄριστος, ὁ ἀπροσδόκητος εἶπε.


Καῖσαρ ὁ πρῶτος ἐπικληθεὶς σεβαστὸς ἔτι μειράκιον ὢν, Ἀντώνιον ἀπῄτει δισχιλίας πεντακοσίας μυριάδας τοῦ πρώτου Καίσαρος ἀναιρεθέντος ἐκ τῆς οἰκίας ἃς πρὸς αὑτὸν ὁ Ἀντώνιος μετήνεγκεν, ἀποδοῦναι ῥωμαίοις βουλόμενος τὸ καταλειφθὲν ὑπὸ Καίσαρος ἑκάστῳ δραχμὰς ἑβδομήκοντα πέντε. τοῦ δὲ Ἀντωνίου τὰ μὲν χρήματα κατέχοντος, ἐκεῖνον δὲ τῆς ἀπαιτήσεως ἀμελεῖν, εἰ σωφρονεῖ, κελεύοντος, ἐκήρυττε τὰ πατρῷα καὶ ἐπίπρασκε. καὶ τὴν δωρεὰν ἀποδοὺς, εὔνοιαν μὲν αὑτῷ, μῖσος δὲ ἐκείνῳ παρὰ τῶν πολιτῶν περιεποίησεν. Ἐπεὶ δὲ Ῥυμητάλκης ὁ

τῶν Θρακῶν βασιλεὺς ἀπὸ Ἀντωνίου μεταβαλλόμενος πρὸς αὐτὸν οὐκ ἐμετρίαζεν παρὰ τοὺς πότους, ἀλλ' ἦν ἐπαχθὴς ὀνειδίζων τὴν συμμαχίαν, προπιών τινι τῶν ἄλλων βασιλέων, ὁ Καῖσαρ εἶπεν, ἐγὼ προδοσίαν φιλῶ, προδότας δ' οὐκ ἐπαινῶ. Τῶν δὲ Ἀλεξανδρέων μετὰ τὴν ἅλωσιν τὰ δεινότατα πείσεσθαι προσδοκώντων, ἀναβὰς ἐπὶ τὸ βῆμα καὶ παραστησάμενος Ἄρειον τὸν Ἀλεξανδρέα, φείδεσθαι μὲν τῆς πόλεως ἔφη, πρῶτον διὰ τὸ μέγεθος καὶ τὸ κάλλος, ἔπειτα διὰ τὸν κτίστην Ἀλέξανδρον, τρίτον δι' Ἄρειον τὸν φίλον. Ἀκούσας δὲ ὅτι Ἔρως ὁ τὰ ἐν Αἰγύπτῳ διοικῶν, ὄρτυγα τὸν κρατοῦντα πάντων ἐν τῷ μάχεσθαι καὶ ἀήττητον ὄντα πριάμενος ὀπτήσας κατέφαγε, μετεπέμψατο αὐτὸν καὶ ἀνέκρινεν· ὁμολογήσαντα δὲ ἐκέλευσεν ἱστῷ νηὸς προσηλωθῆναι. Ἐν δὲ Σικελίᾳ Ἄρειον ἀντὶ Θεοδώρου κατέστησε διοικητήν· ἐπιδόντος δέ τινος αὐτῷ βιβλίον ἐν ᾧ γεγραμμένον ἦν, φαλακρὸς ἢ κλέπτης Θεόδωρος ὁ Ταρσεὺς, τί σοι δοκεῖ; ἀναγνοὺς Καῖσαρ ὑπέγραψε, δοκεῖ. Παρὰ δὲ Μαικήνα τοῦ συμβιωτοῦ καθ' ἕκαστον ἐνιαυτὸν ἐν τοῖς γενεθλίοις δῶρον ἐλάμβανε φιάλην. Ἀθηνοδώρῳ δὲ τῷ φιλοσόφῳ διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν. ἐπεὶ δὲ ἀσπασάμενος αὐτὸν ὁ Ἀθηνόδωρος, εἶπεν ὅταν ὀργισθῇς Καῖσαρ, μηδὲν εἴπῃς μηδὲ ποιήσῃς πρότερον, ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς ἑαυτὸν, ἐπιλαβόμενος αὐτοῦ τῆς χειρὸς ἔτι σοῦ παρόντος ἔφη χρείαν ἔχω, καὶ κατέσχεν αὐτὸν ὅλον ἐνιαυτὸν εἰπὼν, ὅτι ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας. Ἀκούσας δὲ ὅτι Ἀλέξανδρος δύο καὶ τριάκοντα γεγονὼς ἔτη κατεστραμμένος τὰ πλεῖστα διηπόρει τί ποιήσει τὸν λοιπὸν χρόνον, ἐθαύμαζεν εἰ μὴ μεῖζον Ἀλέξανδρος ἔργον ἡγεῖτο τοῦ κτήσασθαι μεγάλην ἡγεμονίαν, τὸ διατάξαι τὴν ὑπάρχουσαν. Γράψας δὲ τὸν περὶ τῶν μοιχῶν νόμον, ἐν ᾧ διώρισται, πῶς δεῖ κρίνεσθαι τοὺς ἐν αἰτίαις γενομένους, καὶ πῶς δεῖ κολάζεσθαι τοὺς ἁλόντας, εἶτα προσπεσὼν ὑπ' ὀργῆς τῷ ἐπὶ Ἰουλίᾳ τῇ θυγατρὶ διαβεβλημέ-

νον νεανίσκον, ἔτυπτε ταῖς χερσὶν. ἐκείνου δὲ ἀναβοῶντος, νόμον ἔθηκας ὦ Καῖσαρ, οὔπω μετενόησεν, ὥς τε τὴν ἡμέραν ἐκείνην παραιτήσασθαι τὸ δεῖπνον. Γάϊον δὲ τὸν θυγατριδοῦν εἰς Ἀρμενίαν ἀποστέλλων, ᾐτεῖτο παρὰ τῶν θεῶν εὔνοιαν αὐτῷ τὴν Πομπηΐου, τόλμαν δὲ τὴν Ἀλεξάνδρου, τύχην δὲ τὴν ἑαυτοῦ παρακολουθῆσαι. Ῥωμαίοις δὲ τῆς ἀρχῆς ἔλεγεν ἀπολείψειν διάδοχον, ὃς οὐδέποτε περὶ τοῦ αὐτοῦ πράγματος δὶς ἐβουλεύσατο, Τιβέριον λέγων. Θορυβοῦντας δὲ τοὺς ἐν ἀξιώμασι νέους καταστεῖλαι βουλόμενος, ὡς οὐ προσεῖχον ἀλλ' ἐθορύβουν, ἀκούσατε εἶπε νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον. Τοῦ δὲ Ἀθηναίων δήμου ἐξημαρτηκέναι τι δόξαντος, ἔγραψεν ἀπ' Αἰγίνης οἴεσθαι μὴ λανθάνειν αὐτοὺς ὀργιζόμενος, οὐ γὰρ ἂν ἐν Αἰγίνῃ διαχειμάσειν, ἄλλο δὲ οὐδὲν οὔτε εἶπεν αὐτοὺς, οὔτε ἐποίησε. Τῶν δὲ Εὐρυκλέους κατηγόρων ἑνὸς ἀφειδῶς καὶ κατακόρως παῤῥησιαζομένου καὶ προαχθέντος, εἰπεῖν τι τοιοῦτον, εἰ ταῦτά σοι Καῖσαρ οὐ φαίνεται μεγάλα, κέλευσον αὐτὸν ἀποδοῦναί μοι Θουκυδίδου τὴν ἑβδόμην, διὸ ὀργισθεὶς ἀπάγειν ἐκέλευσε. πυθόμενος δὲ ὅτι τῶν ἀπὸ Βρασίδου γεγονότων ὑπόλοιπος οὗτός ἐστι, μετεπέμψατο καὶ μέτρια νουθετήσας, ἀπέλυσε. Πείσωνος δὲ τὴν οἰκίαν ἐκ θεμελίων ἄχρι πάσης στέγης ἐπιμελῶς οἰκοδομοῦντος, εὔθυμον ἔφη με ποιεῖς οὕτως οἰκοδομῶν, ὡς αἰδίου τῆς Ῥώμης ἐσομένης.



ἈΠΟ-



ἈΠΟΦΘΕΓΜΑΤΑ ΦΙΛΟΣΟΦΩΝ.

Ἐκ Διογένους Λαερτίου συλλεχθέντα.

Θάλητος Μιλησίου. Οὐδὲν, ἔφη, τὸν θάνατον διαφέρειν τοῦ ζῆν. σὺ οὖν, ἔφη τις, διατὶ οὐκ ἀποθνήσκεις; ὅτι, ἔφη, οὐδὲν διαφέρει. Ἐρωτηθεὶς τί δύσκολον; ἔφη, τὸ ἑαυτὸν γνῶναι. τί εὔκολον; τὸ ἄλλῳ ὑποτίθεσθαι. τί δὲ ἥδιστον; τὸ ἐπιτυγχάνειν. τί δὲ πρεσβύτατον; ὁ θεός. τί δὲ σοφώτατον; χρόνος, ἀνευρίσκει γὰρ πάντα. τί δὲ ἰσχυρότατον; ἀνάγκη, κρατεῖ γὰρ πάντων. τί δὲ μέγιστον; τόπος· ἅπαντα γὰρ χωρεῖ. τί δὲ τάχιστον; νοῦς, διὰ παντὸς γὰρ τρέχει. τί δὲ κάλλιστον; κόσμος, ποίημα γὰρ θεοῦ. Ἐρωτηθεὶς τί ἐστι τὸ θεῖον; τὸ μήτε ἀρχὴν, φησὶ, μήτε τέλος ἔχον. Ἐρωτηθεὶς πῶς ἂν ἄριστα καὶ δικαιότατα βιώσαιμεν; ἐὰν, ἔφη, ἃ τοῖς πολλοῖς ἐπιτιμῶμεν, αὐτοὶ μὴ δρῶμεν. Ἐρωτηθεὶς τίς εὐδαίμων; ὁ τὸ μὲν σῶμα ὑγιὴς, ἔφη, τὴν δὲ ψυχὴν εὐπαίδευτος. Οἵους ἂν ἐράνους εἰσενέγκῃς, ἔφασκε, τοῖς γονεῦσι, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων. Ἐρωτηθεὶς τί κοινότατον; ἐλπὶς, ἀπεκρίνατο· καὶ γὰρ οἷς ἄλλο μηδέν ἐστι, αὕτη πάρεστιν. Πρὸς τὸν πυθόμενον, τί δύσκολον εἴη τεθεαμένος, γέροντα, ἔφη, τύραννον. Τριῶν τούτων ἕνεκα χάριν, ἔλεγεν, ἔχω τῇ τύχῃ· πρῶτον μὲν ὅτι ἄνθρωπος ἐγενόμην καὶ οὐ θηρίον· εἶτα, ὅτι ἀνὴρ, καὶ οὐ γυνή· τρίτον, ὅτι Ἕλλην, καὶ οὐ βάρβαρος. Τούτου ἔτι εἰσὶ, τὸ, καιρὸν γνῶθι· τὸ, φίλους δοκίμαζε. τὸ, τοῖς ἐπιτηδείοις χρῶ· τὸ, φίλων παρόντων, καὶ ἀπόντων μέμνησο. τὸ, ψιθυρὸν ἄνδρα τῆς σῆς οἰκίας ἔκβαλλε. τὸ, ἐπάγγελλε μηδενί.

Σό-

Σόλωνος Ἀθηναίου. Ἐρωτηθεὶς, πῶς ἂν μὴ γίγνοιτο ἀδίκημα ἐν τῇ πόλει, εἰ ὁμοίως, ἔφη, ἀγανακτοῖεν τοῖς ἀδικουμένοις οἱ μὴ ἀδικούμενοι. Πρὸς τὸν πυθόμενον, πῶς ἂν ἄριστα αἱ πόλεις οἰκοῖντο; εἶπεν, ἐὰν οἱ μὲν πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις. Ὁμοίως ἐκείνη ἡ πόλις ἄριστα, ἔλεγεν, οἰκεῖται, ἐν ᾗ τοὺς ἀγαθοὺς ἄνδρας συμβαίνει τιμᾶσθαι καὶ κάκιστα δὲ, ἐν ᾗ τοὺς κακούς. Τοὺς νόμους τοῖς ἀραχνίοις ὁμοίους ἔλεγε· καὶ γὰρ ἐκεῖνα, ἐὰν μὲν ἐμπέσῃ τι κοῦφον καὶ ἀσθενὲς, στέγειν· ἐὰν δὲ μεῖζον, διακόψαν οἴχεσθαι. Τοσούτῳ διαφέρει ἡ φρόνησις τῆς ἀρετῆς, ἔφασκεν, ὅσῳ ὅρασις τῶν ἄλλων αἰσθήσεων. Ἐρωτηθεὶς ὑπὸ Περιάνδρου παρὰ ποτὸν, ἐπεὶ σιωπῶν ἐτύγχανε, πότερα διὰ λόγων ἀπορίαν, ἢ διὰ μωρίαν σιωπᾷ, ἀλλ' οὐδεὶς ἂν, εἶπε, μωρὸς σιωπᾷν ἐν συμποσίῳ δύναιτο. Ὀνειδιζόμενός ποτε, ὅτι δίκην ἔχων ἐμισθώσατο ῥήτορα; καὶ γὰρ, ἔφη, ὅταν δεῖπνον ἔχω, μάγειρον μισθοῦμαι. Ἔλεγε δὲ τοὺς παρὰ τοῖς τυράννοις δυναμένους παραπλησίους εἶναι ταῖς ψήφοις ταῖς ἐπὶ τῶν λογισμῶν· καὶ γὰρ ἐκείνων ἑκάστην, ποτὲ μὲν πλείω σημαίνειν, ποτὲ δὲ ἥττω· καὶ τούτων τοὺς τυράννους ποτὲ μὲν ἕκαστον μέγαν ἄγειν καὶ λαμπρὸν, ποτὲ δὲ ἄτιμον. Ἐρωτηθεὶς παρὰ τοῦ Κροίσου δείξαντος αὐτῷ τοὺς ἑαυτοῦ θησαυροὺς, τίς σοι δοκεῖ εὐδαίμων; οὐδεὶς, ἔφη, πρὸ τοῦ θανάτου. Φασὶ δέ τινες, ὅτι κοσμήσας ἑαυτὸν ὁ Κροῖσος παντοδαπῶς, καὶ καθίσας εἰς τὸν θρόνον, ἤρετο αὐτὸν εἴ τι θέαμα κάλλιον τεθέαται. ὁ δὲ ἀλεκτρυόνας, ἔφη, φασιανοὺς, καὶ ταώς· φυσικῷ γὰρ ἄνθει κεκόσμηνται καὶ μυρίῳ καλλίονι. Τούτου ἔτι εἰσὶ τὸ, ὅρκῳ μὴ χρῶ. τὸ εἰδὼς σίγα· τὸ, ἀλήθειαν ἀνέχου· τὸ, ἡδονὴν φεῦγε, αὕτη γὰρ λύπην τίκτει. τὸ, τὸ ἴσον πόλεμον οὐ ποιεῖ. τὸ, φίλους μὴ ταχὺ κτῶ, οὓς δ' ἂν κτήσῃ, μὴ ταχὺ ἀποδοκίμαζε.

Χίλωνος λακεδαιμονίου. Ἐρωτηθεὶς τί χαλεπώτατον; τὸ γνώσκειν ἑαυτὸν, ἔφη. πολλὰ γὰρ ὑπὸ φιλαυτίας ἕκαστον ἑ-

αὐτῷ

αυτῶν προσιθέναι. Ἐρωτηθεὶς τί ὁ θεὸς εἴη ποιῶν, τὰ μὲν ὑψηλὰ ταπεινοῖ, τὰ δὲ ταπεινὰ ὑψοῖ, ἔφη. Λυπουμένου τινὸς ἐπὶ τοῖς αὑτοῦ κακοῖς, εἶπεν, εἰ τὰ πάντων καταινοήσεις, ἧττον ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις. Μὴ κακολόγει, ἔλεγε, τοὺς πλησίον, εἰ δὲ μὴ ἀκούσῃ ἐφ᾽ οἷς λυπηθήσῃ. Ταχύτερον, ἔφασκεν, ἐπὶ τὰς ἀτυχίας τῶν φίλων, ἢ ἐπὶ τὰς εὐτυχίας πορεύου. Πρὸς τὸν ἀδελφὸν δυσφοροῦντα, ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος, ἐγὼ μὲν γὰρ, ἔφη, ἐπίσταμαι ἀδικεῖσθαι, σὺ δ᾽ οὔ. Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, ἐλπίσιν ἀγαθαῖς. Ἐρωτηθεὶς τί δύσκολον; τὰ ἀπόῤῥητα, σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν. Τούτου εἰσὶν ἔτι, τὸ, χρόνου φείδου. τὸ, ἐρημίᾳ χρῶ. τὸ, πλήθει ἄρεσκε. τὸ, μὴ ἧς ἐπαχθής. τὸ, γάμους ἰσοτίμους ποίει. τὸ, θυμοῦ κράτει. τὸ, ἐγκράτειαν ἄσκει. τὸ, γνῶθι σεαυτόν. τὸ, νόμοις πείθου. τὸ, πρεσβύτερον σέβου, καὶ τὸ γῆρας τίμα. τὸ, ὑφορῶ μηδένα. τὸ, διαβολὰς μίσει. τὸ, ἡ γλῶσσα μὴ προτρεχέτω τοῦ νοῦ. τὸ, γλώττης κράτει, καὶ μάλιστα ἐν συμποσίῳ. τὸ, τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει. τὸ, ἀτυχοῦντι μὴ ἐπιγέλα, κοινὸν γὰρ ἡ τύχη. τὸ, δαπανώμενος ἐφ᾽ ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ᾽ ἃ δεῖ.

Πιττακοῦ Μιτυληναίου. Ἐρωτηθείς ποτε τί ἄριστον, τὸ παρὸν, ἔφη, εὖ ποιεῖν. Καὶ ὑπὸ Κροίσου ἐρωτηθεὶς, τίς ἀρχὴ μεγίστη; ἡ τοῦ ποικίλου, ἔφη, ξύλου, σημαίνων τὸν νόμον. Πρὸς δὲ τὸν Φωκαϊκὸν φάσκοντα δεῖν ζητεῖν ἄνθρωπον σπουδαῖον, ἂν λίαν, ἔφη, ζητῇς, οὐχ εὑρίσκεις. Πρὸς τοὺς πυνθανομένους τί εὐχάριστον; χρόνος, ἔφη. τί ἀφανές; τὸ μέλλον. τί πιστόν; γῆ. τί ἄπιστον; θάλασσα. Ἔλεγέ τε, συνετῶν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι, ὅπως μὴ γένηται· ἀνδρείων δὲ, γενόμενα εὖ θέσθαι. Ὃ μέλλεις, ἔφη, πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ.

Ἀλ-

Ἀλκαῖον τὸν φονέα τοῦ υἱοῦ, ὑποχείριον λαβὼν, καὶ ἔχων ἐξουσίαν τοῦ κολάσαι αὐτὸν ἀφῆκεν, εἰπὼν, ὅτι συγγνώμη τιμωρίας ἄμεινον· τὸ μὲν γὰρ θηριώδους, τὸ δὲ ἡμέρου φύσεώς ἐστι σημεῖον. Τούτου ἔτι εἰσὶ, τὸ, μηδὲν ἄγαν. τὸ, χαλεπὸν, ἐσθλὸν εἶναι. τὸ, χαλεπὸν, δὲ γνῶναι. τὸ, πρὸ πάντων σέβου τὸ θεῖον. τὸ, γονέας αἰδοῦ. τὸ, μὴ ἔριζε γονεῦσι, κἂν δίκαια λέγῃς. τὸ, μὴ πᾶσι πίστευε. τὸ, ἐγγύα, πάρα δ' ἄτη. τὸ, ἀργὸς μὴ ἴσθι. τὸ γυναικὸς ἄρχε. τὸ, ἀτυχίαν μὴ ὀνείδιζε, νέμεσιν αἰδούμενος. τὸ, φίλων κριτὴς μὴ γίνου. τὸ, ἀρχὴ ἄνδρα δείκνυσι.

Βίαντος Πριηνέως. Ἐρωτηθεὶς τί δυσχερὲς, τὴν ἐπὶ τὸ χεῖρον, ἔφη, μεταβολὴν ἐνεγκεῖν. Συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς, κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, σιγᾶτε, ἔφη, μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας. Ἐρωτηθεὶς ὑπὸ ἀσεβοῦς ἀνθρώπου τίποτέ ἐστιν εὐσέβεια, ἐσίγα· τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυνθανομένου, σιωπῶ, ἔφη, ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων πυνθάνῃ. Ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώποις, ἐλπὶς, ἔφη. Ἥδιον, ἔλεγε, δικάζειν μεταξὺ ἐχθρῶν, ἢ φίλων. τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον, φίλον. Ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος τέρπεται, ἔφη, κερδαίνων. Ἀτυχὴς, ἔφη, ἐστὶν, ὁ μὴ ἀτυχίαν φέρων. Τὸν βίον, ἔλεγεν, οὕτω μετρεῖν, ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσόμενος. Ἐρωτηθεὶς τί ἂν εἴη τῶν κατὰ τὸν βίον ἄφοβον, ὀρθὴ συνείδησις ἔφη. Τῷ υἱεῖ πρὸς Αἰγυπτίους ἀπαίροντι, καὶ πυνθανομένῳ, τί ἂν ποιῶν μάλιστα κεχαρισμένα αὐτῷ πράττοι, ἐφόδιον, ἔφη, πρὸς γῆρας κτησάμενος, τὴν ἀρετὴν δηλαδὴ ἐφόδιον λέγων. Θανάτῳ μέλλων καταδικάζειν ἐδάκρυσεν. εἰπόντος δέ τινος, τί παθὼν αὐτὸς καταδικάζεις καὶ κλαίεις; ὅτι ἀναγκαῖόν ἐστιν, εἶπε, τῇ μὲν φύσει τὸ συμπαθὲς ἀποδοῦναι, τῷ δὲ νόμῳ τὴν ψῆφον.

ἐρω-

ἐρωτηθεὶς ποῖος τῶν θανάτων κακὸς, ὁ ἀπὸ τῶν νόμον ἐπαγόμενος ἔφη. Τούτου ἔτι εἰσὶ, τὸ, ἄκουε πολλὰ, λάλει ὀλίγα· τὸ, νόει, καὶ τότε πράττε. τὸ, ὅτι ἂν ἀγαθὸν πράττῃς, εἰς θεὸν ἀνάπεμπε· τὸ, φίλει ὡς μισήσων. τὸ, ἀνάξιον ἄνδρα μὴ ἐπαίνει· τὸ, μὴ εὐήθης ἔσο, μήτε κακοήθης.

Περιάνδρου Κορινθίου. Ἐρωτηθεὶς τί μέγιστον ἐν ἐλαχίστῳ, φρένες, εἶπεν, ἀγαθαὶ ἐν σώματι ἀνθρώπου. Ὁ αὐτὸς τί ἐστιν ἐλευθερία ἐρωτηθεὶς, ἀγαθὴ συνείδησις, ἔφη. Τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν ἔλεγε δεῖν τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις· ἐρωτηθεὶς, διατί οὐκ ἀποτίθεται τὴν ἀρχὴν, εἶπεν, ὅτι τῷ κατ' ἀνάγκην ἄρχοντι καὶ τὸ ἑκουσίως ἀποστῆναι κίνδυνον φέρει. Τούτου ὁμοίως εἰσὶ, τὸ, μελέτη τὸ πᾶν. τὸ, θνητὰ φρόνει· τὸ, μυστήριον κρύπτε. τὸ, ἀληθείας ἔχου. τὸ, χάριν ἀπόδος· τὸ, εὐπροσήγορος γίνου. τὸ, ὀφθαλμῶν κράτει. τὸ, μὴ πίστευε χρόνῳ. τὸ, εἶκε μεγάλοις· τὸ, ἔλπιζε ὡς θνητὸς, φείδου ὡς ἀθάνατος. τὸ, ἁμαρτιῶν μεταβουλεύου· τὸ, ἀτυχίαν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς.

Κλεοβούλου Λινδίου. Τὸν φίλον, ἔλεγε, δεῖ εὐεργετεῖν, ὅπως ᾖ μᾶλλον φίλος· τὸν δὲ ἐχθρὸν φίλον ποιεῖν. φυλάσσεσθαι γὰρ χρὴ τῶν μὲν φίλων τὸν ψόγον, τῶν δὲ ἐχθρῶν τὴν ἐπιβουλήν. Μάλιστα σωφρονεῖ ὁ δῆμος, ἔλεγεν, ὅπου τὸν ψόγον μᾶλλον οἱ πολιτευόμενοι δεδοίκασιν, ἢ τὸν νόμον. Ὅταν τὶς ἐξίῃ τῆς οἰκίας, ζητείτω, ἔφασκε, πρότερον τὶ μέλλει πράσσειν. καὶ ὅταν εἰσέλθῃ, πάλιν ζητείτω τί ἔπραξε. τούτου εἰσὶν ἔτι, τὸ, πάντων μέτρον ἄριστον. τὸ, ἡδονῆς κράτει. τὸ, φρόνει τὶ κοῦφον. τὸ, βίᾳ μηδὲν πράττε· τὸ, γλῶσσαν εὔφημον κτῶ. τὸ, ὑπονοίας ἀπέχου· τὸ, οἰκίας ἐπιμελοῦ. τὸ, φιλήκοος ἔσο μᾶλλον, ἢ φιλόλαλος· τὸ, μὴ ῥιψοκίνδυνος ἔσο.

Ἀνα-

Ἀναχάρσιδος Σκύθου. Κρεῖττον ἕνα φίλον ἔχειν ἔλεγε πολλοῦ ἄξιον ἢ πολλοὺς μηδενὸς ἀξίους. Ἐρωτηθεὶς τί ἐστὶν ἐν ἀνθρώποις ἀγαθόν τε καὶ φαῦλον, ἔφη, γλῶσσα. Κιρναμένου κρατῆρος ἐφεστίου, ὁ μὲν πρῶτος, ἔφη, ὑγείας πίνεται, ὁ δὲ δεύτερος ἡδονῆς, ὁ δὲ τρίτος ὕβρεως, ὁ δὲ τελευταῖος μανίας. Ἡ ἄμπελος, ἔλεγε, τρεῖς φέρει βότρυς, τὸν μὲν πρῶτον ἡδονῆς, τὸν δὲ δεύτερον μέθης, τὸν δὲ τρίτον ἀηδίας. Ἐρωτηθεὶς, πῶς ἄν τις μὴ μεθύσκοιτο, εἰ ὁρῴη, ἔφη, τοὺς μεθύοντας οἷα ποιοῦσιν. Ὀνειδιζόμενος ὑπὸ Ἀττικοῦ ὅτι Σκύθης ἐστὶν, ἔφη, ἀλλ' ἐμοὶ μὲν ὄνειδος πατρὶς, σὺ δὲ τῇ πατρίδι. Πάλιν ὀνειδιζόμενος, ὅτι Σκύθης ἐστὶ, τῷ γένει, εἶπεν, ἀλλ' οὐ τῷ τρόπῳ. Ἐρωτηθεὶς τίνα τῶν πλοίων ἐστὶν ἀσφαλέστερα, τὰ νενεωλκημένα, ἔφη. Ἡ ἀγορὰ, ἔλεγεν, ὡρισμένος τόπος ἐστὶν εἰς τὸ ἀλλήλους ἀπατᾶν καὶ πλεονεκτεῖν. Παραγενόμενος εἰς Σκυθίαν, καὶ νομίζων τὰ νόμιμα παραλύειν τῆς πατρίδος, πολὺς ὢν ἐν τῷ ἑλληνίζειν, τοξευθεὶς ἐν κυνηγεσίῳ παρὰ τοῦ ἀδελφοῦ, ἐτελεύτα εἰπὼν, διὰ μὲν τὸν λόγον ἐκ τῆς Ἑλλάδος ἐσώθην, διὰ δὲ τὸν φθόνον ἐν τῇ οἰκίᾳ ἀπωλόμην.

Ἀναξαγόρου Κλαζομενίου πρὸς τὸν εἰπόντα, οὐδέν σοι μέλει τῆς πατρίδος, εὐφήμει, ἔφη· ἐμοὶ γὰρ καὶ σφόδρα μέλει τῆς πατρίδος, δείξας τὸν οὐρανόν. Ἐρωτηθεὶς εἰς τί γεγέννηται, εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. Πρὸς τὸν εἰπόντα ἐστερήθης Ἀθηναίων, οὔμενουν, ἔφη, ἀλλ' ἐκεῖνοι ἐμοῦ. Πρὸς τὸν δυσφοροῦντα ὅτι ἐπὶ ξένης τελευτᾷ, πανταχόθεν, ἔφη, ὁμοία ἐστὶν ἡ εἰς ᾅδου κατάβασις.

Σωκράτους. Λακτισθεὶς ἐπειδὴ ἠνέσχετο, τινὸς θαυμάζοντος, εἶπεν, εἰ δέ με ὄνος ἐλάκτισε, δίκην ἂν αὐτῷ ἐλάγχανον; Ἀναγνοὺς τὸ σύγγραμμα τοῦ Ἡρακλείτου, ἔφη, ἃ μὲν συνῆκα, γενναῖα, οἶμαι δὲ καὶ ἃ μὴ συνῆκα, πλὴν Δηλίου γέ τινος δεῖται κολυμβητοῦ. Πολλάκις δ' ἀφορῶν εἰς τὰ πλήθη τῶν πιπρασκομένων, ἔλεγε πρὸς αὐτὸν, πόσων ἐγὼ χρείαν οὐκ

ἔχω,

ἔχω. Ἐρωτηθεὶς πότερον γῆμαι, ἢ μὴ, ἔφη, ὃ ἂν αὐτῶν ποιήσῃς, μεταγνώσῃ. Καλέσας ἐπὶ δεῖπνον πλουσίους, καὶ τῆς Ξανθίππης γυναικὸς αἰδουμένης, ἔφη, θάρρει. εἰ μὲν γὰρ εἶεν μέτριοι, συμπεριενεχθεῖεν ἄν· εἰ δὲ φαῦλοι, ἡμῖν αὐτῶν οὐδὲν μελήσει. Ἔλεγε τοὺς μὲν ἄλλους ἀνθρώπους ζῆν ἵν' ἐσθίοιεν, αὐτὸν δὲ ἐσθίειν ἵνα ζώῃ. Πρὸς τὸν εἰπόντα, θάνατόν σου κατέγνωσαν οἱ Ἀθηναῖοι, κἀκείνων, ἔφη, ἡ φύσις. Τῆς γυναικὸς εἰπούσης, ἀδίκως ἀποθνήσκεις, σὺ δὲ, ἔφη, δικαίως ἐβούλου; Πρὸς τὸν εἰπόντα, κακῶς ὁ δεῖνα σε λέγει, καλῶς γὰρ, ἔφη, λέγειν οὐκ ἔμαθε. Στρέψαντος Ἀντισθένους τὸ διεῤῥωγὸς τοῦ τρίβωνος εἰς τοὐμφανὲς, ὁρῶ σου, ἔφη, διὰ τοῦ τρίβωνος τὴν κενοδοξίαν. Πρὸς τὸν εἰπόντα, οὔ σοι λοιδορεῖται ὁ δεῖνα; οὐχὶ, ἔφη, ἐμοὶ γὰρ οὐ πρόσεστι ταῦτα. Πρὸς Ξανθίππην πρότερον μὲν λοιδοροῦσαν, ὕστερον δὲ περιχέουσαν αὐτῷ, οὐκ ἔλεγον, εἶπεν, ὅτι Ξανθίππη βροντῶσα καὶ ὕδωρ ποιήσει; Πρὸς Ἀλκιβιάδην εἰπόντα, οὐκ ἀνεκτὴ Ξανθίππη λοιδοροῦσα, ἀλλ' ἔγωγε, ἔφη, συνείθισμαι, καθαπερεὶ καὶ τροχιλέας ἀκούων συνεχές· καὶ σὺ μὲν, εἶπε, χηνῶν βοώντων ἀνέχῃ. τοῦ δὲ εἰπόντος ἀλλά μοι ᾠὰ καὶ νεοττοὺς τίκτουσι, κἀμοὶ, ἔφη, Ξανθίππη παιδία γεννᾷ. Ἔλεγε συνεῖναι τραχείᾳ γυναικὶ καθάπερ οἱ ἱππικοὶ θυμοειδέσιν ἵπποις. ἀλλ' ὡς ἐκεῖνοι τούτων κρατήσαντες ῥᾳδίως τῶν ἄλλων περιγίνονται, οὕτω κἀγὼ Ξανθίππῃ χρώμενος, τοῖς ἄλλοις ἀνθρώποις συμπεριενεχθήσομαι. Τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτίσαι, ἕνεκα μὲν, εἶπε, τῶν ἐμοὶ πεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως.

Ξενοφῶντος. Ἔθυεν ὁ Ξενοφῶν ἐστεμμένος. ἀπαγγελθέντος δ' αὐτῷ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, ἀποστεφανώσασθαι αὐτὸν φασὶν, ἔπειτα μαθόντα ὅτι γενναίως, πάλιν ἐπιθέσθαι τὸν

στέφα-

σέφωνον. Ἔνιοι δὲ ὐδὲ δακρῦσαι φασὶν αὐτὸν, ἀλλ' εἰπεῖν. ᾔδειν θνητὸν γεγεννηκώς.

Ἀρισίππυ Κυρηναίυ. Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ δύνασθαι πᾶσι θαῤῥύντως ὁμιλεῖν. Παριόντα ποτὲ αὐτὸν λάχανα πλύων Διογένης ἔσκωπτε, λέγων, εἰ ταῦτα ἔμαθες προσφέρεσθαι, ὐκ ἂν τυράννων αὐλὰς ἐθεράπευες. ὁ δὲ, καὶ σὺ, εἶπεν, εἴπερ ᾔδεις ἀνθρώποις ὁμιλεῖν, ὐκ ἂν λάχανα ἔπλυνες. Ἐρωτηθεὶς ποτὲ τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη, ἐὰν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν. Ἐρωτηθεὶς ὑπὸ Διονυσίυ διατί οἱ μὲν φιλόσοφοι ἐπὶ τὰς τῶν πλουσίων θύρας ἔρχονται, οἱ δὲ πλύσιοι ἐπὶ τὰς τῶν φιλοσόφων ὐκέτι, ἔφη, ὅτι οἱ μὲν ἴσασιν ὧν δέονται, οἱ δὲ ὐκ ἴσασι. Πρὸς τὸν πυθόμενον τίνι διαφέρυσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη, ὥπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάςων. Αἴνιγμα τινὸς αὐτῷ προτείναντος καὶ εἰπόντος, λῦσον, τί ὦ μάταιε, ἔφη, λῦσαι θέλεις, ὃ καὶ δεδεμένον ἡμῖν πράγματα παρέχει; Ἄμεινον, ἔφη, ἐπαίτην ἢ ἀπαίδευτον εἶναι. ὁ μὲν γὰρ χρημάτων, ὁ δὲ ἀνθρωπισμῦ δεῖται. Λοιδορύμενός ποτε ἀνεχώρει. τῦ δὲ ἐπιδιώκοντος εἰπόντος, τί φεύγεις; ὅτι φησὶ, τῦ μὲν κακῶς λέγειν σὺ τὴν ἐξυσίαν ἔχεις, τῦ δὲ μὴ ἀκύειν ἐγώ. Εἰς Κόρινθον αὐτῷ πλέοντι, καὶ χειμαζομένῳ συνέβη ταραχθῆναι. πρὸς οὖν τὸν εἰπόντα, ἡμεῖς μὲν ἰδιῶται οὐ δεδοίκαμεν, ὑμεῖς δὲ φιλόσοφοι δειλιᾶτε; ὐ γὰρ περὶ ὁμοίας, ἔφη, ψυχῆς ἀγωνιῶμεν ἕκασοι. Πρὸς τὸν ὑπὲρ αὐτῦ λογογράφον δίκην εἰπόντα καὶ νικήσαντα, ἔπειτα φάσκοντα πρὸς αὐτὸν τί σε ὤνησε Σωκράτης, ἔφη, τῦτο, τὺς λόγυς ὓς εἶπας ὑπὲρ ἐμῦ ἀληθεῖς εἶναι. Ἐρωτηθεὶς ὑπό τινος τί αὐτῦ ὁ υἱὸς ἄμεινον ἔςαι παιδευθεὶς, εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γῦν τῷ θεάτρῳ ὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ. Συνισάντος τινὸς αὐτῷ

τὸν

τὸν υἱὸν, ᾔτησε πεντακοσίας δραχμάς. τοῦ δὲ εἰπόντος τοσούτου δύναμαι ἀνδράποδον ὠνήσασθαι, πρίω, ἔφη, καὶ ἕξεις δύο. Αὐχοῦντός τινος ἐπὶ τῷ κολυμβᾶν, οὐκ αἰσχύνῃ, εἶπεν, ἐπὶ δελφῖνος ἔργοις ἀλαζονευόμενος; Ἐρωτηθείς ποτε τίνι διαφέρει ὁ σοφὸς τοῦ μὴ σοφοῦ, ἔφη, εἰς ἀγνῶτας τοὺς δύο γυμνοὺς ἀπόστειλον, καὶ εἴσῃ. Σίμου ποτὲ τοῦ Διονυσίου ταμίου πολυτελεῖς οἴκους αὐτῷ καὶ λιθοστρώτους δεικνύντος (ἦν δὲ Φρὺξ καὶ ὄλεθρος) ἀναχρεμψάμενος προσέπτυσε τῇ ὄψει. τοῦ δὲ ἀγανακτήσαντος, οὐκ εἶχον εἶπε, τόπον ἐπιτηδειότερον. Ἐρωτώμενος πῶς ἀπέθανε Σωκράτης, ἔφη, ὡς ἂν ἐγὼ εὐξαίμην. Δεόμενός ποτε Διονυσίου περὶ φίλου, καὶ μὴ ἐπιτυγχάνων, εἰς πόδας αὐτοῦ ἔπεσε. πρὸς οὖν τὸν ἐπισκώψαντα, οὐκ ἐγώ φησιν, αἴτιος, ἀλλ' ὁ Διονύσιος, ὁ ἐν τοῖς ποσὶ τὰς ἀκοὰς ἔχων. Ἐρωτηθεὶς τίνα ἐστὶν, ἃ δεῖ τοὺς καλοὺς παῖδας μανθάνειν, ἔφη, οἷς ἄνδρες γενόμενοι χρήσονται. Ἤτει Διονύσιον ἀργύριον. καὶ ὅς, ἀλλὰ μὴν ἔφης οὐκ ἀπορήσειν τὸν σοφόν· ὁ δὲ ὑπολαβὼν δός, εἶπε, καὶ περὶ τούτου ζητῶμεν. δόντος δὲ, ὁρᾷς, ἔφη, ὅτι οὐκ ἠπόρηκα;

Στίλπωνος Μεγαρέως. Δημήτριος ὁ Ἀντιγόνου καταλαβὼν τὰ Μέγαρα, τήν τε οἰκίαν αὐτοῦ φυλαχθῆναι καὶ πάντα τὰ ἁρπασθέντα προνόησεν ἀποδοθῆναι. ὅτε καὶ βουλομένῳ παρ' αὐτοῦ τῶν ἀπολωλότων ἀναγραφὴν λαβεῖν, ἔφη, μηδὲν τῶν οἰκείων ἀπολωλέναι. πόλεμος γὰρ οὐ λαφυραγωγεῖ ἀρετήν. Ἰδὼν τὸν Κράτητα χειμῶνι συγκεκαυμένον, ὦ Κράτης, εἶπε, δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ, τουτέστιν ἱματίου καὶ νοῦ. Λέγεται δ' οὕτως Ἀθήνησι ἐπιστρέψαι πρὸς αὐτὸν τοὺς ἀνθρώπους ὥστ' ἀπὸ τῶν ἐργαστηρίων συνθεῖν, ἵνα αὐτὸν θεάσαιντο. καί τινος εἰπόντος, Στίλπων, θαυμάζουσί σε ὡς θηρίον, οὐμενοῦν, εἰπεῖν, ἀλλ' ὡς ἄνθρωπον ἀληθινόν.

Μενεδήμου Ἐρετριέως. Ἀντιγόνου συμβουλευομένου, εἰ ἐπὶ κῶμον ἀφίκοιτο, σιωπήσας τ' ἄλλα, μόνον ἐκέλευσεν, ἀπαγγεῖλαι,

ὅτι βασιλέως υἱός ἐστι. Πρὸς τὸν πυθόμενον εἰ γήμοι ὁ σπουδαῖος, ἔφη, πότερον, ἐγώ σοι σπουδαῖος δοκῶ, ἢ οὔ; φήσαντος δὲ εἶναι, ἐγὼ τοίνυν, εἶπε, γεγάμηκα. Ἀκούσας τινὸς ὡς μέγιστον ἀγαθὸν εἴη τὸ πάντων ἐπιτυγχάνειν ὧν τις ἐπιθυμεῖ, ἔφη, πολὺ δὲ μεῖζον τὸ ἐπιθυμεῖν ὧν δεῖ.

Πλάτωνος. Διονύσιος ἐπέστειλε Πλάτωνι, μὴ κακῶς ἀγορεύειν αὐτόν· καὶ ὃς ἀντεπέστειλε μὴ τοσαύτην αὐτῷ σχολὴν εἶναι, ὥστε Διονυσίου μεμνῆσθαι. Ἀνιόντι αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ ὄντι ὑπευθύνῳ, Κρώβυλος ὁ συκοφάντης ἀπαντήσας, ἔφη, ἄλλῳ συναγορεύων ἥκεις, ἀγνοῶν ὅτι καὶ σὲ τὸ Σωκράτους κώνειον ἀναμένει· ὁ δὲ, ἔφη καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην ὑπέμενον τοὺς κινδύνους, καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ. Θεασάμενος κυβεύοντα ᾐτιάσατο, τοῦ δὲ εἰπόντος, ὡς ἐπὶ μικροῖς, ἀλλὰ τό γε ἔθος, εἶπεν, οὐ μικρόν. Ἐρωτηθεὶς, εἰ ἀπομνημόνευμά τι αὐτοῦ ἔσται, ὥσπερ τῶν προτέρων, ἀπεκρίνατο, ὀνόματος δεῖ τυχεῖν πρῶτον, εἶτα πολλὰ ἔσται. Εἰσελθόντος ποτὲ Ξενοκράτους, εἶπεν αὐτῷ μαστιγῶσαι τὸν παῖδα. αὐτὸν γὰρ μὴ δύνασθαι διὰ τὸ ὀργίζεσθαι. Ἀλλὰ καὶ πρός τινα τῶν παίδων, μεμαστίγωσο ἄν, ἔφη, εἰ μὴ ὠργιζόμην. Ἐφ' ἵππου καθίσας, εὐθέως κατέβη, φήσας εὐλαβεῖσθαι, μὴ ἱπποτυφίᾳ ληφθῇ. Εἰσῄει ποτὲ κατακρουνιζόμενος ὁ Διογένης· τῶν δὲ περιεστώτων ἐλεούντων, παρὼν Πλάτων ἔφη, εἰ βούλεσθε αὐτὸν ἐλεῆσαι, ἀπόστητε, ἐνδεικνύμενος τὴν φιλοδοξίαν αὐτοῦ. Πλάτωνος περὶ ἰδεῶν διαλεγομένου καὶ ὀνομάζοντος τραπεζότητα καὶ κυαθότητα, ἐγὼ ἔφη ὁ Διογένης, τράπεζαν μὲν, ὦ Πλάτων, καὶ κύαθον ὁρῶ, τραπεζότητα δὲ καὶ κυαθότητα οὐδαμῶς· καὶ ὅς, κατὰ λόγον ἔφη· οἷς μὲν γὰρ κύαθος καὶ τράπεζα θεωρεῖται, ὀφθαλμοὺς ἔχεις· ᾧ δὲ τραπεζότης καὶ κυαθότης βλέπεται, νοῦν οὐκ ἔχεις.

Ξενοκράτους Καλχηδονίου. Στρουθίου ποτὲ διωκομένου ὑπὸ

Ἱερα-

Ἱέρακος δὲ εἰσπηδήσαντος εἰς τοὺς κόλπους αὐτοῦ, καταψήσας μεθῆκεν, εἰπὼν τὸν ἱκέτην δεῖν μὴ ἐκδιδόναι. Εἰπόντος δὲ Διονυσίου τοῦ τυράννου πρὸς Πλάτωνα, ὡς ἀφαιρήσει τις αὐτοῦ τὸν τράχηλον, παρὼν οὗτος καὶ δείξας τὸν ἴδιον, οὐκ ἄν γε ἔφη τις πρότερον τούτου. ἐκ νέου γὰρ τοῦ Πλάτωνος ἤκουσε. Φασὶ Φρύνην τὴν ἑταίραν ἐθελῆσαι πειράσαι αὐτὸν, καὶ δῆθεν ὡς διωκομένην ὑπό τινων καταφυγεῖν εἰς τὸ οἰκίδιον αὐτοῦ. τοῦ δὲ ἕνεκα τοῦ ἀνθρωπίνου εἰσδέξασθαι, καὶ ἑνὸς ὄντος κλινιδίου δεομένην μεταδοῦναι τῆς κατακλίσεως· καὶ τέλος πολλὰ ἐκλιπαροῦσαν, ἄπρακτον ἀναστῆναι· λέγειν τε πρὸς τοὺς πυνθανομένους, ὡς οὐκ ἀπ' ἀνδρὸς, ἀλλ' ἀπ' ἀνδριάντος ἀνασταίη.

Ἀριστοτέλους. Ἐρωτηθεὶς τί περιγίνεται κέρδος τοῖς ψευδομένοις, ὅταν ἔφη λέγωσιν ἀλήθειαν, μὴ πιστεύεσθαι. Ὀνειδιζόμενός ποτε, ὅτι πονηρῷ ἀνθρώπῳ ἐλεημοσύνην δέδωκεν, οὐ τὸν τρόπον, εἶπεν, ἀλλὰ τὸν ἄνθρωπον ἠλέησα. Συνεχὲς εἰώθει λέγειν πρός τε τοὺς φίλους καὶ τοὺς φοιτῶντας αὐτῷ, ἔνθα ἂν καὶ ὅπου διατρίβων ἐτύγχανεν, ὡς ἡ μὲν ὅρασις ἀπὸ τοῦ περιέχοντος ἀέρος λαμβάνει τὸ φῶς, ἡ δὲ ψυχὴ ἀπὸ τῶν μαθημάτων. Τῆς παιδείας ἔλεγε τὰς μὲν ῥίζας εἶναι πικρὰς, γλυκὺν δὲ τὸν καρπόν. Ἐρωτηθεὶς τί γηράσκει ταχὺ, χάρις ἔφη. Ἐρωτηθεὶς τί ἐστιν ἐλπὶς, ἐγρηγορότος, εἶπεν, ἐνύπνιον. Τριῶν ἔφη δεῖν παιδείᾳ, φύσεως, μαθήσεως, ἀσκήσεως. Ἀκούσας ὑπό τινος λοιδορεῖσθαι, ἀπόντα με ἔφη καὶ μαστιγούτω. Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ὅσῳ εἶπεν οἱ ζῶντες τῶν τεθνηκότων. Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. Τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι ἔλεγε τῶν μόνον γεννησάντων. τοὺς μὲν γὰρ τὸ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι. Πρὸς τὸν καυχώμενον ὡς ἀπὸ μεγάλης πόλεως εἴη, οὐ τοῦτο ἔφη, σκόπει, ἀλλ' ὅστις μεγάλης πατρίδος ἄξιός ἐστιν. Ἐρωτηθεὶς τί ἐστι φίλος ἔφη, μία ψυχὴ δύο σώμασιν

ἐνοικοῦσα. Τῶν ἀνθρώπων ἔλεγε τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δὲ οὕτως ἀναλίσκειν ὡς αὐτίκα τεθνηξομένους. Ἐρωτηθεὶς τί ποτε αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ ἀνεπιτάκτως ποιεῖν ἅ τινες διὰ τὸν ἀπὸ τῶν νόμων φόβον ποιοῦσιν. Ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταί, ἔφη, ἐὰν τοὺς προέχοντας διώκοντες, τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι. Πρὸς τὸν εἰπόντα ἀδολέσχην, ἐπειδὴ πολλὰ αὐτοῦ κατήντλησε, μή τι σου κατεφλυάρησα; μὰ δία, εἶπεν, οὐ γάρ σοι προσεῖχον. Πρὸς τὸν αἰτιασάμενον ὡς εἴη μὴ ἀγαθῷ ἔρανον δεδωκώς, οὐ τῷ ἀνθρώπῳ ἔφη, ἔδωκα, ἀλλὰ τῷ ἀνθρωπίνῳ.

Θεοφράστου. Θᾶττον ἔφη πιστεύειν δεῖν ἵππῳ ἀχαλίνῳ, ἢ λόγῳ ἀσυντάκτῳ. Πρὸς δὲ τὸν ἐν τῷ συμποσίῳ σιωπῶντα τὸ ὅλον ἔφη, εἰ μὲν ἀμαθὴς εἶ, φρονίμως ποιεῖς· εἰ δὲ πεπαίδευσαι, ἀφρόνως. Συνεχές τε ἔλεγε πολυτελὲς ἀνάλωμα εἶναι τὸν χρόνον· καὶ τότε τοὺς ἀνθρώπους ἀποθνήσκειν, ὁπότε ἄρχονται ζῆν. Ἐρωτηθεὶς δὲ τί ἐστιν ἔρως, πάθος ἔφη ψυχῆς σχολαζούσης.

Δημητρίου Φαληρέως. Ἀκούσας ὅτι τὰς εἰκόνας αὐτοῦ κατέστρεψαν οἱ Ἀθηναῖοι, ἀλλ' οὐ τὴν ἀρετήν, ἔφη, δι' ἣν ἐκείνας ἀνέστησαν. Ὅσον ἐν πολέμῳ δύνασθαι σίδηρον, τοσοῦτον ἔλεγεν ἐν πολιτείαις ἰσχύειν λόγον. Τῶν τετυφωμένων ἀνδρῶν ἔφη τὸ μὲν ὕψος δεῖν περιαιρεῖν, τὸ δὲ φρόνημα καταλιπεῖν. Τοὺς νέους ἔφη δεῖν ἐπὶ μὲν ταῖς οἰκίαις τοὺς γονεῖς αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς. Τοὺς φίλους ἔφασκεν δεῖν ἐπὶ μὲν τὰ ἀγαθὰ παρακαλουμένους ἀπιέναι, ἐπὶ δὲ τὰς συμφορὰς αὐτομάτους.

Ἀντισθένους Ἀθηναίου. Πρὸς τὸ Ποντικὸν μειράκιον μέλλον φοιτᾶν αὐτῷ, καὶ πυθόμενον τίνων αὐτῷ δεῖ, ἔφη, βιβλιαρίου καινοῦ, καὶ γραφείου καινοῦ, καὶ πινακιδίου καινοῦ, τὸν νοῦν παρεμφαίνων. Ἐρωτηθεὶς διατί πικρῶς τοῖς μαθηταῖς ἐπιπλήττει, καὶ οἱ ἰατροὶ ἔφη, τοῖς κάμνουσι. Κρεῖττον ἔλεγεν

εἰς

εἰς κόρακας, ἢ εἰς κόλακας ἐμπεσεῖν· οἱ μὲν γὰρ νεκροὺς, οἱ δὲ ζῶντας ἐσθίουσιν. Ἐρωτηθεὶς τί μακαριώτερον ἐν ἀνθρώποις, ἔφη, δυστυχοῦντα ἀποθανεῖν. Τοὺς βουλομένους ἀθανάτους εἶναι ἔφη δεῖν ζῆν εὐσεβῶς καὶ δικαίως. Τότ' ἔφη τὰς πόλεις ἀπόλλυσθαι, ὅταν μὴ δύνωνται τοὺς φαύλους ἀπὸ τῶν σπουδαίων διακρίνειν. Ἐπαινούμενος ὑπὸ πονηρῶν, ἔφη, ἀγωνιῶ μή τι κακὸν εἴργασμαι. Τοιαῦτα δεῖν ἔλεγεν ἰδιοποιεῖσθαι ἐφόδια, ἃ καὶ ναυαγήσαντι συγκολυμβήσει. Ὀνειδιζόμενος ἐπὶ τῷ πονηροῖς συγγενέσθαι, καὶ οἱ ἰατροὶ, ἔφη, μετὰ τῶν ἀσθενούντων εἰσὶν, ἀλλ' οὐ πυρέττουσιν. Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν. Ἐρωτηθεὶς τί τῶν μαθημάτων ἀναγκαιότατον, ἔφη, τὸ κακὰ ἀπομαθεῖν. Τοῖς μέλλουσι σώζεσθαι φίλων ἔλεγε δεῖν γνησίων, ἢ διαπύρων ἐχθρῶν· οἱ μὲν γὰρ νουθετοῦντες τοὺς ἁμαρτάνοντας, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι.

Διογένους Σινωπέως. Πατῶν ποτε τὰ στρώματα τοῦ Πλάτωνος, ἔφη, πατῶ τὴν Πλάτωνος κενοσπουδίαν, πρὸς ὃν ὁ Πλάτων, ὅσον ὦ Διόγενες τοῦ τύφου διαφαίνεις δοκῶν μὴ τετυφῶσθαι· οἱ δέ φασι τὸν Διογένη εἰπεῖν, πατῶ τὸν Πλάτωνος τῦφον, τὸν δὲ φάναι ἑτέρῳ γε τύφῳ, Διόγενες. Σπουδαιολογουμένῳ ποτὲ ὡς οὐδεὶς προσῄει, ἤρξατο τερετίζειν. ἀθροισθέντων δὲ, ὠνείδισεν ὡς ἐπὶ τοὺς φληνάφους ἀφικνουμένους σπουδαίως, ἐπὶ δὲ τὰ σπουδαῖα βραδύνοντας ὀλιγώρως. Τοὺς μαθηματικοὺς ἐθαύμαζε ἀποβλέπειν μὲν πρὸς τὸν ἥλιον καὶ τὴν σελήνην, τὰ δὲ ἐν ποσὶ πράγματα παρορᾶν. τοὺς ῥήτορας τὰ δίκαια μὲν ἐσπουδακέναι λέγειν, πράττειν δὲ οὐδαμῶς· τοὺς φιλαργύρους ψέγειν μὲν τὸ ἀργύριον, ὑπεραγαπᾶν δέ. Ἁλοὺς καὶ πωλούμενος ἠρωτήθη τί οἶδε ποιεῖν, ἀπεκρίνατο ἀνδρῶν ἄρχειν. Εἰσαγαγόντος τινὸς αὐτὸν εἰς οἶκον πολυτελῆ, καὶ κωλύοντος πτύσαι, ἐπειδὴ ἐχρέμψατο, εἰς τὴν ὄψιν αὐτοῦ ἔπτυσεν, εἰπὼν χείρονα τόπον μὴ εὑρηκέναι. Φασὶ δὲ καὶ τὸν Ἀλέξανδρον εἰ-

πεῖν, ὡς εἴπερ Ἀλέξανδρος μὴ ἐγεγόνει, ἐθελῆσαι ἂν Διογένης γενέσθαι. Πρὸς τοὺς εἰπόντας γέρων εἶ, καὶ λοιπὸν ἄνες, τί δὲ ἔφη εἰ δόλιχον ἔδραμον, πρὸς τῷ τέλει ἔδει με ἀνεῖναι, καὶ μὴ μᾶλλον ἐπιτείνειν; Ἔφασκε δὲ ἀντιθεῖναι τύχῃ μὲν θάρσος, νόμῳ δὲ φύσιν, πάθει δὲ λόγον. Ἐν τῷ Κρανείῳ ἡλιουμένῳ αὐτῷ Ἀλέξανδρος ἐπιστὰς ἔφη, αἴτησόν με ὃ θέλεις· καὶ ὅς ἀποσκότησόν μου, ἀπεκρίθη. Μακρά τινος ἀναγινώσκοντος, καὶ πρὸς τῷ τέλει τοῦ βιβλίου ἄγραφον παραδείξαντος, θαῤῥεῖτε ἔφη, ἄνδρες, γῆν ὁρῶ. Πρὸς τὸν εἰπόντα ὅτι κίνησις οὐκ ἔστιν ἀναστὰς περιεπάτει. Πρὸς τὸν λέγοντα περὶ τῶν μετεώρων ποσταῖος ἔφη πάρει ἀπὸ τοῦ Οὐρανοῦ; Εὐνούχου μοχθηροῦ ἐπιγράψαντος ἐπὶ τὴν οἰκίαν, μηδὲν εἰσίτω κακὸν, ὁ οὖν κύριος ἔφη τῆς οἰκίας πῶς ἂν εἰσέλθοι; τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη, ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν. Ἐκ τοῦ βαλανείου ἐξιὼν τῷ μὲν πυθομένῳ εἰ πολλοὶ ἄνθρωποι λοῦονται, ἠρνήσατο. τῷ δὲ, εἰ πολὺς ὄχλος, ὡμολόγησε. Πρὸς τὸν πυθόμενον ποίᾳ ὥρᾳ δεῖ ἀριστᾶν, εἰ μὲν πλούσιος, ἔφη, ὅταν θέλῃ, εἰ δὲ πένης, ὅταν ἔχῃ. Ἐν Μεγαρεῦσιν ἰδὼν τὰ μὲν πρόβατα τοῖς δέρμασιν ἐσκεπασμένα, τοὺς δὲ παῖδας αὐτῶν γυμνοὺς, ἔφη, λυσιτελέστερόν ἐστι Μεγαρέως εἶναι κριὸν ἢ υἱόν. Λύχνον μεθ' ἡμέραν ἅψας, ἄνθρωπον, ἔλεγε, ζητῶ. Μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην συλληφθεὶς, ἀπήχθη πρὸς Φίλιππον, καὶ ἐρωτηθεὶς τίς εἴη, κατάσκοπος, ἔφη, τῆς σῆς ἀπληστίας. ὅθεν θαυμασθεὶς ἀφείθη. Ἀλεξάνδρου ποτὲ πέμψαντος ἐπιστολὴν πρὸς Ἀντίπατρον εἰς Ἀθήνας διά τινος Ἀθλίου, παρὼν ἔφη, Ἄθλιος παρ' ἀθλίου δι' ἀθλίου πρὸς ἄθλιον. Περδίκκου ἀπειλήσαντος, εἰ μὴ ἔλθοι πρὸς αὐτὸν, ἀποκτενεῖν, ἔφη, οὐδὲν μέγα· καὶ κάνθαρος καὶ φαλάγγιον τοῦτ' ἂν πράξοιεν. Θεασάμενος μειράκιον λίθους βάλλον ἐπὶ σταυρὸν, εὖγε, εἶπε, τεύξῃ γὰρ τοῦ σκοποῦ. Τὸν πλούσιον ἀμαθῆ πρόβατον εἶπε χρυσόμαλλον

λον. Ἐν δείπνῳ προσερρίπτουν αὐτῷ τινὲς ὀστάρια ὡς κυνί, καὶ ὃς ἀπαλλαττόμενος προσεούρησεν αὐτοῖς ὡς κύων. Τὸν κιθαρῳδὸν ἀεὶ καταλειπόμενον ὑπὸ τῶν ἀκροατῶν ἠσπάσατο, χαῖρε ἀλέκτωρ· τοῦ δὲ εἰπόντος διατί; ὅτι ἔφη ᾄδων πάντας ἐγείρεις. Εἰπόντος τινὸς Σινωπεῖς σου φυγὴν κατέγνωσαν, ἐγὼ δέ γε εἶπεν, ἐκείνων μονήν. Ἰδὼν Ὀλυμπιονίκην πρόβατα νέμοντα, ταχέως εἶπεν, ὦ βέλτιστε, μετέβης ἀπὸ τῶν Ὀλυμπίων ἐπὶ τὰ Νέμεα. Δείξαντος αὐτῷ παιδαρίου μάχαιραν, ἣν εἰλήφει παρὰ ἐραστοῦ, ἡ μὲν μάχαιρα, ἔφη, καλή, ἡ δὲ λαβὴ αἰσχρά. Ἤτει ποτὲ ἀνδριάντα· ἐρωτηθεὶς δὲ διατί τοῦτο ποιεῖ, μελετῶ, εἶπεν, ἀποτυγχάνειν. Αἰτῶν τινά, ἔφη, εἰ μὲν καὶ ἄλλῳ δέδωκας, δὸς κἀμοί· εἰ δὲ μηδενί, ἀπ' ἐμοῦ ἄρξαι. Ἐρωτηθεὶς ὑπὸ τυράννου, ποῖος ἂν εἴη ἀμείνων χαλκὸς εἰς ἀνδριάντα, ἔφη, ἀφ' οὗ Ἁρμόδιος καὶ Ἀριστογείτων ἐχαλκεύθησαν. Ἄσωτον θεασάμενος ἐν πανδοκείῳ ἐλάας ἐσθίοντα, ἔφη, εἰ οὕτως ἠρίστας, οὐκ ἂν οὕτως ἐδείπνεις. Ἐρωτηθεὶς τί ἄθλιον ἐν βίῳ, γέρων ἔφη ἄπορος. Ἐρωτηθεὶς τί τῶν θηρίων κάκιστα δάκνει, ἔφη, τῶν μὲν ἀγρίων συκοφάντης, τῶν δὲ ἡμέρων κόλαξ. Ἰδών ποτε δύο κενταύρους κάκιστα ἐζωγραφημένους, ἔφη, πότερος τούτων Χείρων ἐστί. Τὸν πρὸς χάριν λόγον ἔφη μελιτίνην ἀγχόνην εἶναι. τὴν γαστέρα χάρυβδιν ἔλεγε τοῦ βίου. Ἀκούσας ποτὲ ὅτι Διδύμων ὁ μοιχὸς συνελήφθη, ἄξιος ἔφη ἐκ τοῦ ὀνόματος κρεμασθῆναι. Ἐρωτηθεὶς διατί τὸ χρυσίον χλωρόν ἐστιν, ἔφη, ὅτι πολλοὺς ἔχει τοὺς ἐπιβουλεύοντας. Ἰδὼν ἱματιοκλέπτην εἰς τὸ βαλανεῖον ἐρχόμενον, ἔφη ἐπ' ἀλειμμάτιον, ἢ ἐπ' ἄλλο ἱμάτιον; Ἰδὼν γυναῖκας ἀπ' ἐλαίας ἀπηγχονισμένας, εἴθε, ἔφη, πάντα τὰ δένδρα τοιοῦτον καρπὸν ἤνεγκεν. Ἐρωτηθεὶς ἢ παιδισκάριον, ἢ παιδάριον ἔχοι, ἔφη οὔ. τοῦ δὲ εἰπόντος, ἐὰν οὖν ἀποθάνῃς, τίς σε ἐξοίσει; ἔφη ὁ χρῄζων τῆς οἰκίας. Ἰδὼν μειράκιον ἐρυθριῶν, θάρρει ἔφη, τοιοῦτόν ἐστι τῆς ἀρετῆς τὸ χρῶμα. Ἐρωτηθεὶς ποῖον οἶνον ἡδέως πίνει, τὸν ἀλλότριον, ἔφη. Ἐρωτηθεὶς ποταπὸς εἴη κύων, ἔφη, πεινῶν Μελιταῖος, χορ-

νασθεὶς δὲ Μολοττός. Ἐρωτηθεὶς διατὶ προσαίταις μὲν ἐπιδιδόασι, φιλοσόφοις δὲ οὔ, ἔφη, ὅτι χωλοὶ μὲν καὶ τυφλοὶ γενέσθαι ἐλπίζουσι, φιλοσοφῆσαι δὲ οὐδαμῶς. Εἰς Μύνδον ἐλθὼν, καὶ θεασάμενος μεγάλας τὰς πύλας, μικρὰν δὲ τὴν πόλιν, ἄνδρες Μύνδιοι, ἔφη, κλείσατε τὰς πύλας, μὴ ἡ πόλις ὑμῶν ἐξέλθῃ. Ὀνειδιζόμενος, ὅτι ἐν ἀγορᾷ ἔφαγεν, ἐν ἀγορᾷ γὰρ ἔφη καὶ ἐπείνασα. Δύσκολον ᾔτει· τοῦ δὲ εἰπόντος ἐάν με πείσῃς, ἔφη, εἴ σε ἐδυνάμην πεῖσαι, ἔπεισά σε ἂν ἀπάγξασθαι. Ἀλεξάνδρου ἐπιστάντος αὐτῷ καὶ εἰπόντος. ἐγώ εἰμι Ἀλέξανδρος ὁ μέγας βασιλεὺς, κἀγὼ ἔφη Διογένης ὁ Κύων. Ἐρωτηθεὶς τί ποιῶν κύων καλεῖται, ἔφη, τοὺς μὲν διδόντας σαίνων, τοὺς δὲ μὴ διδόντας ὑλακτῶν, τοὺς δὲ πονηροὺς δάκνων. Ἀπὸ συκῆς ὠπώριζε, τοῦ δὲ φυλάττοντος εἰπόντος, αὐτόθεν πρώην ἄνθρωπος ἀπήγξατο, ἐγὼ οὖν, ἔφη, αὐτὴν καθαρῶ. Ἀριστῶντι αὐτῷ ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον, κύον· ὁ δὲ ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. Ἀφυῆ παλαιστὴν θεασάμενος ἰατρεύοντα, ἔφη, τί τοῦτο; ἢ ἵνα τοὺς ποτέ σε νικήσαντας νῦν καταβάλῃς; Θεασάμενος υἱὸν ἑταίρας λίθους εἰς τοὺς παριόντας βάλλοντα, πρόσεχε ἔφη, μὴ τὸν πατέρα πλήξῃς. Ἐπαινούντων τινῶν τὸν ἐπιδόντα αὐτῷ, ἔφη, ἐμὲ δὲ οὐκ ἐπαινεῖτε τὸν ἄξιον λαβεῖν; Ἀπαιτούμενος ὑπό τινος τρίβωνα, ἔφη, εἰ μὲν ἐχαρίσω, ἔχω· εἰ δὲ ἔχρησας, χρῶμαι· Ἐρωτηθεὶς τί αὐτῷ περιγέγονεν ἐκ φιλοσοφίας, ἔφη, καὶ εἰ μηδὲν ἄλλο, τὸ γοῦν πρὸς πᾶσαν τύχην παρεσκευάσθαι, Ἐρωτηθεὶς πόθεν εἴη, κοσμοπολίτης, ἔφη. Ὀνειδιζόμενος ὅτι εἰς τόπους ἀκαθάρτους εἰσίοι, καὶ ὁ ἥλιος ἔφη εἰς τοὺς ἀποπάτους, ἀλλ' οὐ μιαίνεται. Πρὸς τὸν συνιστάντα τὸν παῖδα, καὶ λέγοντα, ὡς εὐφυέστατός ἐστι καὶ τὰ ἤθη κράτιστος, τί οὖν εἶπεν, ἐμοῦ χρῄζει; Τοὺς λέγοντας μὲν τὰ σπουδαῖα, μὴ ποιοῦντας δὲ, ἔλεγε μηδὲν διαφέρειν κιθάρας. καὶ γὰρ ταύτην μήτε ἀκούειν μήτε αἰσθάνεσθαι. Εἰς

θεα-

θέατρον εἰσῄει ἐναντίος τοῖς ἐξιοῦσιν· ἐρωτηθεὶς δὲ διατί, τοῦτο ἔφη παντὶ τῷ βίῳ ἐπιτηδεύω ποιεῖν. Πρὸς τὸν εἰπόντα ἀνεπιτήδειός εἰμι πρὸς φιλοσοφίαν, τί οὖν ἔφη ζῇς, εἰ τοῦ καλῶς ζῆν μὴ μέλει σοι; Πρὸς τὸν καταφρονοῦντα τοῦ πατρὸς, οὐκ αἰσχύνῃ, ἔφη, καταφρονῶν τούτου, δι' ὃν μέγα φρονεῖς; Ὀνειδιζόμενος ὅτι ἐν καπηλείῳ πίνει, καὶ ἐν κουρείῳ ἔφη, κείρομαι. Πρὸς τὸν ἐνσείσαντα αὐτῷ δοκὸν, εἶτα εἰπόντα, φύλαξαι, πλήξας αὐτὸν τῇ βακτηρίᾳ, φύλαξαι, ἔφη. Ἄσωτον ᾔτει μνᾶν· πυθομένου δὲ, διατὶ τοὺς μὲν ἄλλους ὀβολὸν ζητεῖ, αὐτὸν δὲ μνᾶν, ὅτι εἶπε παρὰ μὲν τῶν ἄλλων πάλιν ἐλπίζω λαβεῖν, παρὰ δὲ σοῦ θεῶν ἐν γούνασι κεῖται εἰ πάλιν λήψομαι. Ἰδὼν τοξότην ἀφυῆ, παρὰ τὸν σκοπὸν ἐκάθισεν, εἰπὼν, ἵνα μὴ πληγῶ. Ἐρωτηθεὶς εἰ κακὸς ὁ θάνατος, πῶς εἶπε, κακὸς, οὗ παρόντος οὐκ αἰσθανόμεθα; Πρὸς Ἀλέξανδρον εἰπόντα, οὐ φοβῇ με; τί γὰρ, εἶπεν, εἶ; ἀγαθὸν, ἢ κακόν; τοῦ δὲ εἰπόντος ἀγαθὸν, τίς οὖν εἶπε τὸ ἀγαθὸν φοβεῖται; Τὴν παιδείαν εἶπε τοῖς μὲν νέοις σωφροσύνην, τοῖς δὲ πρεσβυτέροις παραμυθίαν, τοῖς δὲ πένησι πλοῦτον, τοῖς δὲ πλουσίοις κόσμον εἶναι. Πρὸς Διδύμωνα τὸν μοιχὸν ἰατρεύοντά ποτε κόρης ὀφθαλμὸν, ὅρα ἔφη, μὴ τὸν ὀφθαλμὸν τῆς παρθένου ἰατρεύων τὴν κόρην φθείρῃς. Ἐρωτηθεὶς τί κάλλιστον ἐν ἀνθρώποις, ἔφη, παῤῥησία. Εἰσελθὼν εἰς διδασκάλου, καὶ μούσας μὲν ἰδὼν πολλὰς, μαθητὰς δὲ ὀλίγους, σὺν θεοῖς, ἔφη διδάσκαλε, πολλοὺς μαθητὰς ἔχεις.

Κράτητος τοῦ Θηβαίου. Τραπεζίτῃ τινὶ παρακατέθετο ἀργύριον, συνθέμενος, εἰ μὲν οἱ παῖδες αὐτοῦ ἰδιῶται γενηθεῖεν, αὐτοῖς ἀποδοῦναι, εἰ δὲ φιλόσοφοι, τῷ δήμῳ διανεῖμαι· μηδενὸς γὰρ ἐκείνους δεήσεσθαι φιλοσοφοῦντας. Νικόδρομον ἐξερεθίσας τὸν κιθαρῳδὸν ὑπωπιάσθη· προσθεὶς οὖν πιττάκιον τῷ μετώπῳ ἐπέγραψε, Νικόδρομος ἐποίει. Δημήτριον τὸν Φαληρέα πέμψαντα αὐτῷ ἄρτους καὶ οἶνον ὠνείδισεν, εἰπὼν, εἴ-

-θε γὰρ αἱ κρίθαι καὶ ἄρτους ἔφερον. Ἔλεγε τοὺς μετὰ τῶν κολάκων ὄντας, ὥσπερ τοὺς μόσχους, ἐπειδὰν μετὰ λύκων ὦσιν. οὔτε γὰρ ἐκείνους τοὺς προσήκοντας, οὔτε τούτοις συνεῖναι, ἀλλὰ τοὺς ἐπιβουλεύοντας· πρὸς Ἀλέξανδρον πυθόμενον εἰ βούλεται αὐτοῦ τὴν πατρίδα ἀνορθωθῆναι, ἔφη, καὶ τί δεῖ; πάλιν γὰρ ἴσως Ἀλέξανδρος ἄλλος αὐτὴν κατασκάψει.

Ζήνωνος τοῦ Κιττιέως. Χρηστηριαζομένου αὐτοῦ τί πράττων ἄριστα βιώσεται, ἀπεκρίνατο ὁ θεὸς, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς. ὅθεν ξυνεὶς, τὰ τῶν ἀρχαίων ἀνέγνω. Πορφύραν ἐμπεπορευμένος ἀπὸ τῆς Φοινίκης πρὸς τῷ Πειραιεῖ ἐναυάγησεν. εὐθύμως δ' εἶπε, νῦν εὐπλόηκα ὅτε νεναυάγηκα. ἄλλοι δ' εἰπεῖν αὐτὸν λέγουσιν, εὖγε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ. Ἀρίστωνος τοῦ μαθητοῦ πολλὰ διαλεγομένου οὐκ εὐφυῶς, ἔνια δὲ καὶ προπετῶς καὶ θρασέως, ἀδύνατον εἶπεν, εἰ μήπω σε ὁ πατὴρ μεθύων ἐγέννησεν. Εἰπόντος τινὸς ὅτι μικρὰ αὐτῷ δοκεῖ τὰ λογάρια τῶν φιλοσόφων, λέγεις, εἶπε, τἀληθῆ· δεῖ μέντοι καὶ τὰς συλλαβὰς αὐτῶν βραχείας εἶναι, εἰ δυνατόν. Ἔλεγε δὲ μηδενὸς ἡμᾶς οὕτως εἶναι ἐνδεεῖς ὡς χρόνου. Ἐρωτηθεὶς τί ἐστι φίλος, ἄλλος ἐγὼ, ἔφη. Δοῦλον ἐπὶ κλοπῇ ἐμαστίγου· τοῦ δ' εἰπόντος, εἵμαρτό μοι κλέψαι, καὶ δαρῆναι, ἔφη. Πρὸς τὸ φλυαροῦν μειράκιον διὰ τοῦτο εἶπε δύο ὦτα ἔχομεν, στόμα δ' ἓν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν. Ἐρωτηθεὶς πῶς ἔχει πρὸς λοιδορίαν, καθάπερ εἶπεν εἰ πρεσβευτὴς ἀναπόκριτος ἀποστέλλοιτο. Ἕλκοντος αὐτὸν Κράτητος τοῦ ἱματίου ἀπὸ Στίλπωνος, εἶπεν, ὦ Κράτης, λαβὴ φιλοσόφων ἐστὶν ἐπιδέξιος ἡ διὰ τῶν ὤτων· πείσας οὖν ἕλκε τούτων· εἰ δέ με βιάζῃ, τὸ μὲν σῶμα παρὰ σοὶ ἔσται, ἡ δὲ ψυχὴ παρὰ Στίλπωνι.

Κλεάνθους Ἀσσίου. Σκωπτόμενος ὑπὸ τῶν συμμαθητῶν ἠνείχετο, καὶ ὄνος ἀκούων προσεδέχετο, λέγων αὐτὸς μόνος δύνασθαι βαστάζειν τὸ Ζήνωνος φορτίον. Ὀνειδιζόμενός ποτε

ὡς

ὡς δειλὸς, διὰ τοῦτο εἶπεν ὀλίγα ἁμαρτάνω· Πολλάκις καὶ ἑαυτῷ ἐπέπληττεν· ὃν ἀκούσας Ἀρίστων, τίνι ἔφη ἐπιπλήττεις; καὶ ὃς γελάσας, πρεσβύτῃ, ἔφη, πολιὰς μὲν ἔχοντι, νοῦν δὲ μή. Μειρακίῳ τινὶ διαλεγόμενος, ἐπύθετο, εἰ αἰσθάνεται· τοῦ δὲ ἐπινεύσαντος, διατί οὖν εἶπεν, ἐγὼ οὐκ αἰσθάνομαι ὅτι αἰσθάνῃ; Σωσιθέου τοῦ ποιητοῦ ἐν θεάτρῳ εἰπόντος πρὸς αὐτὸν παρόντα, οὓς ἡ Κλεάνθους μωρία βοηλατεῖ, ἔμεινεν ἐπὶ ταὐτοῦ σχήματος· ἐφ' ᾧ ἀγασθέντες οἱ ἀκροαταὶ, τὸν μὲν ἐκρότησαν, τὸν δὲ Σωσίθεον ἐξέβαλον. μεταγινώσκοντα δὲ αὐτὸν ἐπὶ τῇ λοιδορίᾳ αὐτοῦ, προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δὲ ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν. Πρὸς τὸν μονήρη καὶ ἑαυτῷ λαλοῦντα, οὐ φαύλῳ ἔφη ἀνθρώπῳ λαλεῖς.

Βίωνος Βορυσθενίτου. Ἐρωτηθεὶς ποτε τίς μᾶλλον ἀγωνιᾷ, ἔφη, ὁ τὰ μέγιστα βουλόμενος εὐημερεῖν. Τὴν δόξαν ἔλεγεν ἐτῶν μητέρα εἶναι, τὸ κάλλος ἀλλότριον ἀγαθὸν, τὸν πλοῦτον νεῦρα πραγμάτων. Πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, τὸν μὲν Ἀμφιάραον, ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. Ἔλεγε μέγα κακὸν εἶναι τὸ μὴ δύνασθαι φέρειν κακόν. πρὸς τὸν ἀδολέσχην λιπαροῦντα συλλαβέσθαι αὐτῷ, τὸ ἱκανόν σοι ποιήσω, ἔφη, ἐὰν παρακλήτους πέμψῃς, καὶ αὐτὸς μὴ ἔλθῃς. Πλέων μετὰ πονηρῶν λῃσταῖς περιέπεσε. τῶν δὲ συνεπιβατῶν ἀπολώλαμεν εἰπόντων, ἐὰν γνωσθῶμεν, ἐγὼ δὲ, ἔφη, ἐὰν μὴ γνωσθῶμεν. Πρὸς πλούσιον μικρολόγον, οὐχ οὗτος, ἔφη, τὴν οὐσίαν κέκτηται, ἀλλ' ἡ οὐσία τοῦτον. Ἔλεγε τοὺς μικρολόγους τῶν μὲν ὑπαρχόντων ὡς ἰδίων ἐπιμελεῖσθαι, ὡς δὲ ἐξ ἀλλοτρίων μηδὲν ὠφελεῖσθαι. Πρὸς τὸν βάσκανον ἐσκυθρωπακότα οὐκ οἶδα ἔφη πότερόν σοι κακὸν γέγονεν, ἢ ἄλλῳ ἀγαθόν. Τοὺς φίλους ὁποῖοι ἂν ὦσι συντηρεῖν συνεβούλευεν, ἵνα μὴ δοκοίημεν πονηροῖς κεχρῆσθαι, ἢ χρηστοὺς παρῃτῆσθαι.

Αν-

Δημώνακτος. Τῶν ἄλλων ἐξεταζόντων, εἰ ὁ κόσμος ἔμψυχος, καὶ αὖθις εἰ σφαιροειδὴς, ὑμεῖς, εἶπε, περὶ τοῦ κόσμου πολυπραγμονεῖτε, περὶ δὲ τῆς αὐτῶν ἀκοσμίας οὐ φροντίζετε. Τοσοῦτον ἔλεγεν εἰς ἀρετὴν προσθήσεις, ὅσον ἂν ἀφέλῃς τῶν ἡδονῶν· Ὁ αὐτὸς ὠνείδιζε τοὺς τῶν σωμάτων ἐπιμελουμένους, ἑαυτῶν δὲ ἀμελοῦντας, ὡς τῶν μὲν οἴκων ἐπιμελουμένους, τῶν δὲ ἐνοίκων ἀμελοῦντας· Καταιτιωμένου τινὸς τῶν ἑταίρων αὐτοῦ, καὶ φήσαντος, οὐκ ἐχρῆν σε τῷ ἐχθρῷ μου φίλον εἶναι, σὲ μὲν οὖν ἔφη, οὐκ ἐχρῆν τῷ φίλῳ μου ἐχθρὸν εἶναι.

Δημοκρίτου. Ἀνδρεῖος (ἔλεγεν) οὐ μόνον ὁ τῶν πολεμίων κρατῶν, ἀλλὰ καὶ ὁ τῶν ἡδονῶν κρείσσων. Αἱ μικραὶ χάριτες, ἔφασκεν, ἐν καιρῷ μέγισται εἰσὶ τοῖς λαμβάνουσι ταύτας ἐν περιστάσει. Μικρὰ διδόναι βούλου μᾶλλον, ἢ μεγάλα ἐγγυᾶν· ὅ, τε γὰρ κίνδυνος ἄπεστι, καὶ ὁ λαβὼν ἔργου οὐ λόγου χρείαν ἔχει· Ὧ τινι τὴν χάριν κατατίθης, θᾶττον τὴν χάριν δίδου· ἡ γὰρ βραδυτὴς λυμαίνεται τὴν δόσιν. Ἰδὼν τινὰ προχείρως πᾶσι χαριζόμενον, καὶ ἀνεξετάστως ὑπηρετούμενον, κακῶς ἀπόλοιο, ἔφη· τὰς χάριτας παρθένους οὔσας πόρνας ἐποίησας. πονηρὰ φύσις (ἔλεγεν) ἐξουσίας ἐπιλαμβανομένη δημοσίας ἀπεργάζεται συμφοράς. Ὁ αὐτὸς εἶπε. δισωεκὴς ἐπὶ πᾶσιν ἀνθρώποις ἡ τοῦ πλούτου ἐπιθυμία· μὴ κτηθεῖσα μὲν γὰρ τρύχει, κτηθεῖσα δὲ βασανίζει ταῖς φροντίσιν, ἀποκτηθεῖσα δὲ ταῖς λύπαις. Οὐχ ὁ πλουτῶν, ἔλεγεν, ἀλλ᾽ ὁ μὴ χρήζων πλούτου, μακάριος· Ἐρωτηθεὶς πῶς ἄν τις γένοιτο πλούσιος, ἔφη, ἐὰν τῶν ἐπιθυμιῶν ἔσαι πένης. Ἐν μὲν τοῖς ἐσόπτροις ἔλεγεν ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται. Τῆς παιδείας ὥσπερ χρυσοῦ, τὸ καλὸν ἐν παντὶ τόπῳ τίμιον· Παῖδας μὲν ὄντας ἡμᾶς, ἔλεγεν, οἱ γονεῖς παιδαγωγῷ παρέδοσαν ἐπιβλέποντι πανταχῇ πρὸς τὸ μὴ βλάπτεσθαι· ἄνδρας δὲ γενομένους ὁ θεὸς παραδίδωσι τῇ ἐμφύτῳ συνειδήσει φυλάττειν·

ταύτης σὺν τῆς φυλακῆς μηδαμῶς καταφρονητέον, ἐπεὶ καὶ τῷ θεῷ ἀπαρέσκει, καὶ τῷ ἰδίῳ συνειδότι ὑπεύθυνοι καθιστάμεθα.

Ἀνάξαρχος Ἀβδηρίτης ἐχθρὸν εἶχε Νικοκρέοντα τὸν Κύπρου τύραννον. Καί ποτε ἐν συμποσίῳ τοῦ Ἀλεξάνδρου τοῦ μεγάλου ἐρωτήσαντος αὐτὸν, τί ἄρα δοκεῖ τὸ δεῖπνον, ἔφη, ὦ βασιλεῦ, πάντα πολυτελῶς. ἔδει δὲ λοιπὸν κεφαλὴν σατράπου τινὸς παρατεθεῖσθαι, ἀποῤῥίπτων πρὸς τὸν Νικοκρέοντα. ὁ δὲ μνησικακήσας, μετὰ τὴν τελευτὴν τοῦ Ἀλεξάνδρου, ὅτε πλέων ἀκουσίως προσηνέχθη τῇ Κύπρῳ ὁ Ἀνάξαρχος, συλλαβὼν αὐτὸν καὶ εἰς ὅλμον βαλὼν, ἐκέλευσε σιδηροῖς ὑπέροις τύπτεσθαι. ὁ δὲ οὐ φροντίσας τῆς τιμωρίας εἶπεν ἐκεῖνο δὴ τὸ περιφερόμενον, πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον γὰρ οὐ πτίξεις.

Αἴσωπος ὁ μυθοποιὸς δύο πήρας ἕκαστον ἡμῶν ἔχειν ἔλεγε, τὴν μὲν ἔμπροσθεν, τὴν δὲ ὄπισθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν. Ὀνειδιζόμενος ὅτι χαλεπὴν ἔχει τὴν ὄψιν, ἔφη, μὴ μοῦ εἰς τὸ εἶδος, ἀλλ' εἰς τὸν νοῦν δεῖ προσέχειν.

Ἀνακρέων ὁ μελοποιὸς λαβὼν τάλαντον χρυσίου παρὰ Πολυκράτους τοῦ τυράννου, τῇ ὑστεραίᾳ ἀπέδωκεν, εἰπὼν, μισῶ δωρεὰν, ἥτις ἀναγκάζει ἀγρυπνεῖν.

Σιμωνίδου. Ἔλεγε τὴν μὲν ζωγραφίαν ποίησιν σιωπῶσαν, τὴν δὲ ποίησιν ζωγραφίαν λαλοῦσαν. Ἔλεγε μηδέποτε αὐτῷ μεταμελῆσαι σιγήσαντι, φθεγξαμένῳ δὲ πολλάκις· Ἐρωτηθεὶς πότερον αἱρετώτερον, πλοῦτος, ἢ σοφία, οὐκ οἶδα, ἔφη· ὁρῶ γὰρ τοὺς σοφοὺς ἐπὶ τὰς τῶν πλουσίων θύρας φοιτῶντας. Ἐρωτηθεὶς διατί ἐσχάτου γήρως ὢν φιλάργυρος εἴη, ὅτι εἶπε βουλοίμην ἂν ἀποθανὼν τοῖς ἐχθροῖς μᾶλλον ἀπολιπεῖν, ἢ ζῶν δεῖσθαι τῶν φίλων.

Γοργίας Ἐρωτηθεὶς ποίᾳ διαίτῃ χρώμενος εἰς μακρὸν γῆ-

ρας

ρας ἦλθεν, ὁ δ᾽ οὐδέποτε ἔφη πρὸς ἡδονὴν οὔτε φαγὼν, οὔτε δράσας. Ἐμπεδοκλῆς ἐρωτηθεὶς διατί σφόδρα ἀγανακτεῖ κακῶς ἀκούων, ἔφη, ὅτι οὐδὲ ἐπαινούμενος αἰσθήσομαι, εἰ μὴ κακῶς ἀκούων ἀχθήσομαι. Οἰνοπίδης ὁρῶν μειράκιον πολλὰ βιβλία κτώμενον, ἔφη, μὴ τῇ κιβωτῷ, ἀλλὰ τῷ στήθει.


Ἰσοκράτους. Οὗτος κάκιστον ἄρχοντα ἔλεγεν εἶναι, τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον. Ἐρωτηθεὶς διὰ ποίαν αἰτίαν τοὺς ἄλλους διδάσκων λέγειν, αὐτὸς σιωπᾷ, ἔφη, καὶ γὰρ ἡ ἀκόνη αὐτὴ μὲν οὐ τέμνει, τὰ δὲ ξίφη ὀξέα ποιεῖ. Ἰδὼν νεανίαν φιλοπονοῦντα, ἔφη, κάλλιστον ὄψον τῷ γήρατι ἀρτύεις.

Καρέωνος ὄντος λάλου καὶ σχολάζειν παρ᾽ αὐτῷ βουλομένου, διττοὺς ᾔτησε μισθούς. τοῦ δὲ τὴν αἰτίαν πυθομένου, ἕνα μὲν ἔφη, ἵνα λαλεῖν μάθῃς, τὸν δὲ ἕτερον, ἵνα σιγᾷν. Ἐρομένου τινὸς αὐτὸν τί ἐστὶ ῥητορικὴ, εἶπε τὰ μὲν μικρὰ μεγάλα, τὰ δὲ μεγάλα μικρὰ ποιεῖν. Ἑστιώμενος δέ ποτε παρὰ Νικοκρέοντι τῷ Κύπρου τυράννῳ, προτρεπομένων αὐτὸν τῶν παρόντων διαλεχθῆναι, ἔφη, οἷς μὲν ἐγὼ δεινὸς οὐχ ὁ νῦν καιρός· οἷς δὲ ὁ νῦν καιρὸς, οὐκ ἐγὼ δεινός. Σοφοκλέα δὲ θεασάμενος ἑπόμενον ἐρωτικῶς παιδὶ εἶπεν, οὐ μόνον δεῖ, Σοφόκλεις, τὰς χεῖρας ἔχειν παρ᾽ αὐτῷ, ἀλλὰ καὶ τοὺς ὀφθαλμούς.

Δημοσθένους. Ἐν συμποσίῳ πρὸς τὸν λαλοῦντα πολλὰ, εἰ τοσαῦτα ἔφη ἐφρόνεις, οὐκ ἂν τοσαῦτα ἐλάλεις. Ἐρωτηθεὶς τί ἄνθρωπος ἔχει ὅμοιον θεῷ, ἔφη, τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. Θεασάμενός τινα ἐκφερόμενον φιλάργυρον, ἔφη, οὗτος βίον ἀβίωτον βιώσας ἑτέροις βίον κατέλιπε. Θεασάμενος τινὰ δημαγωγὸν ἀφυῆ μέγα βοῶντα, ἔφη, ἀλλ᾽ οὐ τὸ μέγα εὖ ἐστὶ, τὸ δὲ εὖ μέγα. Πρὸς Πυθέα σκώπτοντα αὐτὸν, καὶ τοὺς λόγους αὐτοῦ λύχνον ἀπόζειν λέγοντα, ἀστείως ἅμα καὶ πικρῶς οἶδα εἶπεν, ὅτι

σοὶ

σε λυπῶ λύχνον καίων. διαβέβλητο γὰρ ὁ Πυθέας ὡς λωποδύτης νύκτωρ. Ὁ αὐτὸς ἔφη· δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν· Δίκαιον εἶναι ἔλεγεν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας. Ὁ αὐτὸς ἔλεγεν, ἡ μάχαιρα μὲν τέμνει, ἡ δὲ διαβολὴ χωρίζει φίλους. Ὁ αὐτὸς λέγοντος αὐτῷ τινός, ὅτι τοῦ ἀγροῦ ἀμελεῖς, ἑαυτοῦ δὲ σχολάζεις, εἶπε, τούτου ἐπιμελοῦμαι, δι᾽ ὃ καὶ τὸν ἀγρὸν ἐκτησάμην. Πρεσβεύοντος ποτὲ ὑπὲρ Ἀθηναίων πρὸς Φίλιππον καὶ παρρησίᾳ διαλεγομένου, ὁ Φίλιππος οὐ φοβῇ, μὴ τὴν κεφαλήν σου ἔφη προστάξω ἀφαιρεθῆναι; οὐκ ἔφη· ἐὰν γὰρ σύ μου ταύτην ἀφέλῃς, ἡ πάτρις μοι αὐτὴν ἀθάνατον ἀναθήσει. Πόλεως ψυχὴν τοὺς νόμους ὠνόμαζεν· ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις μὴ ὄντων νόμων καταλύεται. Λαΐδος δὲ τῆς ἑταίρας χιλίας δραχμὰς ἀπαιτούσης αὐτόν, εἰ βούλοιτο συγγενέσθαι αὐτῇ, οὐ πρίαμαι ἔφη τὸ μεταμέλεσθαι χιλίων δραχμῶν.






ΝΙΚΗΦΟΡΟΥ

ΤΟΥ ΒΑΣΙΛΑΚΗ

Μῦθοι, Διηγήματα, καὶ Ἠθοποιΐαι.

ΜΥΘΟΙ.

Λέοντος, καὶ Ταύρου.



Λέων ποτὲ Ταῦρον ὁρᾷ. καὶ τροφῆς μὲν ἐρᾷ, τὰς δὲ τῶν κεράτων δεδίττεται προσβολάς· καὶ τὸ φάρμακον εὑρὼν, οὐ θεραπεύει τὸ πάθος. νικᾷ μὲν αὐτὸν ὁ λιμὸς, καὶ τῷ Ταύρῳ κελεύει συμπλέκεσθαι, ἀλλ' ἐκφοβεῖ τῶν κεράτων τὸ μέγεθος· τέλος πείθεται τῷ λιμῷ, καὶ φιλίαν πλασάμενος, εἰς ἀπάτην τὸν Ταῦρον ὑπέρχεται· ὅπου γὰρ τὸ κακὸν πρόχειρον, καὶ τὸ ἀνδρεῖον πεφόβηται· κἂν ἴδοι τὸ βίᾳ κρατεῖν οὐκ ἀκίνδυνον, τὸ λάθρα σοφίζεται. ἐγὼ γοῦν φησιν, ἐπαινῶ σου τὸ καρτερὸν, ὑπεράγαμαι τὸ κάλλος. ὁποῖος μὲν εἶ τὴν κεφαλήν. ὁποῖος δὲ τὴν μορφήν. ὅσος δὲ τοὺς πόδας. ὅσος δὲ τὰς ὁπλάς. ἀλλ' ὅσον ἐπὶ τῆς κεφαλῆς φέρεις τὸ ἄχθος. περιέλε γοῦν οὕτω ματαίαν ἐπιπλοκήν. καίσοι καὶ κόσμος ἔσται τῆς κεφαλῆς,

φαλῆς, ϗ βάρυς ἀπαλλαγὴ, ϗ πρὸς τὸ κρεῖττον μεταβολή. τί δὲ ϗ δεῖ σοι κεράτων, εἰρήνης ὄσης πρὸς Λέοντα. πείθεται τούτοις ὁ Ταῦρος. καὶ τὴν ἐκ τῶν ὅπλων ἰσχὺν ἀποβαλὼν, τῷ Λέοντι λοιπὸν δυσχείρωτος ἦν, καὶ δεῖπνον ἀκίνδυνον.

Οὕτω τὸ πείθεσθαι τοῖς ἐχθροῖς μετὰ τῆς ἀπάτης φέρει τὸν κίνδυνον.

Ἵππου, ϗ Ἐλάφου β'.

ἮΝ ὅτε ϗ ὁ Ἵππος ἀχείρωτος ἦν. ϗ πρὶν ἢ τοῖς ἀνθρώποις εἰς χεῖρας ἐλθεῖν, κατὰ λειμῶνος ἐκρόαινε, καὶ τρυφὴν ἐποιεῖτο τὸ ἐλεύθερον. καλὸν μὲν ἦν αὐτῷ ϗ τὸ ἄνετον, οὐ σμικρὸν εἰς ὁμοιείαν, ϗ τὸ χαλινοῦ διάγειν ἔξω τε ϗ μύωπος. ἀλλ' ἦν ἄρα καὶ τοῦτο τῆς τύχης οὐδὲν ἧττον τὸ φιλοτίμημα. ἄλσος ἀνθηρὸν ἐπὶ πεδιάδος ἐφηπλωμένον. αχλοή τις εἴς τε ποδῶν ἀγωνίαν, ϗ τάχους φιλοτιμίαν οὐκ ἀχήεις, ϗ πρὸς τροφὴν οὐκ ἀνέρασος. κατέρρει τὸ ἄλσος ϗ πηγή τις, ὡς μὲν ὀφθῆναι καλὴ, ὡς δὲ ἡδεῖα πιεῖν. ἡ δὲ τὸ χλοάζον ἐχορήγει τοῖς ἄνθεσι, ϗ τῷ ἵππῳ τὴν κόμην ἐκάθαιρεν. ἐπὶ τούτοις ὧν τοῖς καλοῖς ὁ Ἵππος ἔχαιρεν, οὐδὲ γὰρ ἐνέδει πῶν, ὁπόσα ϗ τρυφᾶν ἵπποι νομίζονται, ἀλλ' εἶδε ταῦτα Ἔλαφος, ϗ τοῖς τοῦ Ἵππου καλοῖς ὀφθαλμὸν ἐπέβαλε βάσκανον, ϗ ξένοις ἀγαθοῖς ἐφυβρίζειν οὐκ ἐπηχύνετο. τί μὲν τῆς λόχμης τοῖς κέρασιν οὐκ ἀνώρυττε; τί δὲ ἀνθέων τοῖς ποσὶν οὐ κατέκλα; τί δὲ μὴ ξυνεθόλου τῆς πηγῆς, ὡς ἐφ' ὕβρει, τὸ φθόνῳ τῶν Ἵππου καλῶν ἀφειδῶς ἐπιτρέχουσα; ἐντεῦθεν ἀλγεῖ μὲν ὁ Ἵππος, ϗ περισκοπεῖται τὴν ἄμυναν. ἀλλ' οὐκ εἶχεν ὅ, τι καὶ χρήσαιτο. ὡς οὖν ἐπέγνω κρεῖττον τῆς αὐτοῦ σοφίας τὸ κακὸν, ὁρᾷ τινα παριόντα τὸ ἄλσος. διηγεῖται τῆς ἐλάφου τὸ βάσκανον. ϗ ὅπως ἀμυνεῖται, πυνθάνεται. ὁ δὲ, ἄνθρωπος γὰρ ἦν, ἀπάτη, καὶ δό-

δόλῳ τὸν Ἵππον μέτεισι, καὶ τὸν χαλινὸν ἐπιδείξας, Εἶγε, φησὶν, ὦ Ἵππε, τοῦτον μὲν ἐπὶ στόματος, ἐμὲ δὲ ἐπὶ νώτου φέρειν ἀνέξῃ μικρὸν, ἐγώ σοι δι᾽ ὀλίγου τὴν ἔχθραν ἀμυνοῦμαι, ἤκουσεν ὁ Ἵππος ταῦτα, καὶ πείθεται. καὶ τὸ ἐντεῦθεν ἡ μὲν Ἔλαφος ἀπηλαύνετο τοῦ ἄλσους, ὁ δὲ Ἵππος ἐπὶ φάτνης εἱστήκει, μετὰ χλόης, καὶ τῆς πηγῆς προσαφαιρεθεὶς καὶ τὸ ἄνετον. Φυλακτέον ἄρα καὶ τὸ ἐλευθέριον, καὶ παῤῥησίαν οὐ προδοτέον φρονήματος, εἴγε μέλλοι τις δουλεύειν οὐδὲν ἧττον ἤπερ Ἵππος χαλιναγωγούμενος.

Ὁ μῦθος αὐτὸς ἐστὶ μὲν Αἰσώπειος, τὴν δὲ μελέτην ἐκ τῶν Ἑρμογένους προγυμνασματικῶν μεθόδων ἠρανίσατο, πλατύτερον ἐξειργασμένος, ὡς ἐκεῖνος μεθοδεύει ἐν τοῖς περὶ Μύθου.

Λέοντος καὶ Κόρης γ΄.

Ἡλίσκετο ποτὲ καὶ Λέων ὑπὸ κάλλους, καὶ Κόρης ἐρᾷ. καὶ δὴ πρόσεισι τῷ πατρὶ, καὶ λόγους πρὸς γάμον ξυνάπτει. Θηρῶν μὲν ἄρχω, φησίν. ἄνδρας δὲ οὐδ᾽ ἂν τὴν ἀρχὴν περιέσαιμι. ἐγὼ καὶ λαγωὸν ὑπὸ τάχους εἷλον, καὶ κύνας ἐφόβησα. ἐγὼ καὶ ταῦρον ἐπέσχον μυκώμενον, καὶ Ἵππον κατέσχον μικροῦ τοῖς ποσὶν ἱπτάμενον. ἔχεις ἕδνα τῆς Κόρης, τὴν ῥώμην, τὸ κάλλος, τὸ τάχος, τὰς ὁσημέραι θήρας. ταῦτα πλουτήσεις, ταῦτα εὐδαιμονήσεις, εἰ μόνον κηδεστὴς ἐθελήσεις ἀκοῦσαι Λέοντος. ὁ δὲ, οἷς μὲν ἐδεδίττετο, τοὺς λόγους προσίεται, καὶ τὸν γάμον οὐκ ἀνένευσε μὲν, ἀνεβάλλετο δέ. οἷς δ᾽ ἀπηχθάνετο, τοῦ θηρὸς περιελεῖν τὰ ὅπλα σοφίζεται. Ἀλλ᾽ ἐγὼ μὲν, φησὶν ὁ πατὴρ, καὶ τοῦ κάλλους ἄγαμαι, καὶ τῆς ῥώμης ἀποθαυμάζω, καὶ ὡς ἕδνα ταῦτα δέχομαι, καὶ τὸν νυμφίον εἰς οὐδὲν ὅτι καὶ μέμφομαι. ἀλλ᾽ ἡ Κόρη παῖς ἐστὶν ἁπαλὴ, καὶ τὸ ὅλον γυνὴ, καὶ πεφόβηται. ἂν ἴδῃ τὰς τῶν ὀδόντων ἀκμὰς, πέφρικεν. ἂν ἴδῃ τοὺς ὄνυχας, οὐκ ἀνέχεται. ὀξεῖς γάρ εἰσι.

συνεχεῖς εἰσι. φοβοῦσι ἐ μόνον φαινόμενοι. καὶ ταῦτα καὶ τὸ σὸν χαροπὸν ἀγλαΐνουσι. ταῦτα καὶ τὴν Κόρην δειλαίνουσι, καὶ τὸν γάμον ἀπείργουσιν. ἂν σὺ τοὺς ὄνυχας ἐξέλῃς, καὶ ἡ Κόρη συνεξελεῖ τῆς ψυχῆς τὸ φοβούμενον. ἂν καὶ σὺ τοὺς ὀδόντας ἐκκόψῃς, κἀκείνη συγκόψει τὸ δέος. αὐτός μοι μόνον τὸ δέος περίελε, καὶ περίσωζε τὸ χαροπὸν ἀκραιφνές, καὶ τάχα σε καὶ ἡ Κόρη οὐκ ἐκφοβίζεται. Ταῦτα ὁ μὲν εἰς ἐπιβουλὴν, καὶ δόλον ἔλεγεν. ὁ δ' ἀβασανίστως ἐδέχετο. τυφλὸς γὰρ ἅπας ἐρῶν, ἐ ἀπροβούλευτος. ἐντεῦθεν ὁ μὲν τὴν τῆς φύσεως πανοπλίαν ἀποδύεται. ὁ δὲ τῆς Κόρης πατὴρ ἐπιπηδᾷ τῷ δῆθεν νυμφίῳ θρασύτερον, καταγελῶν τῆς ἀσθενείας ἅμα, καὶ τῆς ἀνοίας, ὃν οὐδὲ προσβλέπειν ἐθάρρει τὸ πρότερον. Μὴ πείθου πᾶν τοῖς ἐχθροῖς ἑτοιμότερον, μὴ καὶ γένῃ τούτοις εὐάλωτος, οἷς τὸ πρὶν ἐδόκεις ἀνάλωτος.


Λύκου καὶ Ποιμένος δ'.

Ὁ ἐπείσακτος κόσμος ἐπικίνδυνος τοῖς χρωμένοις ἐστίν.


Ἔδοξε ποτὲ τῷ Λύκῳ τὴν φύσιν τῷ σχήματι μεταλλάξασθαι, ὡς ἂν οὕτως ἀφθονίαν ἕξει τροφῆς. καὶ δορὰν οἰὸς περιβεβλημένος μετὰ τῆς ποίμνης ἐνέμετο, τὸν Ποιμένα φενακίσας τῷ μηχανήματι. νυκτὸς δὲ γενομένης συναπεκλείσθη ἐ ὁ θὴρ παρὰ τοῦ Ποιμένος τῇ μάνδρᾳ, καὶ φραγμὸς τῇ εἰσόδῳ περιετέθη, καὶ ἀτεχνῶς ὁ περίβολος κατησφάλιστο. ὡς δὲ ὁ Ποιμὴν ἠράσθη τροφῆς, μαχαίρᾳ τὸν Λύκον ἀπέκτεινεν. Οὕτως ἄρα ὁ τὸν ἐπείσακτον κόσμον ὑποκριθεὶς, τῆς ζωῆς πολλάκις ἐστέρηται. καὶ τὴν σκηνὴν εὗρε παραιτίαν μεγάλου συμπτώματος.

Κολοιῦ ϗ Ορνίθων ε.

Ἔδοξέ ποτε τοῖς Ὄρνισιν ἄρχεσθαι, ἵν' οὕτως ἀσφαλεστέραν ἕξουσι τὴν ζωὴν, καὶ ἀνεπιβούλευτον, καὶ βασιλέα ἐλέσθαι τῶν ἄλλων Ορνίθων τῷ κάλλει προέχοντα. ὡς δὲ καὶ ἡ ψῆφος ἐπεκυρώθη, καὶ ἐνεζητεῖτο, τίς ἄρα καὶ εἴη ὁ τὸ κράτος τῆς βασιλείας ἀναδησόμενος, ὑποκριθῆναι κάλλος ἀλλότριον τὸ εἰδεχθέστατον ζῶον, καὶ ἀκαλλὲς, καὶ φαυλότατον ὁ Κολοιὸς ἐτεχνάσατο. καὶ συναγαγὼν Ορνίθων πτερὰ, οἷς τὸ φαιδρὸν ἐπῆν, καὶ τὸ ἐξαυγὲς ἐναπέστιλβε, περιεβάλλετο ταῦτα, καὶ περικαλλὴς ἐντεῦθεν ἐδόκει, ϗ καταστράπτων τῇ ὡραιότητι. μέσον δὲ τῶν Ορνίθων περιϊπτάμενος, καὶ ταῖς ποικίλαις χροιαῖς, καὶ λαμπραῖς κάλλος ἔχων ἀμήχανον, εἰς θάμβος τοὺς θεωμένους Ὄρνιθας παρεκίνησεν. ὅθεν βασιλεὺς ἀναγορεύεται. καὶ πάντες τούτῳ κατεδουλώθησαν. ὡς δὲ περιεργότερον τὰς ὄψεις τούτῳ προσέβαλον, καὶ τὸ οἰκεῖον ἕκαστος ἀνεγνώρισεν, τὸν Κολοιὸν ἀπεγύμνωσαν. καὶ καταδρύψαντες τοῦτον τοῖς ὄνυξι διεσπάραξαν, καὶ ἐλεεινὸν πτῶμα κεῖσθαι τὸν πρὶν μακάριον παρεσκεύασαν. Τὸν αὐτὸν ἄρα τρόπον ϗ ὅσοι περιάπτοις κόσμοις ὑπεκρίθησαν τὸ ἐξαίρετον ἔχειν, καὶ τὸ μακάριον, τῆς σκηνῆς φωραθείσης, μετὰ γέλωτος, καὶ τὴν ψυχὴν αὐτὴν προσαπώλεσαν.



ΔΙΗ-



ΔΙΗΓΗ'ΜΑΤΑ.

Τὸ κατὰ τὸν Α᾿χιλλέα ά.

ΑΠόλεμον ἐποίει Πηλέα τὸ γῆρας, ϗ τὸν Α᾿χιλλέα νεότης αὐθώπλιζε. ϗ ἡ Ε᾿λλὰς ἀφεῖντες τὸν πατέρα, ἐπὶ συμμαχίαν ἐκάλȣν τ͂ παῖδα. ἀλλ᾿ ἡ μήτηρ ἐδεδίει τὸ Ι῎λιον, ϗ τὸ μήτηρ εἶναι τοῖς Α᾿πόλλωνος βέλεσιν ἀποβαλεῖν ἐμαντεύετο. ȣ̓κοιῦ ἐπινοεῖται τὶ σοφώτερον, καὶ τὰς Ε῞λλίωας παρακρȣ́εται. ἁρπάζει τῆς Φθίας τὸν παῖδα. ἐξάγει τοῦ Πηλίȣ, ϗ πρὸς τὸν Λυκομήδȣς παρθενῶνα μετάγει. σιωήρατο τῇ Θεῷ τȣ͂ σοφίσματος, ϗ τὸ τῆς μορφῆς τȣ͂ παιδὸς ἐπαφρόδιτον, ὅλȣς ἀπαςράπτον ἔρωτας, καὶ παλαιᾶς κόραις ἁμιλλᾶσθαι διωάμενον. μεταλλάτει καὶ τὸ τῆς ςολῆς ἀνδρεῖον, ϗ ὅσον τȣ͂ κάλλȣς ἀῤῥενωπότερον εἰς ὥραν ἁπαλίω μεθηρμόσατο. ȣ̔́τω τὸν μέγαν Η῞ρωα τȣ͂τον ϗ βραχὺς περικρύπτει θάλαμος. ϗ ὃν ἐσύςερον ὅλον πεδίον ȣ̓κ ἐχώρει, τὸ μέγα τῆς Εὐρώπης, ϗ Α᾿σίας μεταίχμιον, ὁ τȣ͂ Λυκομήδȣς τίωικαῦτα παρθενὼν ὑποδέχεται. ἀλλ᾿ Ο᾿δυσσεὺς, ϗ πρὶν ἥκειν εἰς Τροίαν, τοῖς Ε῞λλησι τὸ σοφὸν ὑπεδείξατο. ϗ δόλιος ὢν τῆς Θεȣ͂ τὸν δόλον ȣ̓κ ἠγνόησεν, ὅπλα, ϗ κερκίδας λαβὼν περίπȣ τὸν παρθενῶνα τίθησιν, ἑκατέρῳ γένει δέλεαρ ἐπιτεχνώμενος ȣ̓κ ἀλλότριον, ἵνα ϗ ταῖς κερκίσι τὰς κόρας ὑπάγοιτο, καὶ τοῖς ὅπλοις τ͂ ἄνδρα θηρεύσαιτο. ὁρᾷ τίω Ο᾿δυσσέως μηχανίω Α᾿χιλλεὺς, ȣ̓ μίω ὅ, τι ϗ βȣ́λεται ξιωορᾷ. ἅμα ἐπὶ τίω πανοπλίαν ἀνέβλεψε, ϗ τίω ἐκεῖθεν ἐξαλλομένίω ἀςραπίω, ϗ ὅλος ὑπεκκαίεται τῷ πυρὶ τȣ͂ θυμȣ͂. ἀναμιμνήσκεται τȣ͂ πολέμȣ. τȣ͂ παρθενῶνος

 ἐπι-

ἐπιλανθάνεται. εἰς νοῦν λαμβάνει τὴν φύσιν. ἀναλαμβάνει τὸ ἀνδρεῖον. αἰσχύνεται τὴν παρθενικὴν στολήν. ἀποτίθεται τὸ δρᾶμα, καὶ τὴν σκηνήν. καὶ τὸ τῆς παρθένου προσωπεῖον ἀποδυσάμενος, ἁρπάζει τὰ ὅπλα, καὶ γίγνεται θήραμα καλὸν Ὀδυσσεῖ, καὶ τὴν ἐπὶ τὸ Ἴλιον στέλλεται, μέγας μὲν τοῖς Ἕλλησι ξύμμαχος, δεινὸς δὲ τοῖς πολεμίοις ἀντίμαχος. οὕτω τὸν Πηλέως γυναικείαν φύσιν πλαττόμενον ἀπήλεγξεν Ὀδυσσεύς, ὡς ἐκεῖνον Παλαμήδης πρότερον μανίαν σχηματιζόμενον. καὶ τότε πρῶτον Ἕλληνες τῆς Ὀδυσσέως σοφίας ἀπώναντο, οὐχ ἧττον δὲ ἢ ὅτε τὸ Παλλάδιον ἐκ μέσης Τροίας ἀφείλετο.

Διήγημα, ὃ καὶ Πλούταρχος ἐν Παραλλήλοις διηγεῖται β΄.

Ἀλλ' οὐ δὲ γυναικὸς ἐπίνοια τοὺς πάλαι διέλαθεν, ἀλλ', οἷς εἶχέ τι σοφὸν, εἰκότως θαυμάζουσι, καὶ τὸ θῆλυ τοῦ γένους φθόνον οὐ ποιοῦνται τοῦ θαύματος. ἦν γάρ τις ποτὲ βασιλεὺς τὴν κλῆσιν μὲν ἕτερος, τὴν δὲ ψυχὴν Μίδας, καὶ τὴν γνώμην φιλόχρυσος. πολλῶν μὲν ἦρχε πόλεων, ἀλλ' οὐχὶ καὶ φιλοχρηματίας ἄρχειν ἠπίστατο. ἀλλὰ τῶν μὲν ἄλλων ἐκράτει τῷ μεγέθει τῆς τύχης, μόνῳ δὲ τῷ πρὸς χρυσὸν ἐδουλεύεν ἔρωτι, καὶ τ' ἄλλα σωφρονῶν, τοῦτο μόνον, ὡς οὐκ ἔδει, νοσῶν ἀπηλέγχετο. πάντως χρυσὸς ἦν αὐτῷ τὰ ἐνύπνια. χρυσοῦ καὶ νήφων ἤρα, καὶ μὴ νήφων. χρυσὸν νυκτὸς ἐφαντάζετο. ἐντεῦθεν τί μὲν οὐκ ἔδρα τῶν ὁπόσα τὸ χρῆμα τοῦτο πορίζουσιν; ποῖος δὲ τρόπος εἰς πορισμὸν οὐκ ἐπενοεῖτο τοῦ χρήματος; φόροι δύσφοροι τοῖς ὑπηκόοις ἐπεφορτίζοντο. καὶ τὰ μὲν οἷς εἶχον ἐπέφερον, τὰ δὲ προσετίθουν ἐκ γῆς μεταλλεύοντες. τὰ μὲν τὴν περιουσίαν ἐξηντλουν, τὰ δὲ τὸ σῶμα κατέτρυχον. καὶ μυρίον εἶδος χρηματισμοῦ προσεπινοοῦντες, οὐκ ἔληγον. ἀλλ' ἦν καὶ ἡ πᾶσα σπουδὴ τοῦ κρατοῦντος ἀποπλῆσαι τὸν ἔρωτα. ὁ δὲ εἶχεν ἄρα μετὰ τοῦ φιλο-

φιλοχρύσου, καὶ τὸ φιλόθηρον. καί ποτε, καὶ πρὸς τὴν ὕλην ἔξεισι, καὶ τοὺς κύνας ἐπισυρόμενος. ἐνταῦθα ὁ μὲν ἐλάφοις ἐπέτρεχεν, καὶ λαγωοῖς ἐφιππάζετο, καὶ τὸ κυνηγετικὸν ἐπεθώυζεν. ἡ δὲ βασιλὶς ἑτέραν εἶχε σπουδὴν, ὅπως ὑφέλῃ τὸν ἄνδρα τῆς ἐς τὸ χρηματίσασθαι πανταχόθεν ὁρμῆς. καί πως ἐπιὸν οὕτω κατὰ δαίμονα, εἰς νοῦν λαμβάνει καὶ μάλα σοφῶς τι ἐνθύμιον, ὡς εἰ μηδὲν εἰς τὸ ζῆν ἐκεῖνος γνοίη τὸν φίλον χρυσὸν συμβαλλόμενον, τοῦ πάθους ἂν πάντως ἀπόσχοιτο. τὸ δὲ ἦν, ὡς ἥξει μὲν αὐτὸς μετὰ κόρον τῆς θήρας, καὶ τὴν γαστέρα κορέσων. εὑρήσει δὲ τὸ δεῖπνον ἅπαν χρυσὸν, καὶ μικρόν τι λιμώξας ἐντεῦθεν τὸ τοῦ χρυσοῦ περιττὸν καταγνώσεται. ἐδόκει δὴ ταῦτα. καὶ τὸ δοκοῦν αὐτίκα ἐπράττετο. χρυσὸς μὲν ἦν μυρίος τοῖς χρυσοχόοις ἐπὶ μέρος ἀναμετρούμενος. χεῖρες δὲ πολλαὶ διετεχνῶντο τὸ καινὸν ἐκεῖνο, καὶ χρυσοῦν ἄριστον. ἦν ἐκεῖσε καὶ χρυσήλατος τράπεζα, καὶ κρατῆρες, καὶ οἰνοχόαι, καὶ τὰ πάντα χρύσεα. καὶ ἦν ὁρᾶν ὅλον τὸ δεῖπνον χρυσὸν ἐπὶ χρυσῷ κείμενον. χρυσὸς μὲν ἦν ἡ τράπεζα, χρυσῷ δὲ καὶ τὰ κανᾶ διεσκεύαστο. ἐπὶ δὲ χρυσοῖς τούτοις χρυσᾶ καὶ τὰ ὄψα ἐτίθεντο. πέρδικες ἐκ χρυσοῦ τοὺς ἀπὸ τῆς ὕλης μιμούμενοι, λαγωοὶ, ὄρνεις, καὶ πάντα ὡς ἀπὸ χρυσοῦ διελάμπετο. εἶχέ τι καὶ τοῖς ἐκ πυρὸς ὀπτωμένοις παρόμοιον. οἷς τὸ τοῦ χρυσοῦ ἄνθος εἰς τὸ πυρωπότερον δίκην ἀνθράκων ἐπέχρωζεν. ἐπεὶ δὲ καιρὸς ἦν, ὡς εἰς ἄριστον ἧκεν ὁ βασιλεὺς, πολλοὺς τοὺς ἐκ τῆς θήρας ἀποστάζων ἱδρῶτας. καὶ δὴ παρῆσαν οἱ θεράποντες χρυσῆν κομίζοντες τράπεζαν, καὶ ὁπόσα ὡς ἐπὶ τῆς τοιαύτης τραπέζης ἔμελλον κείσεσθαι. ὁ δὲ τὴν μὲν ὑπερεώρα, ἕτερα δὲ τὰ πρὸς τροφὴν ἐζήτει. τί οὖν ἡ βασιλὶς ἅμα, καὶ ξυνοικος; ἔσθιε φησὶν ἀπὸ χρυσοῦ βασιλεῦ. ἐπειδή σοι καὶ χρυσὸς τὸ φιλούμενον, χρυσὸς ἅπαν ἐστί σοι τὸ σπουδαζόμενον. ἀπὸ χρυσοῦ τοιγαροῦν καὶ κορέννυσο, ἵνα σοι καὶ ὑπὸ γαστέρα χρυσὸς θησαυρίζοιτο, καί σοι καὶ τὸ σῶμα εἴη ὅλον ἐπίχρυσον. εἰδ' οὐδὲν ὁ χρυσὸς εἰς τὸ

σῶμα σοὐ χρήσιμον, ἀλλὰ θᾶττον ἀπὸ μόνου χρυσοῦ τις λιμώξεται, ἐς τί ἄρα σοι τὸ πολὺ τῆς σπουδῆς καταβάλλεται; ἤκουσε ταῦτα ὁ βασιλεύς. καὶ τὸ τῆς γυναικὸς σοφὸν μετὰ τοῦ δικαίου προσαιδεσθεὶς ἀνῆκε ταῖς πόλεσι μὲν τὸ πολὺ τοῦ φόρου, ἑαυτῷ δὲ τὸ ἐσάγαν χρυσομανές.

Τὸ κατὰ τὸν Ὀδυσσέα γʹ.

ΕἾχεν Ἑλένην ἡ Τροία, καὶ ἡ Ἑλλὰς ἐκεκίνητο, καὶ Ὀδυσσεὺς εἰς ξυμμαχίαν καλούμενος μανίαν ἐπλάττετο. καί ποτε δεῆσαν οὕτως ἱππάσασθαι, βοῦν ἵππῳ συμπονεῖν ἐβιάζετο, καὶ πρὸς ἕνα ξυνῆγε ζυγὸν, ἃ μήτε φύσις συνῆψε, καὶ τέχνη διέστησε. καὶ δειλὸς εἶναι λαθεῖν πειρώμενος εἰς μανίαν ἐξέπιπτεν, ἀκουσίῳ δῆθεν κακῷ, κακίαν ἐπικρύπτων αὐθαίρετον. ὁρᾷ τὸ πλάσμα ὁ Παλαμήδης. εἰς νοῦν βάλλεται τὸ μηχάνημα, καὶ γνοὺς ὅ, τι καὶ βούλεται τὰ τοῦ δράματος, ἀντιμηχανᾶται σοφώτερον. ἁρπάζει τὸν παῖδα Τηλέμαχον, εἰς μέσον ἄγει τῆς ἱππηλατίας, καὶ δοκιμάζει τὸν πατέρα ἐλαύνοντα, ὡς εἰ τῷ παιδὶ πάντως ἐπαφήσει τὸ ἅρμα, οὐκ ἔστιν Ὀδυσσεὺς ἐκεῖνος καὶ μέμηνεν. εἰ δὲ γνωρίσει τὴν φύσιν, καὶ φείσεται τοῦ παιδὸς, ἔστιν ἄρα Ὀδυσσεὺς ἐκεῖνος ὁ δόλιος, καὶ τὸν εἰς Τροίαν ἀπόπλουν ὀκνεῖ, καὶ παραπαίειν ἐσχηματίσατο, καὶ δὴ ξύμμαχον ἐπαγόμενος τὸ φιλότεκνον, ἀναρριπίζει τὸ τῆς φύσεως πῦρ, ὑπεκκαίει τὰ σπλάγχνα, πολιορκεῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν αὐτόμολον ὡς ἀπὸ τείχους ἐξάγει τοῦ πλάσματος. οὕτω Παλαμήδης Ὀδυσσέα κατεστρατήγησεν. οὕτω σοφῶς ἀργυρογνωμονήσας τὸν νοῦν ἐθηράσατο, καὶ καθαρὸν εἶναι μαθὼν ὡς ὑπὸ γνώμονι τῷ καιρῷ τούτῳ τοῖς λοιποῖς ἀρίστοις τῆς Ἑλλάδος ἐγκρίνει. οὐ γὰρ ἤνεγκε τὸ θέαμα Ὀδυσσεύς. ἀλλ' ᾤκτειρε τὸν παῖδα, καὶ τὸν ἔλεγχον οὐ διέδρα, τὸ πατὴρ εἶναι τῶν ἐπὶ Τροίας πόνων ἀνταλλαξάμενος.

καὶ

κ ξυνεμάχει τοῖς Ε῞λλησι τῷ λοιπῷ, κ ψυχῇ πολυμηχάνῳ τοῖς Τρωσὶν ἐπεβούλευε, κ κατὰ Παλαμήδους ἤσκει τὸ δόλιον.

Τὸ κατὰ τὸν Ι῎καρον δ΄.

Ε΄Νόσει Πασιφάη παράλογον ἔρωτα, κ πασάδα παραλογωτέραν ἐπήξατο Δαίδαλος. ἐπὶ τούτοις ὀργίζεται Μίνως, καὶ ἀποδύδει τὸν Πασιφάης, καὶ Ταύρου συμφοσόλον αἱρεῖν, ἀλλ' ἦν ἄρα ἐκεῖνος, καὶ πῦρ ἀφροδίσιον ἀποσβέσαι σοφὸς, κ βασιλέως ἀναφθέντα θυμὸν ἀποδράσαι σοφώτερος. οὐ γὰρ οὐκ ηὐπόρει μηχανῆς κ πάλιν ὁ Δαίδαλος. ἀλλὰ κἀνταῦθα τέχνη τὴν φύσιν ὑπερεβάλλετο, κ ἃ φύσις οὐκ ἴσχυσε, Δαίδαλος ἐτεχνάσατο. κ τὴν φύσιν ἄνθρωπος ὢν, τὸν ὄρνιν ἐμηχανήσατο. ἐπτέρωσε τῇ σοφίᾳ κ τὸν παῖδα Ι῎καρον, ἵν ὡς ἐκ μιᾶς μηχανῆς, κ τὸ πατὴρ εἶναι μὴ ζημιωθῇ, κ τὸ περιεῖναι κερδάνῃ. Φιλόστοργον γὰρ ὁ πατὴρ, κ τὸ παράπαν ἀπολιπέσθαι τοῦ παιδὸς οὐκ ἀνέχεται. ἵπταντο μὲν οὖν ἄμφω, κ τὸν Μίνω συναπεδίδρασκον. ἀλλ' ὁ μὲν ἅτε σοφὸς, κ τὴν μηχανὴν εἰδὼς, ἐφ' ὅσον ἂν κ πτερύξαιτο, σύμμετρον τῷ σοφίσματι ποιεῖται τὴν πτῆσιν. ὁ δ' ὑπὲρ τὰ πτίλα, κ τὸν κηρὸν, κ τὴν τέχνην πτερύσσεται. κ περιφρονεῖ μὲν τὸν Η῞λιον, πιστεύει δὲ ταῖς ἀκτῖσι τὸν κηρὸν, κ ξυφᾶν ἐθέλει μᾶλλον, ἢ πρὸς ἀσφάλειαν ἵπτασθαι. τοιοῦτον γάρ τι χρῆμα νεότης, πρὸς ἡδονὰς ἀλόγιστα φέρεται, κ τῆς χρείας ἐκφέρεται. οὐ φέρει περιφρονούμενος Η῞λιος. ἐπιβάλλει τῷ κηρῷ τὰς ἀκτῖνας. ἀπελέγχει τὸν σοφιστήν. λύει τὸ σόφισμα, κ ῥίπτει κατὰ πελάγους τὸν Ι῎καρον. κ τοῦτο μιμεῖται Δαίδαλον Η῞λιος. ἐκ τῆς Η῾λίου παιδὸς Πασιφάης Μινώταυρον ἐκαινοτόμησε Δαίδαλος, κ Η῞λιος ἐξ Ι῎κάρου τοῦ Δαιδάλου παιδὸς Ι῎κάριον πέλαγος ἀνθρώποις ἐγνώριζεν.

Τὸ

Τὸ κατὰ τὸν Θάμυριν ε'.

ΘΑ'μυρις καλὸς μὲν ἦν καὶ τὴν ὄψιν, σοφὸς δὲ καὶ τὰ μουσικά. κάλλος μὲν οὖν εἶχε, καὶ πρὸς λύραν ᾄδειν ἠπίστατο, σωφρονεῖν δὲ ἄρα πρὸς θεοὺς οὐκ ἐγίνωσκεν. ᾀδούσας βλέπει τὰς Μούσας, καὶ τὸ δὲ μουσον εἰς ἀσέβειαν προσβάλλεται καὶ ὕβριν Μουσῶν. προκαλεῖται καὶ πρὸς ἀγῶνα τὰς θεάς. καὶ, Ὦ Μοῦσαι, φησὶν, οὐκ ἄρα Διὸς θυγατέρες ὑμεῖς, οὐδὲ τὴν μουσικὴν Ἀπόλλων ἡμᾶς ἐδιδάξατο, ὅτι μηδὲν μελιχρὸν ὑπηχεῖτε τοῖς ᾄσμασιν. ὡς ἔτι ἔγωγε θνητὸς μὲν εἰμί. νικῶ δὲ καὶ τὰς Μούσας ὑμᾶς, καὶ οὔτε μοι Ζεὺς πατὴρ, οὐδὲ μουσικῆς Ἀπόλλων διδάσκαλος. καὶ, εἰ βούλεσθε, ἀγωνιζώμεθα. μόνον ἆθλον ἔστω μοι τῆς νίκης, τὸ βούλημα. ἔστω καὶ ὑμῖν ἆθλον, ὅ, τι καὶ βούλεσθε. καὶ νικῶσαι μὴ φείδεσθε τοῦ Θαμύριδος. ἀλγοῦσιν ἐπὶ τούτοις αἱ Μοῦσαι, καὶ τὴν πρόκλησιν δέχονται. καὶ λοιπὸν περὶ μουσικῆς ἔρις ἦν Μουσῶν, καὶ Θαμύριδος. μεταχειρίζεται τὴν κιθάραν ὁ Θάμυρις. καὶ μέλος ᾄδει τερπνὸν μὲν, καὶ οἷον ᾄδουσιν ἄνθρωποι. παύεται τῆς ἀγωνίας. καὶ τὴν νικῶσαν ἤδη θαῤῥεῖ. καὶ τὸ ἐντεῦθεν ὁ λοιπὸς ἀγὼν ἦν τῶν Μουσῶν. αἱ δὲ ᾄδουσιν, οἷον νικῆσαι μὲν Θάμυριν, ἐμφῆναι δὲ, ὡς μουσικῆς αὐταῖς Ἀπόλλων διδάσκαλος. κἀντεῦθεν ἐδυστύχησε Θάμυρις, καὶ μουσικῆς ἀποβολὴν, καὶ στέρησιν ὄψεως.

Τὸ καθ' Ἡρακλέα ϛ'.

ΚΑὶ πρὸς Ὕδραν ἀγωνιούμενος Ἡρακλῆς ὑπ' Εὐρυσθέως ἐστέλλετο. ὁ δὲ ἅμα τε ἧκεν ἐπὶ τὴν θρεψαμένην τὸ θηρίον τοῦτο πηγὴν, καὶ τὸ ξίφος, ἐκβαλὼν ἔργου εἴχετο. ἀλλ' ἦν ἀνίκητον τὸ κακὸν, καὶ ὁ ἆθλος ἀτέλεστος ἡ μὲν τῶν κεφαλῶν ἐξετέμνετο. ἡ δ' ἀνεφύετο. ἡ μὲν ὑπὸ τοῦ ξίφους ἔπιπτεν. ἡ δ' ὑπὸ τοῦ

το-

τομῆς ἀνεδίδοτο. ἔμενε τὸ θηρίον καὶ πρὸ τῆς τομῆς, καὶ μετὰ τὴν τομὴν πολυκέφαλον. μίαν ἀφῃρεῖτο κεφαλὴν, καὶ πλείους ἐλάμβανε, καὶ μιᾶς κεφαλῆς ἐκτομὴ πολλῶν ἐγένετο γένεσις. ὁ μὲν ἐξεθέριζε τὸ φυόμενον, αἱ δ' οὐκ ἔληγον ἐκτεμνόμεναι. ὅλον κεφαλῶν ἀνεφύετο λήϊον, τοσούτῳ δὲ μᾶλλον εἰς τομὴν ἀπορώτερον, ὅσῳ μᾶλλον ἐτέμνετο. ἐπὶ τούτοις διαπορεῖται μὲν Ἡρακλῆς, προσκαλεῖται δὲ σύμμαχον ἑαυτῷ τὸν Ἰόλεων, τῷ δὲ ξίφει τὸ πῦρ. καὶ ὁ μὲν τὸ ξίφος ἐπέβαλλεν, ὁ δὲ ἐπετίθει τὸ πῦρ. οὕτως οὔτε τὸ ξίφος εἴα μένειν τῶν κεφαλῶν τὸ φαινόμενον, οὔθ' ὁ καυτὴρ ἀναδίδοσθαι τὸ φυόμενον. καὶ τὸ ἐντεῦθεν ὁ ἆθλος ἠνύετο.

Τὸ κατὰ τὸν Νάρκισσον. ζ.

ΝΑ'ρκισσος, ὁ νῦν διαπρέπων ἐν ἄνθεσιν, ἐν μειρακίοις πάλαι διέλαμπεν. διανθὴς ἦν τὸν τοῦ προσώπου λειμῶνα, καλὸς τὴν μορφὴν, ἄμαχος τὴν θέαν, τὸ κάλλος ἀνίκητος. ἐφείλκετο καὶ τοὺς τῶν ἄλλων ὀφθαλμοὺς, ἀλλ' εἶχεν αὐτὸς ἕτερον ἔρωτα, κύνας ἐπισύρεσθαι, καὶ πρὸς θήρας ἱππάζεσθαι, καί ποτε πολλοὺς τοὺς ἐκ τῆς θήρας ἀποστάζων ἱδρῶτας, πειρᾶσαταί τινα πηγὴν, διαφανῆ μὲν ἰδεῖν, ποτιμωτάτην δὲ πιεῖν. ἡ δὲ τὴν μὲν τῆς δίψης φλόγα μαραίνει τοῦ μειρακίου, ἕτερον δὲ πῦρ ἀνάπτει τὸν ἔρωτα. καὶ διψῶντα μὲν ὕδατος, παύει, κάλλους δὲ διψᾶν αὖθις βιάζεται. γίνεται τῆς ὥρας κάτοπτρον. ὡς ἐν πίνακι τῷ ῥεύματι γράφει τὸν Νάρκισσον. καὶ τοῖς αὐτοῦ κάλλεσι βάλλεται Νάρκισσος. καὶ ὃ πολλοὺς πρότερον ἔδρασε, τοῦτο τὴν ἰκαῦτα παθὼν αὐτὸς ἔλαθε. Νάρκισσος ἐκ πηγῆς τὸ κάλλος ἀνέβλυζε, καὶ Νάρκισσος διψῶν οὐκ ἐμπίπλαται. Νάρκισσος ὑπερείσαται τῶν ναμάτων, καὶ Νάρκισσος ἕτερος ὑπὸ τὴν πηγὴν διεφαίνετο. ἐμειδία Νάρκισσος ἄνωθεν, καὶ κάτωθεν αὖθις ἀντεμειδία τὸ κάλλος. ταῦτα ἦν

ἀμ-


ἀμφοῖν πάντα ὡς ἐν κατόπτρῳ διαφανεῖ τῇ πηγῇ. ἀλλ' εἶχέ τι καὶ θαύματος, οἷς διήλλαττε τὸ φαινόμενον. ὀφθαλμοὶ πρὸς τὴν ὄψιν ἐπεπήγεσαν, καὶ τὸ κάλλος ἐναπέσταζε τῇ πηγῇ. ἡ τῶν ὑδάτων φύσις θᾶττον ἀπέρρει, καὶ τὸ ῥεῦσαν ἐκ τῶν ὀφθαλμῶν ἐν οὐκ εἰδόσι μένειν ἐπεπήγει τοῖς ὕδασιν. ἐντεῦθεν ὁ ἔρως θερμότερον ἐπέζεσε τῷ Ναρκίσσῳ. ὁ δὲ μὴ φέρων τὸ πῦρ, ἐπαφῆκεν ἑαυτὸν τοῖς ῥεύμασιν, ὡς ἂν καὶ τὸν δοκοῦντα περιπτύξαιτο Νάρκισσον, καὶ τὴν ἔρωτος πυρκαϊὰν ἀποσβέσειεν. ἀλλ' ἡ τῶν ὑδάτων φύσις αὐτῷ κάλλει τὸν ἔρωτα ξυναπέσβεσε, τῷ ζῶντι Ναρκίσσῳ καὶ τὸν δοκοῦντα συναποκρύψασα. οὐ μιμεῖται τὴν πηγὴν ἡ γῆ, ἀλλ' οἰκτείρει τὴν συμφορὰν, καὶ σοφίζεται τὴν μνήμην τοῦ πάθους, καὶ τοῦ καλοῦ μειρακίου καλὸν ἄνθος ἀντιχαρίζεται Ναρκίσσῳ, καὶ ἔρωτι. οὕτω καὶ μετὰ τελευτὴν περίεστι Νάρκισσος, καὶ αὖθις οὐδὲν ἧττον ἢ πρότερον εἰς κάλλος ἀνθεῖ.

Τὸ κατὰ τὸν Πολύδωρον η.

Δέος εἶχέ ποτε καὶ τὴν Τροίαν πεσεῖν, καὶ Πρίαμος τὴν ἅλωσιν ἐμαντεύετο, καὶ τὴν συμφορὰν ἐπιγνοὺς προνοεῖται τοῦ γένους, προμηθεῖται τῆς πόλεως. σωτηρίαν παιδὸς, καὶ χρυσοῦ φυλακὴν, καὶ φιλίαν Θρακὸς πρὸς τὴν τύχην ὥσπερ ἀντισοφίζεται. ὁρᾷ τὸν τῶν παίδων χορόν. καὶ τῶν μὲν τὴν ἀκμὴν τοῖς Ἕλλησιν ἀνθιστᾷ, καὶ πρὸς τὴν παροῦσαν τύχην μερίζεται. Πολυδώρου δὲ τὸ τῆς ἡλικίας ἀπόμαχον ἀποσπᾷ μὲν τοῦ πολέμου, ἐγχειρίζει δὲ Πολυμήστορι, καὶ πρὸς τὴν ἐπιοῦσαν τύχην παιδὶ, καὶ χρυσὸν ταμιεύεται, ἵν' ὕστερον καὶ Ἴλιον ἔχῃ τὸν ἀνορθώσοντα, καὶ τὸ λοιπὸν τοῦ γένους τὸν ζωπυρήσοντα. δέχεται τὸν παῖδα ὁ Θρᾷξ. ὑποδέχεται καὶ τὸν χρυσὸν, καὶ τὸ τῆς μάχης ἀστάθμητον ὑφορώμενος ἀπέχει τέως τῆς γνώμης τὸ βάρβαρον. ὑποκρύπτεται τὸ φιλόχρυσον. σχηματίζεται τὸ φιλόφιλον. τοιοῦτον γάρ τοι χρῆμα βάρβαρος, καὶ τὴν δειλίαν οἰκονομῶν, ἔνθα πε-

φό-

φοβεῖται, καὶ τὸν φίλον πλαττόμενος, ἔνθα τὸ φανερῶς λυπεῖν οὐκ ἠυπόρησεν. ὡς γοῦν ἡ τύχη μετὰ καὶ τῶν Ἑλλήνων τῷ Πριάμῳ ἐπέθετο, καὶ ὁ Πολυμήστωρ αὐτῷ ξυνεπιτίθεται καὶ κτείνει μὲν τὸν Πολύδωρον, καὶ τὸ σῶμα νεκρὸν ἐπαφῆκε πελάγιον. προσαφαιρεῖται δὲ τὸν χρυσὸν, καὶ παρανομεῖ τῆς φιλίας διπλάσια, μήτε πεσόντα τὸν παῖδα οἰκτείρας, καὶ μετὰ τὴν τελευτὴν οὐ φεισάμενος, καὶ χρυσοῦ μελετήσας ἀφαίρεσιν, οὗ τὴν φυλακὴν ἐπιστεύετο. ἀλλ' ὅθεν ἠδίκει τὸν Φίλιον, ἐκεῖθεν αὖθις τὴν δίκην ἀπέτισε. χρυσὸς ἐκεῖνον ἀδικεῖν ἐδελέασε, χρυσὸς καὶ πάλιν εἰς τὸ παθεῖν ὑπηγάγετο. ἔγνω τὸν τοῦ Θρᾳκὸς δόλον ἡ μήτηρ. ἐπέγνω τὸν τοῦ παιδὸς φόνον, καὶ μηχανᾶται τὴν ἄμυναν. χρυσὸν καὶ πάλιν προβάλλεται. καὶ πιστεύεται δῆθεν, ᾧ πάλαι καὶ χρυσὸν, καὶ παῖδα ἐπίστευσεν. πείθεται τούτοις ὁ Θρᾷξ, οὐχ ὑποπτεύει τὴν ἐπιβουλήν. θαῤῥεῖ τὴν Ἑκάβην. εἴσεισι τὴν σκηνὴν, καὶ θήραμα γίνεται γυναικῶν, καὶ χρημάτων ἐλπίσιν ἁλώσιμος. οἷς μὲν γὰρ ἀδίκοις ὀφθαλμοῖς εἶδε χρυσὸν, τούτοις δικαίως τοὺς ὀφθαλμοὺς αὐτὸς ἐξορύττεται. οἷς δὲ τοῦ παιδὸς ἀπανθρώπως Ἑκάβην ἐστέρησε, τούτοις εἰκότως καὶ παίδων πρὸς Ἑκάβης αὐτὸς ἀπεστέρηται.



ἨΘΟΠΟΙΐΑΙ.

Τίνας ἂν εἴποι λόγους ὁ Ἰωσὴφ ὑπὸ τῆς Αἰγυπτίας γυναικὸς κατηγορηθεὶς, καὶ εἰς εἱρκτὴν ἐμβληθεὶς α'.

ΩΣ ἐπὶ δυστυχίᾳ γεγέννημαι. καὶ μηδὲν ἀδικῶν, δοῦλος γίνομαι, καὶ σωφρονῶν παρὰ τούτῳ κολάζομαι. ἐπ' ἐμοὶ

μοὶ καὶ χορὸς ἀδελφῶν τὴν φύσιν ἐψεύσατο, καὶ δεσπότις γυνὴ τὰ σωφρόνων γυναικῶν οὐκ ἐτήρησε. καὶ φθόνος με καθεῖλεν ἀδελφῶν τὰ πρῶτα, καὶ νῦν αὖθις ἔρως κατεστρατήγησεν. ἀπόλωλα καὶ φθόνῳ, καὶ ἔρωτι. ὢ δυστυχὴς ἐγὼ, καὶ μισούμενος, καὶ φιλούμενος. ἰού μοι πατὴρ εὐδαίμων, καὶ πλῆθος ἀδελφῶν, καὶ πάντα λαμπρά. ἐμοὶ παρὰ τοὺς ἄλλους προσεῖχε τὸν νοῦν ὁ πατήρ. ἐμοὶ δὲ τὰς χρηστοτέρας τῶν ἐλπίδων ἐσάλευεν. ἐπὶ τούτοις μέγας ἐγὼ τὰ ἐνύπνια. καὶ γίνομαι λαμπρὸς ὄναρ, ὃν ὕπαρ εἰς δουλείαν φθόνος κατηνέγκατο. ἔχαιρον ὑφ' ἡλίῳ, καὶ σελήνῃ προσκυνούμενος. ἤκουσα καὶ τῶν λοιπῶν ἀστέρων δεσπότης. θέρους αὖθις ἐδόκει καιρὸς, καὶ τοὐμὸν δρᾶγμα πάνθ' ὁπόσα καὶ δεσπότης πρὸς δούλων τοῖς τῶν ἀδελφῶν εἶχε δράγμασι. ταῦτα τοὺς ἀδελφοὺς εἰς φθόνον ἐξέκαυσεν. ἀπὸ τούτων τὸ τοῦ γένους ἐλευθέριον ἐγὼ περιῄρημαι. ἐντεῦθεν ἔπιον τοῦ Νείλου. εἶδον τὴν Αἴγυπτον. ἐπέγνων τὰ δούλων ἔργα, καὶ τὸ δυστύχημα ἔφερον. ἀλλ' ὢ τῆς μετέπειτα ἐπηρείας. ὢ τοῦ δευτέρου κλύδωνος, ὅν μοι τὸ κάλλος ἐπήγειρεν. ἐλάνθανον ἐπὶ τοῦ προσώπου φέρων τοῦ κακοῦ τὴν ἀρχήν. ἠγνόουν ὡς καὶ σωφρονῶν τις κολάζεται. δέσποτιν ἔλαχον ἀκόλαστον γύναιον. ἔδοξα τὴν ὄψιν καλός. ἐθαυμαζόμην τὴν ὥραν. ἡ δὲ ἀλλ' εἶδεν, ἐθαύμασεν, καὶ τὴν θέαν οὐ μέχρι θαύματος ἔστησεν, ἀλλ' ἔπαθε πρὸς ἔρωτα, καὶ τῇ γνώμῃ δουλεύειν οὐκ ᾐσχύνετο, δεσπότις οὖσα τῷ σώματι. εἰς πειθὼ τὸ πρῶτον ἔβλεψεν, ἐγὼ δ' οὐκ ἐπένευον. ὁπλίζεται λοιπὸν εἰς ἀναίδειαν. ἐφείλκετό μου τοῦ χιτωνίου, ἐγὼ δ' ἀντέτεινον. καὶ ἦν ἀγὼν ἔρωτος ἀκολάστου, καὶ γνώμης σώφρονος. ἡ μὲν ἤρα τῆς τοῦ σώματος ὥρας, ἐγὼ δὲ τοῦ τῆς ψυχῆς κάλλους. ἀλλά τό γε μὲν ἐκράτησεν ἔρως οὐμός. καὶ τὸ χιτώνιον ἀποδὺς εὐθὺς ἀπεπήδησα. ὁ δὲ λοιπὸς ἐκεῖνος ἔρως ἀγανακτεῖ τὴν ἧτταν. ἐπι-

στρα-

ςρατεύει τὸ δεύτερον, καὶ τῆς βίας λάφυρον ἐπαγόμενος τὸ χιτώνιον. συγκροτεῖ πρὸς ἐπιβουλὴν πόλεμον ἕτερον. ἀναςρέφει τὰ πεπραγμένα, καὶ βίαν ἐπεγκαλεῖ, καὶ γνώμην ἀκόλαςον, τῷ σωφρονοῦντι, τῷ βεβιασμένῳ, τῷ πεπονθότι. προσεπιδείκνυσι καὶ σύμβολον, ὅπερ ἐγὼ πρὸς σωφροσύνην ἀπέλιπον. ἐπὶ τούτοις δεσμώτης γίνομαι καὶ νῦν τὰ τῶν κακούργων ὑπέχω, μηδὲν κακουργίας μετειληφὼς, καὶ δίκας, ὧν οὐ πεπονήρευμαι, δίδωμι. Ὦ φθόνε, καὶ δουλεία, καὶ ἔρως, καὶ εἱρκτὴ, καὶ πάντα παράλογα. ἔρως ἐπ' ἐμοὶ ταυτὰ φθόνῳ δεδύνηται. καὶ πάνθ' ὁπόσα φθονούμενος πρότερον, ταῦτα καὶ νῦν ἐρώμενος δεδυςύχηκα. καὶ φθόνος ἀδελφῶν ἀφείλετό μου τὴν ἐσθῆτα τῷ τότε, καὶ νῦν γυναικὸς ἔρως ἐγύμνωσε. λάκκος εἶχε τότε τὸν μηδὲν ἀδικήσαντα, καὶ νῦν εἱρκτὴ καὶ δεσμὸς τὸν μηδὲν κακουργήσαντα. νικῶσε πάτερ ταῖς συμφοραῖς, καὶ τοῦτο μόνον δυςυχὴς ἐγώ. φθόνον ἔπαθον συγγενῆ. καὶ τοῦτο μόνον ἔχω τῷ τεκόντι παρόμοιον. μᾶλλον μὲν οὖν ὑπερβαίνω καὶ τοῦτο τὸ μέρος. ὃ γὰρ ὑφ' ἑνὸς ἐκεῖνος ἁπλοῦν ἐδυςύχησε, τοῦτο πρὸς πολλῶν ἐγὼ πολλαπλάσιον. Ὦ λαμπροτάτων ἐνυπνίων ἐκείνων. ὦ προσκυνῶν ἥλιε, καὶ ἀςέρες ὑποκλινόμενοι, καὶ δουλεύοντα δράγματα, ὕπνος ἄρ' ἦτε σαφὴς, καὶ τῶν εἰσέπειτα κακῶν τούτων κατάγελως.

Τίνας ἂν εἴποι λόγους ὁ Ἰωσὴφ τῆς εἱρκτῆς ἐκβληθεὶς, καὶ κρίνας τῷ βασιλεῖ τοὺς ὀνείρους, καὶ τὴν ὅλην Αἴγυπτον οἰκονομεῖν ἐγχειρισθείς. β'.

Οὐκ ἦν ἄρα τὴν δίκην ἀπολιπεῖν, οὐδ' εἰς τὸ παντελὲς κατηγορίαν ἰχύσαι, καὶ φθόνον ἄδικον. φθόνος με τὰ πρῶτα ξενηλατεῖ. γονέας ὑπερορίζει καὶ τῆς ἑςίας, γονέας ἀπέχθεια, μῖσος ἐφέσιον. ἔπειτα πάλιν ἔρως ἐπιςρατεύει, καὶ δεσμώτην εἷλεν ἐπιβουλὴ γυναικὸς, ὃν ἔρως ἑλεῖν οὐκ ἴχυσε δέσ-

μιον

μιον. οὕτως ἐδυςύχουν ἐγὼ τὰ ἀνέλπιςα. ἐπὶ τούτοις ἔμενον τὴν δίκην. προὐκαλούμην σύμμαχον τὴν ἀλήθειαν. Θεὸν ἐπευχόμην τὸν πάτριον. ὁ δ᾽ οὐκ ἐμέλλησεν, ἀλλ᾽ ἧκεν, ἐπήμυνε, καὶ τῆς σωφροσύνης ἠμείψατο. καὶ νῦν οὐκέτι δοῦλος ἐγὼ, καὶ τὰ κακούργων ἐκπέφευγα. ὢ πάντα μοι φανέντα παράλογα, καὶ φθόνος πρώην οὐκ ἐλπιζόμενος, καὶ δεσμὸς, οἷς ἐσωφρόνουν, μὴ προσδοκώμενος, καὶ νῦν φῶς ἐλεύθερον, καὶ κακῶν ἀπαλλαγὴ, καὶ λύσις δεσμῶν. ὡς καλὸν καὶ τὸ τῆς σωφροσύνης φύτον, καὶ καλοὺς τοῖς δρεπομένοις ἀποδίδωσι τοὺς καρπούς. οὐκ ᾔσχυνε τὸν ἑαυτῆς ἐραστὴν ἐμέ. οὐ προὔδωκεν. οὐδ᾽ ἡ ταύτης ἀδελφὴ Δίκη τὸν οὕτω παθόντα τὰ ἀδικώτατα. ἀλλ᾽ ἧκεν ὀψὲ μὲν, καὶ μετὰ πολλοὺς τοὺς κινδύνους, ἀλλ᾽ ἀπέδωκε πάντα σὺν τόκῳ, καὶ τὰς ἐλπίδας ὁ πολὺς οὐκ ἀπήγαγε χρόνος. ἐξείλετο δεσμῶν. συνεξείλετο δουλείας. σοφίας ἐνέπλησε. βασιλεῦσιν ἐπέδειξε. καὶ τὸ δὴ μεῖζον, ὅλην Αἴγυπτον ἐχαρίσατο. τοῦτο νῦν ἔχω τοῦ φθόνου τόκον, καὶ τῆς εἱρκτῆς. καὶ τὴν δίκην τῆς μακρᾶς ἀναβολῆς ἐκείνης οὐ μέμφομαι. τίς εἶδέ ποτε τηλικαύτην τύχης καινοτομίαν; τίς ἤκουσεν ἐπιπλοκὴν πραγμάτων οὕτως ἀνέλπιστον; οὐκ ᾔδειν ἐξ ἐναντίων τἀναντία καρπούμενος. ὅτε καλῶς ἔχειν ἐδόκουν, τὰ δεινότατα ἔπασχον. καὶ φαινομένων κακῶν κερδαίνων ἐλάνθανον, καὶ ῥόδα μέλλων τρυγᾷν ἐξ ἀκανθῶν οὐκ ἐγίνωσκον. κατεκρινόμην δουλείαν, ὅτε βιοῦν ἐδόκουν τὰ ἐλευθέρια. καὶ νῦν ὅτε μηδ᾽ ἐλπὶς ἐλευθέρας τροφῆς ὑπελείπετο, τὴν φίλην ἐλευθερίαν αὖθις ἀπέλαβον. Ἐδυςύχουν τὰ κακούργων, ὅτε μηδὲν ἠδίκουν. καὶ νῦν ὅτε κακουργεῖν ἐκρινόμην, τῆς εἱρκτῆς. καὶ τῶν δεσμῶν ἠλευθέρωμαι. Ὢ σὺ τότε συνδεσμῶτα, καὶ πάντα δυςυχῶν, καὶ νῦν τὰ μεγάλα συνευτυχῶν, ἱκανῶς με τῆς σοφίας ἠμείψω. πρέπουσαν τὴν χάριν ἀπέδωκας. ἔλυσας δεσμῶν τὸν πρὸ τοῦ σοὶ τὴν λύσιν ἐπαγγειλάμενον. ἄμφω τῆς εἱρκτῆς συμμετείχομεν. ἄμφω καὶ νῦν τῶν βασιλείων συμμετεσχήκαμεν. ἀλλ᾽ ὢ τῶν ἐνυπνίων

ἐκεί-

ἐκείνων, ἃ σὺ μὲν προὔτεινες, ἐγὼ δ' ὑπέλυον. ὢ τῶν ἐπὶ τούτοις λαμπροτέρων, ἃ βασιλεὺς μὲν προὐβάλλετο, ἐγὼ δὲ ταῦτα σαφὲς ἀνέπτυσσον. ὡς ἦν ἄρα καὶ πάλιν ἐνυπνίοις τὴν ἐλευθερίαν κομίσασθαι, τὸν χάριν ἐνυπνίων ὑπὸ φθόνου δουλαγωγηθέντα. ἐξ ὀνειράτων δοῦλος εἶδον τὴν Αἴγυπτον, ἐξ ὀνειράτων καὶ νῦν Αἰγυπτίων ἐκράτησα. ἥκουσιν οἱ τῶν βοῶν πίονες. οἱ τῶν ἐνιαυτῶν εὐφορώτατοι. τοῦτον ἐγὼ τὸν χρόνον καλῶς διαθήσομαι. ὅλον ἀποταμιεύσω τὸν σῖτον. εἰς μάτην οὐδὲν ἀναλώσομαι. ἥκουσι μετ' οὐ πολὺ καὶ βόες ἰσχνοὶ τὰ σώματα. χρόνος ἕτερος, παρ' ᾧ λιμὸν ἐπαπειλεῖ τὰ ἐνύπνια. καὶ σιτοδοτήσω, καὶ θρέψω τὴν Αἴγυπτον εἰς καλὸν ταῖς προτέραις εὐφορίαις ἀποχρησάμενος. μᾶλλον μὲν οὖν κοινὸν ἔσται πρὸς πᾶσαν γῆν τὸ κακόν, καὶ τὰ τῆς σιτοδείας κοινώσομαι. τοῦτο ἦν ἄρα τὰ δράγματα. τοῦτο προσκυνοῦν ἥλιος, καὶ ἀστέρες ὑποκλινόμενοι, ὅτι πᾶσαν δεῖ με θρέψαι τὴν ὑφήλιον, καὶ πάντες ἐφ' ὅσοις τὸ τῶν ἀστέρων, προσπεσοῦνται σιτοδοτοῦντι, καὶ τῆς ἐμῆς οἰκονομίας δεήσονται. οἶμαι δὲ ὅτι καὶ αὐτοὺς ὄψομαι ἀδελφοὺς προσπίπτοντας ἐπὶ δράγμασι. καὶ θεάσονται δεσπότην, ὃν δουλεύειν ἐνόμισαν. τούτους ἀστέρας ἐγὼ τίθεμαι τοὺς ἀπὸ Σάῤῥας, τοὺς ἐξ Ἀβραάμ. τούτων γὰρ καὶ Θεὸς ὑπὲρ τοὺς ἀστέρας πληθῦναι τὴν γονὴν ἐπηγγείλατο. καὶ γένοιτό μοι τοὺς ἀστέρας τούτους ἰδεῖν, καὶ προσεπόψοιμι τὸν πατέρα τὸν ἥλιον.

Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, καὶ κρατηθεὶς ὑπὸ τῶν ἀλλοφύλων, καὶ μέλλων ἀποσφαγῆναι. γ'.

Εὖγε τῆς τῶν ὁμοφύλων ἀνοίας. εὖγε τῆς περὶ τὸν ἀριστέα προθέσεως. ὡς καλήν γε τῆς ἀριστείας ἀντιλαμβάνω δωρεάν. μετὰ τρόπαιον δραπετεύω. μετὰ νίκην ἐλαύνομαι. καὶ γίνεται μοι πολέμου τελευτὴ μάχης δευτέρας ἀρχή. καὶ τὰ τῆς ἀριστείας

εἰς φυγὴν ἀποτελεύτα. Γολιὰθ μὲν ἐκεῖνος Θεοῦ ζῶντος ἐξονειδίζων παράταξιν, πέπτωκε μετὰ καὶ τῶν αὐτοῦ θεῶν· καὶ τὸ δὴ μεῖζον, οἷς ὥπλιστο καθ' ἡμῶν, τούτοις παρ' ἡμῶν ἀπεσφάττετο· καὶ γέγονεν ἔργον μαχαίρας μὲν τῆς αὐτοῦ, δεξιᾶς δὲ ταυτησὶ τῆς ἐμῆς. τὸ δ' ἄλλο πᾶν ὅσον ἀπερίτμητον ᾤχετο. τίνα γοῦν μοι τὰ γέρα; τίνες αἱ τῶν τροπαίων ἀμοιβαί; ὁμόφυλος μάχη μετὰ μάχην ἀλλόφυλον, οἰκείων φυγὴ μετὰ φυγὴν δυσμενῶν. πόλεμον ἐκράτησα γνωριζόμενον, καὶ φεύγω πόλεμον ἄλλον ἀνέλπιστον, ὃν οὔτε κρατεῖν εὐσεβῶς, τὸ γὰρ δυσμεναῖνον ὁμόφυλον, οὔτ' αὖθις ἁλίσκεσθαι δίκαιον· τὸ γὰρ ἐξ ὁμοφύλων πεσεῖν οὐ καλόν. τί ταῦτα Σαούλ; διώκεις, ὃν ἐν ὅπλοις ἐθαύμαζες; ὃν εἰς γένος συνῆπτες, τοῦτον τοῦ γένους ἀποδιϊστᾷς; ἀπελαύνεις, ὑφ' οὗ τὸ πολέμιον ἀπηλαύνετο πρότερον; μανίας ἔργα ταῦτα, καὶ πνεύματος πονηροῦ ἧπτου καὶ πάλιν μέμηνας; ἄγχει καὶ πάλιν τάχα σε τὸ δαιμόνιον; ἀπελήλαται μεθ' ἡμῶν καὶ τὰ κρούματα, ὑφ' ὧν σοι τῆς ψυχῆς τὸ μαινόμενον ἐξεκρούετο. καὶ νῦν ἐπεισπηδᾷ σοι σφοδρότερον. ἐκείνου τοῦ πονηροῦ πνεύματος τοῦτον ἐγὼ κρίνω τὸν πόλεμον. ἐκεῖθεν εἶναι ταῦτα νομίζω τὰ τραύματα. ἐπλήττετο παρ' ἡμῶν τοῖς τῆς κιθάρας κρούμασιν. ἔφευγεν, ἐδραπέτευεν. ἤλγει τῆς σῆς ψυχῆς ὥσπερ τινὸς οἰκίας ἀπελαυνόμενον. εἶτ' αὖθις παλινοστεῖ, καὶ χεῖρα μανικὴν πρὸς μουσικὴν ἀνθώπλισε δεξιάν. ἵν' ἢ πέσωμαι φεύγων, καὶ δίκην λήψομαι τῶν κρουμάτων, ἢ καὶ κρατήσω μαχόμενος, καὶ τὰ τῆς νίκης μεταπεσεῖται μοι πρὸς ἀσέβειαν. ὡς ἔμοιγε κρεῖττον πεσεῖν, ἢ πρὸς ὁμοφύλους βάψαι τὸ δόρυ, καὶ τρόπαιον ἐξ ἀσεβείας λαχεῖν. ἀλλ' οἴμοι. τίνα τοῦτον ὁρῶ πόλεμον ἕτερον; ἐχθροὺς ὁμοφύλους ἐκπέφευγα, καὶ δυσμενέσιν ἀλλοφύλοις ἐμπέπτωκα. πόλεμος ἐπ' ἐμοὶ τίκτειν οἶδε πόλεμον, καὶ πόλεμον δυσμενῶν, ὁμοφύλων διαδέχεται πόλεμος, καὶ δυσμενεῖς ὁμοφύλους αὖθις ἄνδρες πολέμιοι. ἐγὼ καὶ νικῶν ἐλαύνομαι, καὶ φεύγων ἁλίσκομαι. τί δράσω; τί χρήσομαι; τοῖς

πα-

παροῦσι μέσος πολεμίων ἕςηκα. ἤδη με τὴν μορφὴν ὑποπτεύουσιν. ἤδη με περιεργάζονται τὴν δεξιάν. ἀμήχανον τὸ κακόν. βάρβαρος ὄχλος Γολιὰθ τοῦ πεσόντος ὑφ' ἡμῶν ὁπλίζεται, γένος ὅλον ὑπ' ἐμοῦ τὸν ςρατηγὸν ἀφῃρημένοι, τηλικαύτην ἐν πολέμοις περικεκοσμημένοι δεξιάν. ἆρα δακρύσω; ἆρα τὴν συμφορὰν ἀποκλαύσομαι; προβαλοῦμαι νόμον πολέμου, καὶ συγγνώσονται; ὡς ἦν ἐν ὅπλοις ἀγών, ϗ δυσμενῆ βάλλειν ἐπὶ μάχῃ ἀφεῖται. νῦν δ' ἀλλ' ἱκέτης ἥκω, ϗ πέφηνα ξύμμαχος. ἀλλ' οὐκ οἶδε τὸ βάρβαρον σπένδεσθαι. ἀλλ' οὐκ οἶδεν ἱκεσίας αἰδῶ. οὐ πρὸς οἶκτον μαλάσσεται. εἰς οὐδέν μοι τοιγαροῦν πεσεῖται τὰ δάκρυα. γενναῖος εἶ, φήσουσι. δίκας ἡμῖν ὀφείλεις. πέπτωκεν ὑπὸ σοῦ Γολιὰθ. πίπτε ϗ σὺ παρ' ἡμῶν. ἀλλ' εὖγε τῆς ἐπινοίας. ὀψὲ μέν, συνῆκα δ' οὖν. μανίας προσωπεῖον ὑποδύσομαι, ϗ φρενῶν ὑποκρινοῦμαι παραφοράν, ϗ σκηνοβατήσω τὰ μανικά. οὕτως οἶμαι τὸ τοῦ πάθους ὑπερβάλλον, ϗ τὸ βάρβαρον καταιδέσει, ϗ Σαοὺλ εἰς οἶκτον ἴσως ἐφέξεται. αἰδεσθήσεται γάρ, εἰ δι' ἐκεῖνον αὐτὸς μέμηνα, δι' ὃν μαινόμενος πέπαυται.

Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ ὑπὸ τοῦ Ἀβεσαλὼμ τοῦ παιδὸς αὐτοῦ διωκόμενος. δ'.

ΟΥ'κ ἐπιλείπω ϗ βασιλείοις φυγαδευόμενος. ϗ πρὸ τῆς ἀρχῆς ἐδραπέτευον, ϗ μετὰ τὴν ἀρχὴν αὖθις ἐλαύνομαι. Ὢ χρῆμα φθόνου μεστόν, καὶ πρὶν ἥκειν ὑποπτευόμενον, καὶ προσιὸν αὖθις ζηλοτυπούμενον. ὢ πάντα παθὼν ἐγώ, καὶ πρὸς τοῦ γένους βαλλόμενος. οὐχ ἵςαταί μοι τὰ τῆς ἐπιβουλῆς, ἀλλ' οἴκοθεν ἔχω τὸν πόλεμον. ἀφ' ἑςίας βάλλομαι, ϗ φθόνον Σαοὺλ ὕβρεις παιδὸς διαδέχεται. ἔφυγον κηδεςὴν ἐπίβουλον, ϗ πρὸς παῖδα τύραννον αὖθις ἐμπέπτωκα. ἀλλὰ τίς οὗτος ὁ πόλεμος; πόθεν τὰ τῆς καινῆς ταύτης πείρας; αἰσθάνομαι τοῦ

κακῦ. προβάλλει μοι τὸ δεινόν. εἰς νῦν λαμβάνω πόθεν μοι τὰ τῆς φυγῆς ἐπεψήφισαι. αὐτὸς ἐμαυτῷ τὸν παῖδα ἐφώπλισα. δίκης ἔργα ταῦτα, καὶ θεόθεν ἐλαύνομαι. κατεξύφησα τῆς ἀρχῆς, καὶ πρὸς ἡδονὴν ἀπήχθην παράλογον. εἶδον ἀδίκοις ὀφθαλμοῖς. ἔπαθον εἰς ἔρωτα. παρέβην γάμων θεσμοὺς. ὑφελόμην δίκην μὴ προσήκουσαν. ἐπέθηκα τούτοις καὶ φόνον. ταῦτα με νῦν βάλλουσι. τοῖς ἐμοῖς ἁπλῶς ἁλίσκομαι. Ὢ δίκης βαρείας μὲν, ἀλλ' ἀπὸ τοῦ πεπονθότος ἐχούσης τὴν ἀρχήν. γάμον ὕβρισα, καὶ πρὸς γάμου κολάζομαι. ὅθεν ἠδίκουν, ἐκεῖθεν καὶ πέπληγμαι. εἰς παιδὸς ἥμαρτανον γένεσιν, καὶ παῖδα νῦν ἔχω τὸν δήμιον. καὶ πατὴρ εἰς παίδων γονὰς ἀδικῶν, ὑπὸ παιδὸς σωφρονίζομαι. παρέβην ὦ παῖ τὴν φύσιν ἐγώ. καὶ γίνῃ παρὰ τὴν φύσιν αὐτὸς ἀδικώτερος. πότερον ἐμαυτὸν τῆς ἀτοπίας, ἢ τὸν παῖδα τῆς παρανομίας ἀποκλαύσομαι; ἐμιμήσω τὸν τεκόντα ὦ παῖ τὰ μὴ προσήκοντα. καὶ πατέρα ἁμαρτόντα τιμωρῶν, ἁμαρτάνεις διπλάσια, καὶ μὴ προσήκουσαν ἀρχὴν ὑφαιρούμενος, καὶ τὸν εἶναι σοι δόντα μηκέτ' εἶναι βουλόμενος. ἆρ οὖν εἰς τὰ ὅπλα βλέψω; καὶ πολέμῳ διακεινοῦμαι περὶ τῆς ἀρχῆς; καὶ πῶς ἂν ὑπεξέλθω τοῖς ἐμοῖς σπλάγχνοις; οὐκ ἔχω πῶς ἂν ἐπανατείνω τὸ ξίφος κατὰ παιδός. αἰσχύνομαι πατὴρ καλεῖσθαι πολέμιος. φεύγων οἰχήσομαι. τῆς ἐρημίας καὶ νῦν ἐπιλήψομαι. οὕτως ἐγὼ περιεῖναι πειράσομαι. οὔπω τῷ παιδὶ παιδοκτονίας ἀφορμὴν ὑφελοῦμαι, καὶ παιδοκτονίας αὐτὸς οὐ δέξομαι ἐξ ὅπαια. εἰ δέ που δεήσει καὶ μάχεσθαι, ἔχω τὸν στρατηγήσαντα. τοῦτον ἐπαφήσω τοῖς ὅπλοις, πρότερον παρασκευασάμενος ὡς παῖδα ζωγρεῖν, καὶ μὴ κτείνειν ὡς τύραννον. οὕτω καὶ Σαοὺλ ἐκεῖνον ὑπνοῦντα λαβὼν, ἐφεισάμην, οὐχ ὡς ἐχθρὸν ἀναιρῶν, ἀλλ' ὡς κηδεστὴν περιποιούμενος.

Τίνας

Τίνας ἂν εἴποι λόγους ὁ Δαυὶδ ἐν σπηλαίῳ καταλαβὼν ἀφύλακτον ὑπνοῦντα τὸν Σαοὺλ, ὅτε ὑπ' αὐτοῦ ἐδιώκετο. έ.

Ἔχω σε τὸν διώκτην ὁ δραπέτης ἐγώ. ἔχω σε τὸν εἰς ἀναίρεσιν ἕτοιμον, εἰς τὸ παθεῖν ἑτοιμότερον. ὢ τῆς ἐκ Θεοῦ τῶν πραγμάτων ἐπιφορᾶς. ἀντέστραπταί σου τὸ βούλημα, καὶ ὃ δρᾶν ἠπείλεις, τοῦτο νῦν αὐτὸς πρόκεισαι. καὶ ὃν λάκκον ὤρυξας, εἰς τοῦτον ἐμπέπτωκας. διώκων ἑάλως, καὶ φεύγων κεκράτησαι. ὕπνῳ βέβλησαι, καὶ τὸ σῶμα μετὰ καὶ τῆς φυλακῆς καταβέβληται. κἂν εἰ βούλοιτό τις, ἄπονον τὸ θήραμα. εὐάλωτος ὁ πολέμιος. κεῖται μὲν ὁ φυγαδεύων, ἄφρακτος τὴν δεξιὰν, ἀφύλακτος τὸ σῶμα. ὥς τάγε τῶν δορυφόρων ὕπνος ἐξέψατο, καὶ τὴν πολλὴν φυγὴν ἐκείνην διέλυσεν. ἐφέστηκα δὲ ὁ φυγὰς, καὶ τὸ ξίφος ἐγγὺς, καὶ ἡ χεὶρ οὐκ ἄνοπλος. τί φὴς ὁ γενναῖος; διώκεις, ὃν ἐν σπηλαίῳ καθεῖρξας; ζητεῖς, ὃν ἔχεις ξυνέστιον; σὺ μὲν ἠπείλεις, ἐγὼ δὲ ἐπυνθανόμην τῆς ἀπειλῆς. σὺ μὲν ἐσκαιώρεις τὴν ἐπιβουλὴν, ἐμὲ δ' οὐκ ἐλάνθανε τὸ μηχάνημα. ἐμελέτας τὴν δίωξιν. καὶ ὁρῶν ἐφαντάζου τὰς κορυφὰς, καὶ τοὺς ὑψηλοτέρους περιεσκόπεις τῶν λόφων. ὁ δ' ἐγγύς που παρεδυόμην αὐτός. Ὦ Θεὲ πάτριε, εἰς χεῖρας ἔχων, ὃν ἔσπευδε, λαβεῖν οὐκ ἐγίνωσκεν. ἀλλ' ἦμεν ἐφ' ἑνὸς τοῦ σπηλαίου, καὶ μία πέτρα φυγάδα, καὶ διώκτην ἐδέχετο. εἶθ' ὁ μὲν ὑπνώττει, καὶ πέπτωκε, καὶ φροῦδοι μὲν οἱ φύλακες, φροῦδα δὲ τὰ τῆς ἐπιβουλῆς. καὶ μικροῦ δεῖν ὡς ἐκ πολιορκίας ἁλόντες, τὸ παθεῖν οὐ δεδοίκαμεν. τίνες ἄρα σοι νῦν, ὦ Βασιλεῦ, προβάλλουσιν ὄνειροι; ἆρα δοκεῖς ἔχειν ἐχόμενος; ἆρα νομίζεις ἁλίσκειν, αὐτὸς ἁλισκόμενος; τάχα που διώκεις καὶ κείμενος; ἐπισπεύδεις ἴσως τὴν καταδρομὴν, καὶ δεσμώτης ὕπνου γενόμενος; ἀλλ' ὦ κακοὶ φύλακες. ὦ δορυφόροι πρὸς ὕπνον διωκόμενοι. εἴμοι

παρῶ, ἡδέως ἂν ὑμᾶς ἐκόλασα. τὸ γὰρ ἐφ' ὑμῖν, ἀφύλακτος ὁ Βασιλεὺς, καὶ προδέδοται. οὕτως ἐγὼ προδότας ὑμᾶς τίθημι. ἀλλ' ἔγωγε καὶ ὡς βασιλέα φυλάξω, καὶ ὡς μισοῦντα φυλάξομαι. κἂν γὰρ ὡς ἐλαιώοντα νομίζω πολέμιον, ἀλλ' ὡς χειστὸν Κυρίου σεβάζομαι, κἂν ὡς δυσμεναίνοντα μὴ στέργειν βιάζομαι, ἀλλ' ὡς κηδεστοῦ περιέχομαι. φείδεσθέ μοι καὶ ὑμεῖς, ὦ συστρατιῶται, τοῦ βασιλέως, ὃν πολλάκις ἐδορυφορήσαμεν. μὴ νῦν τοῦτον ἀνέλωμεν. οὐ βούλομαι τυραννίδα συναναμίξαι μου τοῖς ἀριστεύμασι. μή μοι τὰ τρόπαια φόνῳ παρανόμῳ συγκρύψητε, μηδὲ μετὰ Γολιὰθ καὶ χειστὸς Κυρίου τὴν ἐμὴν δεξιὰν αἰτιάσθω. Μωϋσῆν οἶδα νομοθέτην, καὶ νομοθετοῦντα Θεὸν, ὑφ' οὗ νῦν σέσωσμαι, ᾧ καὶ βασιλέα πολέμιον χαρισώμεθα. φόνος ἅπας νόμοις ἀπείρηται. τὸ δὲ τῆς βασιλείας σεμνότερον καὶ τὸν φόνον ποιεῖται δεινότερον. ἀφαιρετέον μικρὸν καὶ τῆς χλαμύδος. περιαιρετέον τι καὶ τοῦ δόρατος, ὡς ἐγὼ τῆς πέτρας ἐξιόντι ταυτησὶ τὰ σύμβολα ἐπιδείξωμαι. καὶ κακίσω μὲν τοῦ ὕπνου τοὺς φύλακας, διηγήσομαι δὲ καὶ ὡς ἡμῖν εἴληπται, καὶ ὡς ἐφεισάμεθα δυσμεναίνοντος.

Τίνας ἂν εἴποι λόγους Κηπωρὸς ἐπιμελούμενος κήπου, καὶ μεταφυτεύσάμενος καὶ Κυπάριττον ἐπ' ἐλπίδι καρπῶν, καὶ τῶν ἐλπίδων ἀστοχήσας. ς.


Ὦ Κενῶν ἐκείνων πολλῶν ἐλπίδων, αἷς ἠνδραπόδισμαι. ὦ πόνων πολλῶν ἐκείνων ἀκαίρων, οὓς ἐκπεπόνηκα. τὸν Ἀλκινόου κῆπον ἐκηπευσάμην αὐτός. καὶ ἦν μοι παρὰ τῷ κήπῳ καὶ φυτὰ, καὶ δένδρα, καὶ ἄνθεα. καὶ χάριτες ἠρέμα πως ὑπέτρεχον τὰ φυτὰ, καὶ τοῖς ἄνθεσιν ὑπεχόρευον, καὶ ἐπὶ πᾶσι κερδῷος Ἑρμῆς, πόνους ἀμειβόμενος φυτουργοῦ. ἦν ἐκεῖ παρὰ τῷ λειμῶνι Μηλέα πολύκαρπος. εἶπεν ἂν Ὅμηρος ταύτην ἰδὼν Ἀγλαόκαρπον. καὶ ἥρπαζέ μου τοὺς ὀφθαλμοὺς, ὅτι καλὸν τὸ μῆλον.

λον. δι᾽ πρόσωπον τὸ μῆλον. ἡδὺ τὸ μῆλον ἰδεῖν. ἡδὺ τὸ μῆλον φαγεῖν. ἡδὺ τὸ μῆλον ὀσφρήσασθαι. πάντα καλὸν τὸ μῆλον, καὶ ἡδὺ, καὶ φαγεῖν, καὶ ὀσφρήσασθαι. χάριεν ὑποπνεῖ, καὶ ὅλον ἐρωτικόν. τὸν φυτουργὸν ὀλβιοῖ, πολλοῦ ζητηθὲν, καὶ πειράμενον. εἴποις ἂν ἰδὼν ἐν εἰκόνι γεγραμμένην Μηλέαν ὁρᾶν, καὶ παρὰ τοῖς κλάδοις γεγράφθαι τοὺς Ἔρωτας, μῆλα τρυγῶντας, καὶ παίζοντας. οὕτω καλὸν τὸ μῆλον, ὡς καὶ τρυγητὰς ἔχειν Ἔρωτας. ἐκείνην Μηλέαν ἰδὼν, εἶδες ἂν καὶ Πάριν κριτὴν, καὶ Θεὰς περὶ κάλλους φιλονεικούσας, καὶ μῆλον Ἀφροδίτῃ διδόμενον, καὶ τὸν δικαστὴν τὰς ἀμοιβὰς φιλοτίμως ἀντιμετρούμενον. Συκαῖ περὶ τὸν κῆπον ἦσαν γλυκύκαρποι, καὶ τοὺς καρποὺς μελισσῶνας εἶχον. τὸ γάρ τοι σῦκον κεχηνὸς ἀπέρρει τοῦ μέλιτος, καὶ μονονοὺ προσεμβδία τὸν θεατήν. ὁ δέ τις ὠνούμενος τὰς ὀπώρας εἶδε τὸ σῦκον, ὠνήσατο, τῆς δ᾽ εὐτυχίας μακαρίσας τὸν φυτουργόν. καὶ Μῆλον περσικὸν ἐκπεδευσάμην παρὰ τῷ κήπῳ μου. καὶ ἦν τὸ μῆλον ὑπόχνοον, καὶ ὅλην τὴν παρειὰν κατὰ παρθένον ἐρυθραινόμενον, καὶ παρὰ μέρει τὸ μῆλον ὑπόκιρρον. κἂν τὸν καιρὸν προδράμῃ, καὶ προφοιτήσῃ τῶν ὀπωρῶν, ζητητέον τὸ μῆλον, οὐκ ὀλίγου τὸν φυτουργὸν ἀμειβόμενον. κἂν μετὰ τὴν ὀπώραν βραδυπορήσῃ, ἀργυρείων ἐπειράμην τὸ μῆλον, καὶ τῶν πόνων ἀπονάμην τὰς ἀμοιβὰς πολυχρύμονας. ἦν θάλλ τὸ Ῥόδον, καὶ συν αὐτῷ δὴ τῷ σχηματισμῷ καθηδυνόμην τὴν ὄψιν, καὶ ὄσφρησιν. οὐ διακενῆς μοι τὰ τῶν ἱδρώτων, κἂν περὶ Κρίνα τούτους κεκένωκα, κἂν περὶ δὴ τὴν Ἰωνιὰν, κἂν περὶ δὴ τὴν Ἀναδενδράδα, κἂν περὶ Νάρκισσον. εἰ καὶ Μαλάχην ἐφυτηκόμησα, ἦν Ἀσφόδελον ἐκπεδευσάμην, κἂν Θριδακίνην, καὶ εἴτι τούτων ἐλάχιστον, ἀπωνάμην τῶν ἱδρώτων ἀργυρολογούμενος. δίκελλαν εἶχον, καὶ τὴν ἀμάραν ἀνώρυττον, καὶ ὕδατος μεταδιδοὺς τοῖς φυτοῖς, χρυσᾶς τινας ἀντεφιλοτιμούμην τὰς ἀμοιβὰς, καὶ Πακτωλὸν ἐδόκουν μετοχετεύειν τῷ κήπῳ μου, ὅτι μοι τὰ τῶν πόνων ἐπικερδέστατα. ἐπεὶ δὲ τὰ τῶν ὀφθαλμῶν περιλιχνεύεται τὰ πολλὰ, καὶ φιλοκερδέστερα

προαίρεσις τὰ μὴ παρόντα ζητεῖ, καὶ τῶν ὄντων ἡγεῖται κρείττω τὰ προσδοκώμενα, εἶδον καὶ Κυπάριττον εὐθαλῆ, καὶ μετεκηπευσάμην ταύτην τῷ κήπῳ μου. καὶ περὶ μίαν ἀμάραν τὸ ὕδωρ συναγαγὼν παρὰ τὴν Κυπάριττον, μεταφυτευσάμενος τὸ φυτὸν παρὰ τῇ διεξόδῳ τοῦ ὕδατος, καὶ χοῦν ἐπέβαλλον τῷ φυτῷ, καὶ πασσάλοις περιεκύκλωσα, καὶ λύγοις τοὺς πασσάλους ἐστεφάνωσα, ἐπιμελούμενος τοῦ φυτοῦ καὶ φυλακῇ, καὶ ὕδατι, καὶ χοΐ, ὅλους ὀφθαλμοὺς, ὅλην καρδίαν, ὅλην αὐτὴν μου ψυχὴν περὶ μόνην ταύτην μεταγαγὼν τὴν Κυπάριττον, κενάς τινας ἐλπίδας τῶν ἐν χερσὶ προτιμώμενος. Ζέφυρος ἡδὺς ἠρέμα πως ὑποπνέει τῷ ἔαρι, καὶ ἡ Κυπάριττος ἐδόκει βλακεύεσθαι κατά τινα παρθένον σεσοβημένην ἐξ ἔρωτος. ἑώρων τοῦ φυτοῦ τὴν ἀναβολήν. κεχηνὼς εἱστήκειν ὁρῶν ἀτενῶς, καὶ ἦν ἐραστὴς ὁ γηπόνος, καὶ ὁ φυτουργὸς αἰχμάλωτος τοῦ φυτοῦ. ἔαρος καιρός, καὶ διηρεθίζετο τὰ φυτὰ, καὶ κατηνθίζετο καὶ Κυπάριττος. παρῆλθεν ἔαρ, καὶ εἰς καρποὺς ἐτράφη τὰ ἄνθη· καὶ τὸ ἄλλο μὲν ἐκαρποφόρησε τῶν φυτῶν. ἡ δὲ καλὴ Κυπάριττος ἀπηνθίσατο. χειμῶνος καιρός, καὶ φυλλοροεῖ τὰ φυτὰ, καὶ τὸν κόσμον ὅλον παντελῶς ἀποβάλλεται, καὶ κατὰ κόμην τὸν ἐκ τῶν φύλλων ἀποκείρεται βόστρυχον. ἀλλ' ἡ Κυπάριττος βοστρυχοῦσα καὶ μέσῳ δὴ χειμῶνι τέθηλεν ἀμετάβλητα. κἂν ἔαρ, ἡ Κυπάριττος εὐθαλής. κἂν θέρος, ἡ Κυπάριττος τέθηλε. χειμὼν, καὶ φθίνουσι τὰ φυτὰ, καὶ οἷον νεκροῦται τῷ ψύχει βαλλόμενα. ἡ δὲ Κυπάριττος, πάλιν Κυπάριττος, καὶ ὅλον ἔαρ ἐνζωγραφεῖ τοῖς φύλλοις, καὶ τοῖς ἄλλοις ἀναβλαστήμασιν. ἔχαιρον ὁρῶν τὸ φυτόν. ὥρων ὑψίκομον τὸ φυτόν. ὥρων ἀνατρέχον εἰς οὐρανὸν, καὶ τὴν καρπὸν ἐκαραδόκουν τὴν οὔπω πολλῶν χαρίτων ἐπάξιον. τὰ δὲ ἦσαν ἐλπίδες κεναὶ, καὶ αὔτικρυς ὄνειροι, καὶ νῦν κατὰ τὴν παροιμίαν ἄνθρακας εὑρίσκω τοὺς θησαυροὺς, καὶ τῶν περὶ τὴν Κυπάριττον μόχθων καρποὺς καρποῦμαι τὰ δάκρυα, καὶ τῷ Προμηθεῖ μὴ πεισάμενος, νῦν ὅλῳ συνανακέκραμαι τῷ Ἐπιμηθεῖ. ὅλον τοὔδωρ διεποτίζετο τὴν Κυπάριττον. τὰ δ' ἄλλα

τῶν

τῶν φυτῶν ἀπεψύγη τῷ δίψει καὶ πέπτωκε, μονονουχὶ καὶ ἀδικίας ἐπεγκαλοῦντα τὸν φυτουργὸν, ὅτι μὴ φυτουργεῖται κατὰ τὴν ἄκαρπον ταύτην Κυπάριττον. ἐγὼ δὲ ἄρα τῷ εὐθαλεῖ πεπλάνημαι τοῦ φυτοῦ. τῷ εὐσαλεῖ τὴν ὄψιν σεσύλημαι. τῷ οὕτως ἰθυτενεῖ κενὰς ἐλπίδας ἀπεθησαύριζα. καὶ νῦν ἐκτέτηκα τοῖς ὀφθαλμοῖς χαρισάμενος. νῦν γοῦν κατὰ τοὺς εὐηθεστέρους τῶν ἁλιέων καὶ φυτουργὸς φρονήσει πληγείς. μετοχετεύσω τὸ ὕδωρ ἐπὶ τὰ λάχανα. ἐπιμελήσομαι τῶν φυτῶν. ἀνακαθάρω τοὺς ὀχετούς. δενδροκομήσω τὰ νοσήσαντα τῶν φυτῶν, χαίρειν εἰπὼν τῇ Κυπαρίττῳ, καὶ ταῖς ταύτης ἀναβολαῖς. κἂν τὸ ἰθυτενὲς προβάλληται, κἂν τὸ εὐσαλὲς, ἀντιπαραθήσω ταύτης τὸ ἄκαρπον, γνωμολογούμενος προσφορώτατα, ὡς οὐδενὸς λόγου πριαίμην βροτὸν, ὅστις κεναῖς ἐλπίσι θερμαίνεται.



ΣΕΒΗ'ΡΟΥ ΣΟΦΙΣΤΟΥ͂ Α'ΛΕΞΑΝΔΡΕ'ΩΣ

Η'θοποιΐαι.

Τίνας ἂν εἴποι λόγους, ἀκούσας Α'χιλλεὺς τὸν Πύῤῥον πορθήσαντα τὴν Τροίαν. α'.

ΕΥ͂ γε τῆς φύσεως. οὐ γὰρ ἤμβλωσε Πύῤῥος τοῦ τεκόντος τὴν εὔκλειαν, μᾶλλον δὲ καὶ ταύτην παρέδραμε. τὴν ἐμὴν γονὴν διὰ τῶν πράξεων ἐπεσφράγισεν. ἠρνήσατο δὲ τάχα, παῖδα τοῖς ἔργοις ἀποδείξας τὸν φύσαντα. ἐμαχόμην καλῶς, καὶ βαρβάρων πλῆθος ἀπώλεσα. μετέβαλλον Ξάνθου τὰ ῥεύματα, καὶ διὰ τὸν φόνον ἐρυθρὸν παρεσκεύαζον. δραπέτας τοὺς ἐχθροὺς ἐποίουν ἑκάστοτε, καὶ τοῖς τείχεσιν ἐναπέκλειον. ἀλλ' ἕως τούτων ὑπῆρχεν ἡ δύ-


δύναμις. μετὰ γὰρ τὸ τεῖχος ἡσύχαζον, καὶ περαιτέρω τι πράττειν οὐκ ἴσχυον. ὁ δέ γε παῖς ἐμὸς, καὶ τειχῶν κατεφρόνησε, καὶ τὴν πόλιν ἔσχεν εἰς τρόπαιον. ἀνῃρέθημεν ὑπ' ἐχθρῶν, καὶ πάλιν τοὺς ἐχθροὺς διὰ τοῦ παιδὸς ἀνῃρήκαμεν. οὐκέτι Πύῤῥε δακρύω τὸν θάνατον, ἔκδικόν σε τὸν αὐτὸν, καὶ παῖδα κτησάμενος. εἰ γὰρ καὶ παρὰ τὸν ᾅδην ἐγεγόνειν ἐγὼ, ἀλλὰ καὶ παρὰ σοὶ μετὰ τῶν βαρβάρων τὸ Ἴλιον.

Τίνας ἂν εἶπε λόγους Μενέλαος, τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἁρπάσαντος. β'.

Οἴμοι τῶν συμφορῶν. ἠτυχήσαμεν εὐσεβήσαντες, καὶ ξένον ἀποδεξάμενοι, ξένοι τῶν οἰκείων γεγόναμεν. βαρβαρικὸν μετὰ πάθος τρόπον μεμάθηκα, ὧν εὖ πάσχοντες τοὺς εὖ ποιοῦντας ἀμύνονται, συμφορὰς μᾶλλον αὐτοῖς ἀποδιδόντες, οὐ χάριτας. Ἀλέξανδρος ἧκε πεπλανημένος. ἠλέουν τοῦτον ὡς ξένον, τὸ, πόῤῥω τῆς πατρίδος εἶναί τινα, μεγίστην συμφορὰν λογιζόμενος. ἔνδον ἐν τοῖς οἴκοις ἐλάμβανον, ἐπικουφίζειν ἐθέλων τοῦ δυστυχήματος. ὁ δὲ, ὥσπερ τοὐναντίον παρ' ὑμῶν ἀδικούμενος, μισθὸν τῆς φιλοξενίας ἀποδέδωκε δάκρυα. κενὰ μὲν γὰρ χρημάτων τὰ οἴκαδε. χηρεύειν δὲ τῆς συνοίκου τὸν εὐεργετήσαντα παρεσκεύασε. καὶ ὡς ἔοικεν μνηστὴρ ὑπῆρχεν, οὐ ξένος ὁ βάρβαρος. κἀγὼ τῇ συνοίκῳ μοιχὸν ἔτρεφον ἀγνοούμενον. οὐχ ἡμᾶς μόνον ἠδίκησας ἄνθρωπε, πάντας δὲ μᾶλλον, ὅσοι τῆς αὐτῆς πατρίδος στερήσονται. τίς γὰρ μεθ' ἡμᾶς ὑποδέξεται ξένον; τίς ἐλεεῖν δυστυχοῦντας ἀνέξεται, πρόδηλον ἔχων ἐκ τῆς εὐσεβείας τὸν κίνδυνον; τίς οἰκτείρειν ἐθελήσει πενόμενον, ἵνα πένης αὐτὸς παρ' ἐκείνου γενήσεται; τί οὖν; στρατεύειν κατ' ἐκείνου καιρὸς, καὶ ἢ τοῖς ἐμοῖς συναπόλλυσθαι, ἢ τιμωρεῖσθαι τὸν ἀδικήσαντα.

Τίνας αὖ εἶπε λόγους Ἕκτωρ ἀκούσας ἐν ᾅδου Πρίαμον συγγνῶσαθαι Ἀχιλλεῖ. γ'.

Μόνος πρειόντων πατὴρ ὑπῆρχεν ὁ Πρίαμος. μόνος τοὺς παῖδας ἀληθῶς ὁρωμένους ἠσπάζετο. ἐν βίῳ πατὴρ, μετὰ βίον ἐστὶ πολέμιος. φονεὺς ἡμέτερος ὁ πατὴρ μᾶλλον ἐστὶ τοῦ Θέτιδος. ἐχθρὸς ὁ πεσὼν ὑπὲρ τὸν ἀνελόντα γεγένηται. τῷ μὲν γὰρ τὸ ἀντίπαλον ἐστὶν ἀναπολόγητον. ὁ δὲ προαγαγὼν πρὸς τὸν αὐτόχειρα σπένδεται. καὶ οὔτε τοῦτο δεινὸν, καί περ ὑπάρχον δεινόν. ἀλλ' ἤδη καὶ γέγονεν ὁμοτράπεζος, καὶ συνευωχεῖται πανηγυρίζοντι, κατὰ τοῦ παιδὸς ἄγων τὰ νικητήρια. οὐ τί αὖ γένοιτο μιαρώτερον; ἢ μᾶλλον εἰπεῖν, ἀγριώτερον; οὐ δὲ Πηλεὺς ὡς εἰπεῖν εὐθὺς μιαιφονοῦντι τῷ παιδὶ συνήθεις, Πρίαμε. οὐκ οἶσθα πατὴρ γεγενημένος; ἢ μέχρι τοῦ τεκεῖν ὑπάρχειν ἐνόμιζες; κρεῖττον ἦν πρειόντος πρειορᾷν, ἢ πεπτωκότος ἐπιλανθάνεσθαι. ἅπτῃ χειρὸς συνεσθίων, ὦ Πρίαμε, δι' ἧς ἀπόλωλέ σοι τὰ τιμιώτατα; οὐχ ὁρᾷς φονεὺς τοῦ παιδὸς αἱματουμένην ταύτην τὴν δεξιὰν, καὶ ὡς εἰπεῖν ἔτι κατὰ τῆς τραπέζης ἐναποστάζουσαν; ἀλλ' ὡς ἔοικε νόμον ἀγαπᾷς οὐκ ἀνθρώπινον, λήθῃ παραδιδοὺς μετὰ θάνατον τὰ ποθούμενα.



ΛΙΒΑΝΙΟΥ ΣΟΦΙΣΤΟΥ ἜΚΦΡΑΣΙΣ

Πανηγύρεως.

Πανηγύρεων δὲ, μελλουσῶν μὲν πόθος ἀνθρώποις, παρουσῶν δὲ ἡδονὴ, πεπαυμένων δὲ μνήμη. καὶ γὰρ αὖ τὸ μεμνῆ-

μνῆσθαι καθίστησι τοὺς ἀνθρώπους ἐγγὺς τῶν ἔργων αὐτῶν. ἔχει δέ τινα καὶ ὠφέλειαν ἡ μνήμη. περὶ γὰρ Πανηγύρεως λέγοντα, καὶ περὶ Θεῶν ἀνάγκη λέγειν, οἷς αὐταὶ ποιεῖσθαι κατεδείχθησαν. Ὧν προσιουσῶν, παρασκευάζονται μὲν μετ' εὐθυμίας ἄνθρωποι. παρασκευάζονται δὲ οἱ μὲν πολλοὶ ταῦτα, ἀφ' ὧν ἑστιάσονται λαμπρῶς. οἱ δὲ δὴ ἀξιώτεροι ταῦτά τε, καὶ οἷς θεραπεύουσι τοὺς Θεούς. καὶ ἀγρόθεν ἄγεται βοσκήματα, καὶ οἶνος, καὶ τ' ἄλλα ὅσα ἂν ἐξ ἀγροῦ γένοιτο. ἐσθῆτάς τε ἐκκαθαίρουσι, καὶ σπουδάζει ἕκαστος, ὅπως ἂν διὰ πάντων ἑορτάσῃ. τοῖς δὲ ἐνδεεστέροις παρὰ τῶν εὐπόρων ἐστὶν ἱμάτια χρησαμένοις κοσμεῖσθαι. Ἐπιστάσης δὲ τῆς κυρίας, Ἱερεῖς μὲν ἀνοίγουσι τὰ Ἱερά, καὶ ἀγαλμάτων ἐπιμελοῦνται, καὶ οὐδὲν τῶν εἰς κοινὸν φερόντων ῥαθυμεῖται. μεσταὶ δὲ αἱ πόλεις ὄχλου, τῶν ὁμόρων συῤῥεόντων ἐπὶ τὰ δρώμενα, τῶν μὲν πεζῇ, τῶν δὲ ναυτίν. ἡλίου δὲ ἀνίσχοντος ἐν ἐσθήμασι λαμπροῖς ἐπὶ τῶν νεὼν φοιτῶσι θεραπεύσοντες Θεὸν τοῦτον, ᾧ τελεῖται ἡ πανήγυρις. ἡγεῖται μὲν οὖν ὁ δεσπότης φέρων λιβανωτόν. ἕπεται δὲ ὁ ἱκέτης ἱερεῖον κομίζων, καὶ παρ' ἅπασι συνομαρτοῦσιν υἱεῖς, οἱ μὲν ἤδη αἰσθανόμενοι Θεῶν ἰσχύος, οἱ δὲ κομιδῇ νέοι. ὁ μέν τις ἄπεισι τεθυκώς. ὁ δὲ ἔρχεται τοῦτο δράσων. εὐχαὶ δὲ πολλαὶ πανταχοῦ, καὶ πρὸς ἀλλήλους ῥήματα εὔφημα. γυναικῶν ἱερεῖα μὲν ἐν Ἱεροῖς. ταῖς δὲ ἄλλαις ἀρκεῖ θεάσασθαι τὸν ὅμιλον τῶν ταῦτα ποιούντων. Ἐπειδὰν δὲ αὐτοῖς εὖ ἔχῃ τὰ πρὸς τοὺς δαίμονας, διαδέχονται τράπεζαι, ἐν αἷς ὕμνοι μὲν αὐτοῦ τοῦ τιμωμένου τῇ πανηγύρει Θεοῦ. φιλοτησίαι δὲ καὶ ᾄσματα, σπουδαῖα μὲν τὰ τῶν σπουδαίων, εἰς δὲ γέλωτα πεποιημένα τὰ τῶν μὴ τοιούτων. ἑστιῶνται δὲ οἱ μὲν ἐν τοῖς Ἱεροῖς, οἱ δὲ οἴκοι. καὶ δέονται πολῖται ξένων παρὰ σφίσιν εὐωχεῖσθαι. καὶ ἐν τῷ πότῳ φιλίαι μὲν ἀρχαῖαι βεβαιοῦνται μειζόνως, αἱ δὲ ἀρχὴν λαμβάνουσιν. ἐξανιστάμενοι δέ, οἱ μὲν τοὺς ξένους παραλαμβάνοντες ἐπιδεικνύουσιν ὅ,τι ἐν τῇ πόλει θέας ἄξιον. οἱ δὲ ἐν ἀγορᾷ συγκαθήμενοι διαλέγονται σὺν φαιδρότητι. κατηφὴς δὲ οὐδείς, ἀλλὰ ἀνεῖται

πρὸς

πρὸς εὐφροσύνην τὰ πρόσωπα. χρεῶν εἰσπράξεις ἠρεμοῦσι· καὶ πᾶν ὅ,τι λυπηρὸν ἐν δευτέρῳ γίνεται. γραφαὶ δὲ ἡσυχάζουσι, καὶ δικαστὴς οὐ ψηφίζεται. τὰ δὲ ἡδονὴν ἔχοντα μόνα ἀνθεῖ, καὶ οὔτε οἰκέταις πληγῶν φόβος. παιδαγωγοὶ δὲ τοῖς νέοις ἥμεροι. δειπνεῖν δὲ σὺν τῆς ἑσπέρας λαμπρῶς. ἔνθα δὴ πολλοὶ μὲν λαμπτῆρες, ὡς ἐμπεπλῆσθαι φωτὸς τὸ ἄστυ, πολλοὶ δὲ κωμασταὶ, καὶ αὐλῶν εἴδη, καὶ συρίγγων ἐν στενωποῖς ᾠδαί. τῶν μὲν τὰ αὐτὰ ᾀδόντων, τῶν δὲ οὐ τὰ αὐτά. Τότε καὶ εἰς μέθην πιεῖν οὐ πᾶν ὄνειδος. δοκεῖ γάρ πως καὶ τούτου τὴν αἰσχύνην ὁ καιρὸς ἀφαιρεῖν. τῇ δὲ ὑστεραίᾳ τὸ μὲν θεῖον οὐκ ἀμελεῖται. βραχύτεροι δὲ οἱ τῇ προτεραίᾳ θεραπεύσαντες στείχουσιν ἐπὶ τὰ θεάματα· οἷς μὲν εἰσὶ στίχων ἅμιλλαι ἐπὶ ταῦτα. οἷς δὲ ἐν τῶν σκηναῖς ἐπέκεινα. Καὶ ἡ τρίτη δὲ οὐ πολὺ τούτων λείπεται· καὶ συνεκτείνονται τῷ χρόνῳ τῆς ἑορτῆς αἵ τε θυμηδίαι, καὶ τὸ τῆς γνώμης φαιδρόν. ληγούσης δὲ πανηγύρεως εὐχὴ περὶ τοῦ μέλλοντος, ἰδεῖν αὖθις τὴν πανήγυριν αὐτοὺς, καὶ παῖδας, καὶ ἐπιτηδείους. καὶ ἀπίασιν οἱ ξένοι, καὶ πολῖται παραπέμπουσιν.

ΤΟΥ ΑΥΤΟΥ ΧΡΕΙΑ.

Θεόφραστος ἐρωτηθεὶς, Τί ἐστιν Ἔρως; ἔφησε, Πάθος ψυχῆς σχολαζούσης. α'.


Ἐμοὶ δοκεῖ καὶ Θεόφραστον ἐπαινεῖν, ὃς ἐπὶ φιλοσοφίᾳ λαμπρὰν ἐκτήσατο δόξαν, ζηλωτὴς Ἀριστοτέλους τοῦ διδασκάλου γενόμενος, καὶ τοὺς ἐκείνου πόνους, καὶ τὰς ἐκείνου διδασκαλίας δείξας τοῖς ἑαυτοῦ συγγράμμασιν. ᾧ καὶ τοὔνομα διὰ τὴν περὶ τὸ λέγειν ὑπῆρξεν ἀρετὴν, τῶν τὸν ἐκείνου λόγον τεθαυμακότων, προσηγορίαν θεμένων αὐτῷ τὸν Θεόφραστον. τοῦτον, ἤρετό τις προσελθὼν, ἀξιώσας παρ' αὐτοῦ μανθάνειν, Τί ποτε ἄρα χρὴ νομίζειν τὸν Ἔρωτα, καὶ περὶ τί φύεται τῶν ὄντων.

ὁ δὲ

δὲ πρὸς αὐτὸν ἔφη. Τὴν ἀφειμένην τῶν φροντίδων ψυχὴν, ταύτην τοῖς ἐρωτικοῖς κατέχεσθαι πάθεσι. καὶ ταύταις ἐνοχλεῖν τὸν Ἔρωτα ἔγνωμεν, ὁπόσας ἐστὶν εὑρεῖν τῶν ἄλλων πραγμάτων κεχωρισμένας. Εὖγε τοῦ λόγου Θεόφραστε. καλῶς ἐμοὶ κατανενοηκέναι δοκεῖς τοῦ πάθους τὰς ἀφορμάς. μαρτύριον δὲ τῶν εἰρημένων ἐναργὲς τὸ τοὺς ὀρθῶς ἔχοντας λογισμοὺς, τούτῳ τῷ λόγῳ συμβαίνειν. ὅτι δὲ τοῦτο τῶν μετεχόντων ἀληθείας ἐστὶ τὸ παρὰ τοῦ Θεοφράστου ῥηθὲν γνῶναι ῥᾴδιον. θῶμεν γὰρ οὑτωσὶ, καὶ λογισώμεθα ψυχὴν εἶναί τινα, μήτε παιδείας ὀρεγομένην, δι' ἧς ἢ ῥητορεύειν ἐστὶν, ἢ φιλοσοφεῖν. μήτ' αὖ μετιοῦσαν τὴν τῶν χειρῶν ἐργασίαν, οἷον χαλκευτικὴν, ἢ τεκτονικὴν, ἢ τὸ ναυπηγεῖσθαι ναῦς, ἢ τὴν τῶν οἰκοδομούντων, ἢ τὴν ὑφαντικὴν, ἢ τινὰ τοιαύτην ἑτέραν, ἧς τὸ ἔργον ἐν ταῖς χερσίν. εἰ τοίνυν τοιαύτην εὑρίσκοιμεν φύσιν ἀργίᾳ χαίρουσαν, ὄκνοις ἡδομένην, ἀτεχνίᾳ συνοῦσαν, ἆρα τὴν τοιαύτην οὐκ ἂν ἀποφαινοίμεθα τῶν αὐτῶν σπουδασμάτων, ἢ τινὰ χείρω νοσεῖν; ἐπεὶ καὶ τὸν ἀντὶ τοῦ γεωργεῖν οἴκοι καθήμενον, καὶ καταρραθυμοῦντα τῆς γῆς, καὶ τὸν ἀντὶ τοῦ πλεῖν, ἐν τῇ γῇ μένοντα μάτην, οὐ πεπιστεύκαμεν τῇ διανοίᾳ παρέχειν σχολὴν, ὥστε τῶν ἀτόπων ἐρᾷν; καὶ γὰρ οὕτως ἔχει, καὶ τὸ πρᾶγμα φύσει τοιοῦτόν ἐστιν. ὁ περὶ μηδενὸς τῶν ἀναγκαίων πεφροντικὼς, μὴ δέ γε τῇ ψυχῇ μεριμνήσας, μὴ δὲ ἐπί τινων ἐπιτηδευμάτων ἑλκόμενος, οὗτος ἀντὶ τοῦ τῶν βελτιόνων ἐρᾷν, ἃ τῆς ἀργίας ἐστὶν, ὑπομένει, τῆς τοῦ σώματος ἐπιθυμίας ἡττώμενος, καὶ ταύτῃ δουλεύων, καὶ ταύτην αἱρούμενος, οὐκ ἐπιτιθεὶς τοῖς ἔρωσι χαλινὸν, τὴν ἐν τοῖς ἔργοις σχολήν. καὶ εἰκότως. ὁ γὰρ μήτε δικάζων, μήτε νομοθετῶν, μήτε δημηγορῶν, μήτε ψηφίσματα γράφων, μήτε συνηγορῶν, μήτε πρεσβεύων, μήτε στρατηγῶν, μήτε πολεμῶν, μήτε περὶ τὴν γῆν πονῶν, μὴ περὶ τὸ πλεῖν ἀσχολούμενος, μὴ λόγων ἐρῶν, ὅλως δὲ μηδὲν τῶν ἐν ἀνθρώποις μετιὼν, ἐξ ὧν ἐστιν, ἢ πόλιν ὠφελεῖν, ἢ καὶ αὐτοῦ βίον οἰκονομεῖν, οὗτος τίνος οὐκ ἂν ἐρασθείη τῶν πο-

πονηρῶν ἐπιθυμιῶν, αἷς τὸ σῶμα διδοὺς, ἥκιστα τῇ ψυχῇ σωφρονεῖ; καὶ τοὺς τοιούτους αὖ εὕροις μεθύοντας, κωμάζοντας, γάμοις ἐπιβουλεύοντας, κόρας ἁρπάζοντας, διαπτῶντας τὴν σωφροσύνην ἁπλῶς εἰπεῖν, μόνον ἐρᾶν, ἀντὶ τοῦ σπουδάζειν εἰδότας. κατενοήσαμεν τὴν ψυχὴν ἀπὸ σπουδαίων σχολάζουσαν. ἴδωμεν δὲ καὶ τὴν ἑτέραν, ἣ τοὐναντίον διακειμένη φιλοπόνῳ τῇ φύσει κέχρηται. γνῶναι δὲ ῥᾴδιον οὑτωσί. πονείτω τὶς ἐν λόγοις, καὶ τούτων μόνον ἐράτω, ὁ τοιοῦτος οὐκ αὖ εἰς ἑτέρους ἔρωτας ὀλισθαίνει, τῷ βελτίονι κατεχόμενος. ἄλλος ἐργαζέσθω τὴν γῆν, ἕτερος πλείτω τὴν θάλατταν, ὁ μὲν χαλκευέτω, τῷ δὲ μελέτω τεκτονικῆς, ἑτέρῳ δὲ στρατηγεῖν, τῷ δὲ πρεσβεύειν, καὶ τῷ μὲν νομοθετεῖν, τῷ δὲ ψηφίσματα γράφειν, καὶ τῷ μὲν πολεμεῖν, τῷ δὲ διατιθέναι τὰς πανηγύρεις. τίς ἂν ἅψαιτό ποτε τῶν οὕτως ἐχόντων ἄτοπος ἔρως; οὐκ ἔστι. τοῦ γὰρ τὴν ψυχὴν ἀνθέλκοντος ὄντος, πᾶσα ἀνάγκη καὶ τὸ σῶμα ταῖς σπουδαῖς ὑπουργεῖν. καὶ τοὺς τοιούτους καλοῦμεν τε, καὶ νομίζομεν σώφρονας, οἷς ἐπιβέβληται τῇ ψυχῇ χαλινὸς, ὃ μικροῦ πρόσθεν ἔφην, τὰ μάταια τῆς ψυχῆς κατείργων κινήματα. καὶ ποιῶν αὐτοὺς ἐν τῷ φιλοπονεῖν μὴ τοῖς σώμασιν εἴκειν ἀργοῦσιν, μή δέ γε πρὸς τὴν ἐπιθυμίαν ἐξίστασθαι, μὴ δὲ τῇ τοιαύτῃ δουλεύειν φύσει. ἀλλ' εἶναι πάντων ἀμείνονα τῶν πεφυκότων ἐπὶ τὰ τοιαῦτα καθέλκειν. ἂν ἄγοις ἵππον αὐτὸν πόνων, καὶ τοῦτον ἀφεὶς παραδιδόναι τοῖς πωλοδάμναις, ἄγων τῇ φάτνῃ προσδήσῃς τοῦ ὑφαίνειν γε μόνον, οὐκέτι δὲ καὶ πρὸς δρόμον ἐξάγων, ἆρα οὐκ ἂν ἴδοις αὐτὸν ἐπιτρέποντα τῇ ῥύμῃ τῆς φύσεως, καὶ κεχρῆσθαι τῷ κεκτημένῳ γενόμενον ἀνεπιτήδειον; τὸν δέ γε προσομιλοῦντα τοῖς πόνοις, καὶ συνόντα τοῖς δρόμοις, καὶ μὴ κατεχόμενον ὄκνοις, ἆρ' οὐκ ἤδη καὶ τὴν οὖσαν εὑρήσομεν ἀποβαλόντα θρασύτητα, καὶ πείθεσθαι τὸν ἐπιστάτην ἄγειν εὐκόλως ἐπιστάμενον; ταῦτα δὴ συμβαίνειν οἶου καὶ περὶ τοὺς ἀνθρώπους. αἱ φύσεις ἐν τῷ πονεῖν σωφρονοῦσιν, ἐν τῷ ῥαθυμεῖν ἀκολασταίνουσιν, καὶ τὸ κατέχον οὐκ ἔστι τὸν οὐκ ἐθέλοντα κατέχεσθαι τοῖς πόνοις. ὁ Δημοσθένης πόνων ἐπιθυμῶν, καὶ τοὺς ἀπὸ τούτους ἔφευγεν ἔρωτας. τῶν Ἡρώων ὁ Διομήδης σωφρονέστατος ἦν, ὅ-

τι καὶ πονεῖν ἐπιτήδειος. τῶν φιλοσόφων ὁ Πυθαγόρας, στρατηγῶν ὁ Θεμιστοκλῆς, ὁ μὲν ἔργον ἔχων τὸ φιλοσοφεῖν, καὶ τοῖς Θεοῖς ὁμιλεῖν. οἱ δ᾽ ὅτι οὖν ἐχρῶντο καλῶς, καὶ βουλῇ, καὶ χειρὶ τὴν ἐνεγκοῦσαν ἐκσώζοντες. ἐπεὶ πότ᾽ ἂν ἔρως εἰσῆλθε Θεμιστοκλέα τοιοῦτος κατὰ Μήδων παραταττόμενον, καὶ περὶ τῆς πρὸς ἐκεῖνον βουλευόμενον μάχης, περὶ τῶν λογίων ἐνθυμούμενον, καὶ τὸ ξύλινον εὑρίσκοντα τεῖχος, τὰς ναῦς. πότε τὸν Περικλέα τὸν πάνυ, τὸν Ὀλύμπιον, ᾧ τὴν προσηγορίαν ἐφύτευσαν οἱ πόνοι καὶ μὴν ἐμοὶ δοκεῖ καὶ τὸ Ἀριστείδην δικαιοσύνης ἐπιθυμεῖν, καὶ περὶ τοῦτον ἐσπουδακέναι τὸν βίον ἁπάσης ἀμείνω πεποιηκέναι χείρονος ἐπιθυμίας, καὶ δυνατώτερον. εἰ δέ μοι λέγεις Καλλίαν τὸν δημόσιον, ἢ Πιττακόν, ἢ Μίμους γελοιῶν τε Ποιητὰς ἐπονειδίστων ᾀσμάτων, ὅτι τοιούτοις ἐδούλευον ἔρωσιν, οὐκ ἂν θαυμάσαιμι πρὸς τὴν ἐν τῷ βίῳ ῥαθυμίαν ὁρῶν, καὶ ὡς οὐκ ἦν ἣν τῶν ἀξίων ἐπαίνου πράττοντας ἐκείνους ἰδεῖν, καὶ τῇ διανοίᾳ παρεχόντων σχολήν. Ταῦτα καὶ Ποιητῶν οὐκ ὀλίγοι, καὶ Φιλοσόφων, καὶ τῶν ἐπὶ ῥητορικῇ μέγα δεδυνημένων, εἰ καὶ μὴ μνημονεύειν ἔχω τῶν ὀνομάτων, ἐπῄνεσαν, ἐθαύμασαν, ἐν τῷ λέγειν ἐπαίδευσαν. Εἴ τις οὖν ἐπιθυμεῖ κακὴν ἐπιθυμίαν ἐκφεύγειν, ἐράτω τῶν βελτιόνων, ἵνα μὴ τῶν χειρόνων, καὶ σχολαζέτω τοῖς κρείττοσιν, ἵνα μὴ τοῖς βλάπτουσι, ταῦτα γὰρ ἂν εἴη καθάπερ ἔδειξα τοῖς λογισμοῖς οἱ πονηροὶ τῶν σωμάτων ἔρωτες.



ΓΡΗΓΟΡΙΟΥ

ΤΟΥ͂ ΘΕΟΛΟ'ΓΟΥ

ΠΕΡΙ' ΤΩ͂Ν ΤΟΥ͂ ΒΙ'ΟΥ Ο'ΔΩ͂Ν.

Τίς; πόθεν ἐς βίον ἦλθον; ἐπεὶ δέ με γαῖα καθέξει,
  Τίς πάλιν ἐκ κόνιος ἔσσομ' ἀνιστάμενος;
Πῇ δὲ φέρων στήσει με Θεὸς μέγας; ἦρα σαώσει
  Ἔνθεν ἀναστήσας εὔδιον ἐς λιμένα;
Πολλαὶ μὲν βιότοιο πολυτλήτοιο κέλευθοι.
  Ἄλλος δ' ἀλλοίοις πήμασι συμφέρεται.
Κοὐδὲν ἐν ἀνθρώποισι καλὸν, κακότητος ἄμικτον.
  Εἴθε δὲ μὴ τὰ λυγρὰ πλείονα μοῖραν ἔχοι.
Ὁ πλοῦτος μὲν ἄπιστος, ὁ δὲ θρόνος, ὀφρὺς ὀνείρων.
  Ἄρχεσθαι δὲ μόγος. ἡ πενίη δὲ πέδη.
Κάλλος δ' ἀστεροπῆς, τυτθὴ χάρις. ἡ νεότης δὲ,
  Βράσμα χρόνου. πολιὴ, λυπρὰ δύσις βιότου.
Οἱ δὲ λόγοι, πτερόεντες ἀὴρ, κλέος. αἷμα παλαιὸν,
  Εὐγενέται. ῥώμη, καὶ συὸς ἀγροτέρου.
Ὑβριστὴς δὲ, κόρος. δεσμὸς, γάμος. εὐτεκνίη δὲ,
  Φροντὶς ἀναγκαίη. δυστεκνίη δὲ, νόσος.
Αἱ δ' ἀγοραὶ, κακίης μελεδήματα. ἠρεμίη δὲ,
  Ἀδρανίη. τέχναι, τῶν χαμαὶ ἐρχομένων.
Στεινὴ δ' ἀλλοτρίη μάζα. τὸ δὲ γαῖαν ἀρόσσειν,
  Μόχθος. ποντοπόρων τὸ πλέον εἰν ἀΐδῃ.
Ἡ πάτρη δὲ, βέρεθρον ἐόν. ξενίη δέ τ' ὄνειδος.
  Πάντα μόγος θνητοῖς. πάνθάδε πάντα, γέλως,
Χνοῦς, σκιὰ, φάσμα, δρόσος, πνοιὴ, πτερὸν, ἀτμὶς, ὄνειρος,
  Οἶδμα, ῥόος, νηὸς ἴχνιον, αὔρα, κόνις.

Κύκλος ἀειδίνητος ὁμοίϊα πάντα κυλίνδων,
 Ἑστηὼς, ῥοχάων, λυόμενος, πάγιος.
Ὥραις, ἤμασι, νυξὶ, πόνοις, θανάτοισιν, ἀνίαις,
 Τερπωλῇσι, νόσοις, πτώμασιν, ἀδρομίαις.
Καὶ τόδε σῆς γενέτορ σοφίης, Λόγε, ἀστατέοντα
 Πάντα πέλειν, στασίμων ὥς κεν ἔχοιμεν ἔρον.
Πάντα νόου πτερύγεσσιν ἐπέδραμον, ὅσσα παλαιὰ,
 Ὅσσα νέα. θνητῶν δ' οὐδὲν ἀκιδνότερον.
Ἓν μόνον ἀνθρώποισι καλὸν καὶ ἔμπεδόν ἐστιν,
 Ἔνθεν ἀφορμᾶσθαι, σταυρὸν ἀειρομένους.
Δάκρυά τε, στοναχαί τε, νόος θείοισι μεμηλὼς,
 Ἐλπὶς, καὶ Τριάδος λάμψις ἐπουρανίης
Μιγνυμένης καθαροῖσι, χοὸς λύσις ἀφραδέοντος.
 Εἰκόνος ἀφθορίη, τὴν λάχομεν θεόθεν,
Ζώειν τ' ἀλλότριον ζωῆς βίον, ἀντὶ δὲ κόσμου
 Κόσμον ἀμειβομένους, ἄχθεα πάντα φέρειν.

Τοῦ αὐτοῦ εἰς τὸν Μέγαν Βασίλειο Ἐπικήδια,
εἴτε ἐπιτάφια.

Σῶμα δίχα ψυχῆς ζώειν πάρος, ἢ ἐμὲ σεῖο,
 Βασίλιε χριστοῦ λάτρι φίλ' ᾠόμην.
Ἀλλ' ἔτλην, καὶ ἔμεινα. τί μέλλομεν; οὔ μ' ἀναείρας,
 Θήσεις ἐς μακάρων σήν τε χοροστασίην;
Μή με λίπῃς, μή· τύμβον ἐπόμνυμι, οὔποτε σεῖο
 Λήσομαι, οὐδ' ἐθέλων. Γρηγορίοιο λόγος.
Ἡνίκα Βασσιλίοιο θεόφρονος ἥρπασε πνεῦμα
 Ἡ Τριὰς, ἀσπασίως ἔνθεν ἐπειγόμενον;
Πᾶσα μὲν οὐρανίη στρατιὴ γήθησεν ἰόντι,
 Πᾶσα δὲ Καππαδοκῶν ἐστονάχησε πόλις.
Οὐκ οἶον, κόσμος δὲ μέγ' ἴαχεν, ὤλετο κήρυξ,
 Ὤλετο εἰρήνης δεσμὸς ἀειπρεπέος.

Κόσ-

Κόσμος ὅλος μύθοισιν ὑπ' ἀντιπάλοισιν ἀεικῶς
Σείεται, ὁ Τριάδος κλῆρος ὁμοσθενέος.
Αἶ αἶ, Βασσιλίε δὲ μεμυκότα χείλεα σιγᾷ.
Ε῎γρεο, καὶ ςῆπω σοῖσι λόγοισι σάλος,
Σαῖς τε θυηπολίῃσι. σὺ γὰρ μόνος ἶσον ἔφηνας,
Καὶ βίοτον μύθῳ, καὶ βιότητι λόγον.
Εἷς θεὸς ὑψιμέδων, ἕνα δ' ἄξιον ἀρχιερῆα
Ἡμετέρη γενεὴ εἴδεσε Βασσίλιε,
Α῎γγελον ἀτρεκίης ἐριηχέα, ὄμμα φαεινὸν
Χριςιανοῖς, ψυχῆς κάλλεσι λαμπόμενον.
Πόντε Καππαδοκῶν τε μέγα κλέος εἰσέτι καὶ νῦν,
Λίσσομ', ὑπὲρ κόσμε ἵςασο δῶρ' ἀνάγων.
Ε᾿νθάδε Βασσιλίε Βασίλειον ἀρχιερῆα
Θεῦτο με Καισαρέες, Γρηγορίοιο φίλον.
Ο῟ν περὶ κῆρι φίλησα. θεὸς δὲ οἱ ὄλβια δοίη,
Α῎λλα τε, καὶ ζωῆς ὡς τάχος ἀντιάσαι
Ἡμετέρης. τί δ' ὄνειαρ ἐπὶ χθονὶ δηθυνόντα
Τήκεσθ', ἐρανίης μνωόμενον φιλίης.
Τυτθὸν ἔτι πνείεσκες ἐπὶ χθονὶ, πάντα δὲ Χριςῷ
Δῶκας ἄγων, ψυχὴν, σῶμα, λόγον, παλάμας.
Βασσίλιε Χριςοῖο μέγα κλέος, ἕρμ' ἱερήων,
Ε῎ρμα πολυχρίςε νῦν πλέον ἀτρεκίης.
Ω῏ Λόγοι, ὦ ξυνὸς φιλίης δόμος, ὦ φίλ' Α᾿θῆναι,
Ω῏ θείε βιότε τηλόθι συνθεσίαι.
Ι῎ςε τόδ', ὡς Βασίλειος ἐς ἐρανὸν, ὡς ποθέεσκε,
Γρηγόριος δ' ἐπὶ γῆς χείλεσι δεσμὰ φέρων.
Καισαρέων μέγ' ἄεισμα φαάντατε ὦ Βασίλειε,
Βροντὴ σεῖο λόγος, ἀςεροπὴ δὲ βίος.
Α᾿λλὰ καὶ ὡς ἕδρην ἱερὴν λίπες, ἤθελεν ἕτω
Χριςὸς, ὅπως μίξῃ σ' ὡς τάχος ἐρανίοις.
Βένθεα πάντ' ἐδάης τὰ πνεύματος, ὅσσα τ' ἔασι

Τῆς χθονίης σοφίης, ἔμπνοον ἱερὸν ἔης.
Ὀκταετῆ λαοῖο θεόφρονος ἡνία τείνας.
Τοῦτο μόνον τῶν σῶν ὦ Βασίλει' ὀλίγον.
Χαίροις ὦ Βασίλειε, καὶ εἰ λίπες ἡμέας ἔμπης.
Γρηγορίου τόδε σοι γράμμ' ἐπιτυμβίδιον,
Μῦθος ὅδ', ὃν φιλέεσκες· ἔχεις γέρας ὦ Βασίλειε
Τῆς φιλίης, καί σοι δῶρον ἀπευκτότατον.
Γρηγόριος Βασίλειε τεῇ κονίῃ ἀνέθηκα
Τῶν ἐπιγραμματίων τήνδε δυωδεκάδα.

Τοῦ αὐτοῦ Γνωμικὰ Δίστιχα.

Ἀρχῆς καλῆς κάλλιστον εἶναι καὶ τέλος,
Ὀρθῶς δοκοῦσιν οἱ ὅροι τῶν πραγμάτων.
Ἀρχὴ καλὸν τίκτουσα τοῖς βροτοῖς πέρας,
Βίου κάθαρσις ἐνθέως ἀσκουμένη.
Λόγοις πτερωθεὶς, μὴ πτερῶν ἔξω πέτου,
Πτερῶν γὰρ οὐδὲ πτηνὸν ἵπταται δίχα.
Γνῶσις βροτῶν μέγιστον ἐν βίῳ κλέος,
Κακὸν δὲ αὕτη τοῖς κακῶς κεχρημένοις.
Κενή σε δόξα μηδόλως συναρπάσῃ,
Καὶ γὰρ πανοῦργον τοῦτο τοῖς ἀπληστέροις.
Εὖ δρῶν φύλαττε σαυτὸν ἐν τούτῳ μένειν.
Ταχὺς γὰρ ἐστι πρὸς τὸ χεῖρον ὁ δρόμος.
Γέλως κρατείσθω, καὶ θυμὸς λάβοι πέρας.
Ἀργὸς δὲ παντάπασιν εἰργέσθω λόγος.
Θεὸν φοβοῦ πρώτιστα, καὶ γονεῖς τίμα,
Ἱερεῖς ἐπαίνει, πρεσβύτας σεπτῶς ἔχε.
Υἱὸν δίκαια πατρὶ μηδόλως λέγειν,
Θεσμὸς θ' ὁρίζει, καὶ πρὸ δεσμῶν ἡ φύσις.
Οἷα πρὸς ἄλλου μὴ παθεῖν ὅλως θέλεις,

Τοιαῦ-

Τοιαῦτα καὶ σὺ μὴ δὲ δρᾷν ἄλλῳ θέλε.
Οὐ δεινὸν ὀργὴ δεινὰ τοῖς εἰργασμένοις,
Καὶ γὰρ δικάζει τοῖς ὁμοίοις ἡ δίκη.
Χείλη σοφὰ σάζουσιν ἡδίστους λόγους,
Φάρυγξ δὲ πικρὸς ἐξερεύγεται μάχας.
Ρεῖθρα γλυκασμοῦ γλῶσσα βλύζει σομύλη,
Ρήσεις δὲ φαύλας ἄκριτον γεννᾷ σόμα.
Φίλοι φιλοῦσι καὶ ἃ τοῖς φίλοις φίλα,
Ἐχθροὶ δὲ φαυλίζουσιν αἰσχρῶς τοὺς φίλους.
Πτωχοὺς φίλους λάθωσι πλουσίων θύραι,
Λαμπραὶ δὲ αὐλαὶ, πλουσίοις ἀεὶ φίλαι.
Ὕδωρ, ποτὸν φέρισον, εὖ κρατεῖ φρένας.
Θολοῖ δὲ τὸν νοῦν συλλαβοῦσα κραιπάλη.
Οὐκ οἶδεν οἶνος σωφρονίζειν τὴν φύσιν,
Κινεῖ δὲ μᾶλλον ἡδονὰς παροξυνῶν.
Νοῦς λεπτὸς ὄγκον ἐκδιώκει γασέρος.
Τἀναντία γὰρ τοῖς ἐναντίοις μάχη.
Κρείσσων τροφὴ σύμμετρος εὐπορουμένη,
Ἢ δεῖπνος ἁβρὸς, ὃν ἔπλασέ τις τὄναρ.
Πλουτοῦσι μωροὶ τοῖς ὀνείρασι πλέον,
Ἢ χρημάτων ἄβυσσον οἱ κεκτημένοι.
Κρείσσων ἄπαις, ἢ μωρὰ κύειν ἔκγονα.
Ὁ μὲν γὰρ ἄπαις, οἱ δὲ πολλοὶ καὶ κακοί.
Παντὶ βροτῷ θνήσκοντι πᾶσα γῆ τάφος.
Πᾶν γὰρ τὸ ἐκ γῆς, γῆ τε, καὶ εἰς γῆν πάλιν.
Ποιμὴν ἀμέλγει, εἰ θέλει, καὶ τοὺς τράγους,
Ἀλλ' ἀντὶ γάλακτος, αἱμάτων πηγὰς ὕσει.
Ἡ σῦς ἐποπτεύουσα δειπνοποιΐαν,
Οἶδε τραπέζης τοὺς ὅρους μὴ συγχέειν.
Βίαζε καὶ σὺ τοὺς ἀτάκτους μὴ λύειν,
Τάξιν πρεπώδη καὶ νόμοις ἡρμοσμένην.

Νόμον φυλάττων, τοὺς φόβους ἔξω βάλῃς.
Φόβων γὰρ ἔξω πᾶς ὁ τῶν νόμων φύλαξ.
Κύβερνος ἴδμων φεύξεται τρικυμίας,
Καὶ δεινὰ πάντα νοῦς σοφὰς φέρων φρένας.
Ζωῆς ἀρίστης μὴ φρόνει τἀναντία,
Καὶ γὰρ πρόδηλος τῆς κακίας ἡ πλάνη.
Μέγιστος ἄκμων οὐ πτοεῖται τοὺς ψόφους,
Καὶ νοῦς ἐχέφρων πᾶσαν ἐκκρούει βλάβην.
Φύλλων λαγωοὺς ἐκφοβοῦσιν οἱ κτύποι,
Ἄνδρας δ' ἀνάνδρους αἱ σκιαὶ τῶν πραγμάτων.
Μισῶ πένητα πλουσίῳ δωρούμενον,
Ὡς τῷ λέγοντι τοῦ τρέφειν λελησμένῳ.
Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται,
Ἁγνὸς δὲ ῥήτωρ, εὔκρατος ἁρμονία.
Γελῶσιν οἱ πλουτοῦντες ὀρφανῶν ψόγους,
Αὐτῶν γελῶσι τὴν Θεοῦ τιμωρίαν.
Νόμοις περιδραμεῖται πρὸς ὀλεθρίαν
Ὁ μὴ νόμου φύλαξιν ἐννόμως φέρων.
Πέφυκε τοῖς πένησι μὴ φρονεῖν μέγα.
Ταῖς πλουσίοις γὰρ οὐδὲ φροντὶς τοῦ βίου.
Παίδευε μωροὺς, ὡς ἐφικτὸν τῇ φύσει,
Ἕξουσι γάρ που καὶ φρένας παρ' ἐλπίδα.
Πλήττων σίδηρος ἐκπυροῖ καὶ τοὺς λίθους.
Σκληρὰ δὲ μάστιξ παιδαγωγεῖ καρδίαν.
Ὅρκους κάκιστον διδόναι καὶ λαμβάνειν,
Ἴσως γὰρ ἄμφω προσκέκρουκας τῇ δίκῃ.
Εἰς αἰῶνα θησαύριζε τὸν ἔξω τέλους,
Οὗτος γὰρ ἐκλέλοιπε καὶ πρὸ τοῦ τέλους.
Μὴ δὴ φίλει τὸν ὄλβον, ὃν λύει χρόνος,
Ἃ γὰρ χρόνος δόμησε, καὶ λύσει χρόνος.
Αἰσχρὸν γυναίοις ἄρσεν ἦθος ἐκφέρειν.

Ταῖς κοσμίαις γὰρ τάξις, ἡ αἰδὼς ξένη.
Κάταντές ἐστιν ἡδονὴ τοῖς χρωμένοις,
Καὶ ὡς πρόσεισιν, οἴχεται λίθου δίκην.
Οὐδεὶς ὑγείας πλοῦτος ἀλγοῦσι πλέον,
Σοφῶς καὶ ταύτην ἡ φύσις ἀεὶ θέλει.
Ἦχοι θαλάσσης, ἀνδρὸς ἄφρονος λόγοι.
Βρίθοντες ἀκτὰς, οὐ πιαίνουσι χρόας.
Πείθουσι δῶρα καὶ σοφοὺς παραβλέπειν.
Βροτοῖς δὲ θήρα χρυσὸς, ὡς πτηνοῖς πάγη.
Γῆρας λῦπαι τίκτουσι καὶ πρὸ τῶν χρόνων.
Ἃ γὰρ ὕπνος καθεῖλεν, οὐ στήσει χρόνος.
Πλοῦτος τάχιστος τῶν κακῶν ὑπηρέτης,
Καὶ γὰρ πρόχειρον εἰς κακουργίαν κράτος.
Οὐκ ἔστιν οὐδὲν βέλτιον κτῆμα φίλου.
Πονηρὸν ἄνδρα μηδέποτε κτήσῃ φίλον.
Τάξις τιμάσθω, καὶ προηγείσθω κράτους.
Κράτος γὰρ αὕτη, καὶ κράτους ἀεὶ φύλαξ.
Νοῦς ἐμμέριμνος, σὴς βιβρώσκων ὀστέα.
Θάλλει δὲ σῶμα, φροντίδας παρατρέχον.
Οὐδεὶς κόρος πέφυκε σωφρόνως ἔχειν,
Καὶ γὰρ τὸ πῦρ εἴωθε ταῖς ὕλαις θέειν.
Οἶνος, πάθους ἔγερσις ἐκλελοιπότος,
Ὕλη γὰρ εἰσρέουσα ῥώννυσι φλόγα.
Φεύγουσιν ὀργὰς οἱ δίκας δεδοικότες,
Θυμὸν γὰρ ἐξάπτουσι πολλάκις δίκαι.
Δεινὸν, πόνοις κάμνοντι προσθεῖναι πόνους.
Ἀλλ᾽ οὖν πόνους ἔπαυσε πολλάκις πόνος.
Ἄλλοι μὲν ἄλλων τοὺς πόνους δεδοικότες,
Ἄλλοις ὁρῶνται κινδυνεύοντες πόνοις.
Δόξης ἀεὶ φρόντιζε τῆς αἰωνίου,
Ἡ γὰρ παροῦσα ψεύδεται καθημέραν.

Οὐδεὶς μετ' ὀργῆς ἀσφαλῶς βουλεύεται.
Τὰ γὰρ μετ' ὀργῆς οὐδέπω βουλὴν ἔχει.
Δεινὸν δράκοντες, καὶ κακοῦργον ἀσπίδες,
Διπλῆ γυναικὸς δεινότης ἐν θηρίοις.
Πείθουσι γυμνὰ τοὺς ὁρῶντας ὀστέα,
Ὡς οὐδὲν ἡμῖν προσφυὲς τῶν ἐνθάδε.
Εἰ λοξὰ βαίνουσι καρκίνων γόνοι,
Πεῖραν λάβωσι μητρικῶν βαδισμάτων.
Δώσεις προδήλως ἐκβιάζων τὴν φύσιν,
Καλοὺς μαθητὰς ἐκ κακῶν διδασκάλων.
Κόσμει σεαυτὸν τοῖς καλοῖς τεκμηρίοις.
Καὶ μὴ πένητος ὀρφανοῦ καταφρόνει.
Θεοῦ διδόντος, οὐδὲν ἰσχύει φθόνος,
Καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει κόπος.
Τίκτεις ἔχιδνα, μὴ φοβοῦ τὰς ὠδῖνας,
Ἔχεις λαβοῦσα μητρικοῦ πεῖραν τόκου.
Οὐδεὶς ἀριστεὺς ἐκ προδήλου δειλίας.
Νῖκαι γὰρ εἰσπράττουσι τὰς εὐφημίας.
Ἀνὴρ ὑπνώδης, εὑρετὴς ὀνειράτων,
Μύστης γὰρ ὕπνος φασμάτων, οὐ πραγμάτων.
Εἴωθε πείθειν μὴ θέλοντας ἡ βία,
Ἄγχει γὰρ αὕτη καὶ γίγαντας πολλάκις.
Δήμου σφαλέντος, πᾶς ἀγύρτης ἄρχεται.
Δῆμος γὰρ πάντη τῶν καλῶν ἀπαξία.
Ἔργον πάρεργον οὐδαμῶς ἔργον λέγω,
Τῶν γὰρ παρέργων καὶ καταφρονητέον.
Ἡ πρὸς τὰ νεκρὰ τῶν χαμαιριφῶν μέλη
Τάξις τιμᾶται, τῶν κυνῶν ἠθροισμένων.
Χρυσοῦ λαλοῦντος, ἅπας ἄπρακτος λόγος,
Πείθειν γὰρ οἶδε, κἂν μὴ πέφυκε λέγειν.
Ἔξουσι καὶ νῦν τὰ πρὸς εἰρήνην φέρειν

Οἱ πρὸς τὰ ῥεῦστα τοῦ βίου μεμυκότες.
Τροχός ἐστιν ἀστάτως πεπηγμένος
Ὁ μικρὸς οὗτος καὶ πολύτροπος βίος.
Ἄνω κινεῖται, καὶ περισπᾶται κάτω,
Οὐχ ἵσταται γὰρ, κἂν δοκῇ πεπηγέναι.
Φεύγων κρατεῖται, καὶ μένων ἀποτρέχει,
Σκιρτᾷ δὲ πολλὰ, καὶ τὸ φεύγειν οὐκ ἔχει.
Ἕλκει καθέλκει τῇ κινήσει τὴν στάσιν,
Ὡς οὐδὲν εἶναι τὸν βίον διαγράφων,
Ἢ καπνὸν, ἢ ὄνειρον, ἢ ἄνθος χλόης.
Ἔφησε τίς που τῶν φιλοχρύσων τάδε,
Θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον.
Πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων,
Ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης.

ΤΟΥ ΑΥΤΟΥ ΤΕΤΡΑΣΤΙΧΑ.

Γρηγορίου πόνος εἰμί. τετρασιχίω δὲ φυλάσσω
Γνώμαις πνευματικαῖς, μνημόσυνον σοφίης.

Πρᾶξιν προτιμήσειας, ἢ θεωρίαν;
Ὄψις τελείων ἔργον. ἡ δὲ, πλειόνων.
Ἄμφω μὲν εἰσὶ δεξιαί τε, καὶ φίλαι.
Σὺ δὲ, πρὸς ἣν πέφυκας, ἐκτείνου πλέον.
Ἤρετό με τὶς πρόβλημα τῶν ἐκ πνεύματος.
Ἦν ἐκρυπτωθῇς, εἶπον. ἀλλὰ σωφρονῶ.
Ἦν ἐκρυπτωθῇς. νῦν δὲ δεῖ καθαρσίων.
Μῦρον δοχεῖον σαπρὸν οὐ πιστεύεται.
Μήτ' ἀντίτεινε πᾶσι. μήθ' ἕπου λόγοις.
Ἀλλ' οἷς ἐπίσῃ, καὶ ὅσον, καὶ πηνίκα.
Θεοῦ δὲ πλεῖον ἐξέχου, ἢ προστάτει.
Λόγῳ παλαίει πᾶς λόγος, βίῳ δὲ τίς;
Μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ.

Μὴ

Μὴ τῇ μὲν ἕλκειν, τῇ δ' ἀπωθεῖσθαι χεροῖν.
Ἧττον δεήσῃ τοῦ λέγειν, πράττων ἃ δεῖ.
Γραφὰς διδάσκει τὸ πλέον τοῖς ἐκτύποις.
Ὑμῖν λέγω μάλιστα τοῖς τοῦ βήματος,
Ὀφθαλμὸν εἶναι μὴ σκότους πεπλησμένον,
Μὴ καὶ πρόεδροι τοῦ κακοῦ φαινώμεθα.
Εἰ γὰρ τὸ φῶς τοιοῦτον, τὸ σκότος πόσον;
Ἄφωνον ἔργον, κρεῖσσον ἀπράκτου λόγου.
Βίου μὲν οὐδεὶς πώποθ' ὑψώθη δίχα.
Λόγου δὲ πολλοί, τοῦ καλῶς ψοφουμένου.
Οὐ γὰρ λαλούντων, εὖ βιούντων δ' ἡ χάρις.
Δῶρον θεῷ κάλλιστόν ἐστιν ὁ τρόπος.
Κἂν παῖτ' ἐνέγκῃς, οὐδὲν οἴσεις ἄξιον.
Ὃ καὶ πένης δίδωσι, τοῦτο πρόσφερε.
Μίσθωμα πόρνης, ἁγνὸς οὐ μερίζεται.
Μηδέν ποτ' εὔξῃ μὴ δὲ τῶν μικρῶν θεῷ.
Θεοῦ γάρ ἐστι πρὶν λαβεῖν. τί οὖν λέγων,
Κλέπτεις τὰ σαυτοῦ μὴ δούς; καινοῦ χρέους.
Ἀνανίας σε πειθέτω, Σάπφειρά τε.
Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Ἢν πραγματεύσῃ, κέρδος. ἀντάλλαγμα γὰρ
Μικρῶν τὰ μείζω, καὶ ῥέοιτ' ἀϊδίων.
Ἢν δ' αὖ παρέλθῃ, καιρὸν ἄλλον οὐκ ἔχεις.
Πολὺς μέν ἐστιν ὁ προκείμενος δρόμος.
Πλείων δ' ὁ μισθός. μὴ βλέπων τὸ πᾶν ἅμα,
Τοῦ παντὸς ἀρθῇς, καὶ πλέεις οὐ πᾶν ἅμα.
Καὶ τοῦτο πεῖρα πολλάκις τοῦ δυσμενοῦς.
Μὴ σφόδρα θαῤῥεῖν, μηδ' ἀπελπίζειν ἄγαν.
Τὸ μὲν γάρ, ἐκλύει σε. τὸ δ' ἀναστρέπῃ.
Τὸ μέν, κατόρθου. τοῦ δ' ἔχου. τοῦ δ' οὐ φθόνος.
Οὐχ ὡς ὁδοῦ τὸ λεῖπον ἀχρειοῖ πόνον.
Μὴ θερμὸν ἅπτειν, ἐμμένειν δ' οἷς ἂν κρίνῃς.

Κρεῖσ-

Κρεῖσσον προκόπτειν, ἤ τι κόπτειν τοῦ καλοῦ.
Καὶ γὰρ κακοὺς καλοῦμεν, οὐχὶ τοὺς κάτω,
Τοὺς δ' ὡὐιχ' ὑψωθῶσι, πίπτοντας μέγα.
Σπινθὴρ ἀνάπτει καὶ βραχὺς πολλὴν φλόγα,
Καὶ σπέρμ' ἐχίδνης πολλάκις διώλεσε.
Τοῦτ' οὖν ὁρῶν, ἔκκλινε καὶ μικρὸν βλάβος.
Μικρὸν μὲν ἐστιν, εἰς δὲ μεῖζον ἔρχεται.
Ἐρεύνα σαυτὸν πλεῖον, ἢ τὰ τῶν πέλας.
Τὸ μὲν γὰρ, αὐτὸς κερδανεῖς, τὰ δ' οἱ πέλας.
Κρείσσων λογισμὸς πράξεων, ἢ χρημάτων.
Τὰ μὲν γάρ ἐστι τῆς φθορᾶς, τὰ δ' ἵσταται.
Ὁ νοῦς ἀεί σοι καμνέτω τυπούμενος
Θείοις νοήμασί τε, καὶ βίου λόγοις.
Γλώσσης δὲ φείδου. καὶ γὰρ εὐκολωτέρα
Βλάπτειν, τὸ κέρδος δ' ἧσσον εὖ κινουμένης.
Ὄψις συνήρπασέ με. πλὴν ἀλλ' ἐσχέθη.
Εἴδωλον οὐκ ἔστησα τῆς ἁμαρτίας.
Εἴδωλον ἔστη πεῖραν. πρᾶξιν ἐκπεφεύγαμεν.
Βαθμοὶ τάδ' εἰσὶ τῆς πλάνης τοῦ δυσμενοῦς.
Κηρῷ τὰ ὦτα φράσσε πρὸς φαύλους λόγους,
Ὠδῶν τε τερπνῶν ἐκμελῆ λιγυσμάτων.
Τοῖς δ' αὖ καλοῖς τε, κἀγαθοῖς ἀεὶ δίδου
Εἰπεῖν, ἀκοῦσαι, καὶ δρᾶσαι μικρὸν μέσον.
Μὴ σφόδρα δ' ὀσμῶν ἐκλύου θηλύσμασιν,
Ἁφῆς τε λειότησι, μὴ δὲ γεύσεσιν.
Τί αὖ ποτ' αἰδέσαιο τῶν δ' ἡττώμενος;
Χωρὶς γυναικῶν, κἀῤῥένων ἡδύσματα.
Δὸς, εἶπε γαστήρ. τὴν λαβοῦσα σωφρονῆς,
Δώσω προθύμως. τὴν δὲ τοῖς κάτω δίδως,
Κόπρον λάβοις μὲν, ἀλλ' ὅμως μὴ πλουσίαν.
Εἰ δ' οὖν κατάσχοις, δώσομεν καὶ πλουσίαν.
Γέλως γέλωτος εὖ φρονοῦσιν, ἄξιος.

Μάλιστα μὲν, πᾶς· τὸ πλέον δ', ὁ πορνικός.
Γέλως ἄτακτος, ἐκφέρει καὶ δάκρυον.
Κρεῖσσον κατηφὲς ἦθος, ἢ τεθρυμμένον.
Κάλλος νόμιζε τὴν φρενῶν εὐκοσμίαν,
Οὐχ ἣν γράφουσι χεῖρες, ἢ λύει χρόνος,
Ὄψει δ' ὅπερ νοῦ σώφρονος γνωρίζεται,
Αἶσχος δ' ὁμοίως τῇ φρενῶν ἀκοσμίᾳ.
Λῦπαι προῆλθον, ἡδοναὶ, θάῤῥη, φόβοι,
Πλοῦτος, πενία, δόξα, δύσκλεια, θρόνοι.
Ῥείπωσαν ὡς θέλουσιν. οὐδὲν ἅπτεται
Τῶν οὐ μενόντων, ἀνδρὸς εὖ βεβηκότος.
Ὕψου βίῳ τὸ πλεῖον, ἢ φρονήματι.
Ὁ μὲν θεοῖ σε, τῷ δὲ καὶ πίπτεις μέγα.
Τεύξῃ δὲ τότε, μὴ μικροῖς μεζούμενος.
Κἂν πλεῖστον ἀρθῇσῃ, κάτω τῆς ἐντολῆς.
Δόξαν δίωκε, μήτε πᾶσαν, μήτ' ἄγαν.
Κρεῖσσον γὰρ εἶναι, τοῦ δοκεῖν. εἰ δ' ἄμετρος εἶ,
Μὴ τὴν κενὴν θύραζε, μήτε τὴν νέαν.
Τί γὰρ πιθήκῳ κέρδος, εἰ δοκεῖ λέων;
Αἴνει μὲν ἄλλον, μὴ φρόνει δ' αἰνούμενος.
Καὶ γὰρ δέος σε τῶν ἐπαίνων ὑστερεῖν.
Μηδ' ἄλλον εὐθὺς, πρίν γε τῇ πείρᾳ μάθῃς,
Μήπως, κακοῦ φανέντος, αἰσχύνην ὄφλῃς.
Κακῶς ἀκούειν κρεῖσσον, ἢ λέγειν κακῶς.
Ὅταν προθῇ τις ἄλλον εἰς κωμῳδίαν,
Ὡς εὐφρανῶν σε, σαυτὸν ἐγκεῖσθαι δόκει.
Ὧ δ' ἂν μάλιστα δυσχεράνοις τῷ λόγῳ.
Μηδὲν μέγ' εἴπῃς εὐπλοῶν πρὸ πεισμάτων.
Πολλοῖς πρὸς ὅρμον εὐπλοοῦν ἔδυ σκάφος.
Πολλοὶ προσωρμίσθησαν ἐκ τρικυμίας.
Μί ἀσφάλεια, μὴ ὀνειδίζειν τύχας.
Κρεῖσσον καλῶς βιοῦντα, καὶ πονούμενον,

Παρ-

Παῤῥησιάζεσθαί τι πρὸς τὸν δεσπότην,
Ἢ μὴ καλοῖς θάλλοντ' ἀπαιτεῖσθαι δίκην,
Εἰ καὶ τὰ πάντα σὺν λόγῳ πορεύεται.
Πρόου τὰ πάντα, καὶ θεὸν κτῆσαι μόνον.
Εἰ γὰρ μερίστης χρημάτων ἀλλοτρίων.
Εἰ δ' οὐ θέλεις τὰ πάντα, δὸς τὰ πλείονα.
Εἰ δ' οὐ γε τοῦτο, τοῖς περιττοῖς εὐσέβει.
Καλόν τι, σῆτες ἁρπάσαι, καὶ τοῦ φθόνου.
Χεῖρον τροφῆς ἔχειν μᾶλλον, ἢ τὰ πάντ' ἔχειν.
Ὃς καὶ βασιλείαν κλάσματος χαρίζεται.
Χεῖρον σκέπεις, τρέφεις τε, τὸν πτωχὸν τρέφων.
Πένης προσῆλθεν. εἶτ' ἀπῆλθε μὴ τυχών.
Δέδοικα Χριστέ, μὴ κἀγὼ τῆς σῆς χερὸς
Χρῄζων, ἀπέλθοιμ' ἐνδεὴς ἐμοῖς νόμοις.
Ὃ γάρ τις οὐκ ἔδωκε, μηδ' ἐλπιζέτω.
Πένητος ἀνδρὸς, οὐδὲν ἀσφαλέστερον.
Πρὸς τὸν θεὸν νένευκε, καὶ μόνον βλέπει.
σὺ δ' ἀγκαλίζου. ἀετὸς γὰρ, ὡς λόγος
Πολὺς, καλιᾷ λεπτὸν ὄρνιν ἀμφέπει.
Κρεῖσσον πενία μὴ δικαίας κτήσεως.
Καὶ γὰρ νόσος γε τῆς κακῆς εὐεξίας.
Λιμῷ μὲν, οὔτις ῥᾳδίως διεφθάρη.
Τοῖς δ' αὖ κακίστοις, πότμος ἡ μοχθηρία.
Τί δεσπότης, ἢ δοῦλος, ἢ φαύλη τομή;
Εἷς πᾶσι πλάστης, εἷς νόμος, κρίσις μία.
Ὑπηρετοῦ μὲν, ὡς γε σύνδουλον βλέπε.
Ὅταν γε λυθῇς, τιμιώτερος φανεῖς.
Οἱ δ' οἰκέται τί, καὶ μάλιστα οἱ θεοῦ;
Μὴ φευγέτωσαν εὐνοεῖν τοῖς δεσπόταις.
Ἐλεύθερον καὶ δοῦλον ὁ τρόπος γράφει.
Καὶ Χριστὸς ὤφθη δοῦλος, ἀλλ' ἐλεύθερα.
Κακῶς δ' ἀκούων αἰσχύνου, μὴ δυσγενής.

Γεύος γάρ εἰσιν οἱ πάλαι σεσηπότες.
Γεύεις προάρχειν κρεῖσσον, ἢ λύειν γείος,
Ὡς καλὸν εἶναι, ἢ καλῶν πεφυκέναι.
Θεοῦ μόνου, θείων τε ἀπλήστως ἔχειν.
Ὃς τοῖς λαβοῦσι καὶ πλέον χαρίζεται.
Διψῶν τὸ διψᾶσθ', ἀφθόνως ἀεὶ ῥέων.
Ἐν τοῖς δὲ λοιποῖς, καὶ φέρειν ἠσσώμενος.
Μὴ πάντα νικᾶν, μηδ' ἀεὶ σπουδὴν ἔχε.
Καλῶς κρατεῖσθαι κρεῖσσον, ἢ νικᾶν κακῶς.
Καὶ γὰρ παλαιστὴς οὐχ ὁ κείμενος κάτω,
Πάντως κρατεῖται, πολλάκις δ' ὑπέρτερος.
Καὶ ζημιοῦ τί. τοῦτο κέρδος πολλάκις,
Ὥσπερ καθαίρειν φυτὸν εἰς εὐκαρπίαν.
Εἰ δ' οὐ καλῶς τι προστιθεὶς, οἷς νῦν ἔχεις,
Ὕλην φέρεις πῦρ, ἢ νόσον τῷ σώματι.
Εἰ μηδὲν ὄφλεις τῷ θεῷ τιμωρίας.
Μηδ' αὐτὸς ἴσθι τοῖς ὀφλοῦσι συμπαθής.
Εἰ δ' οἶδας ὀφλῶν, καὶ πρόχεισον τὸ πρᾶον.
Οἴκτῳ γὰρ οἶκτος τῷ θεῷ σταθμίζεται.
Ὅταν ποθ' ὕβρεις ἐκκάμπτωσι τὴν φρένα,
Μνήσθητι Χριστοῦ, τῶν ἐκείνου τραυμάτων,
Πόση τε μοῖρα ταῦτα, τῶν τοῦ δεσπότου.
Ὡς δ' αὖ τὸ λυποῦν ὥσπερ ὕδατι σβέσαις.
Ἔρως, μέθη, ζῆλός τε, καὶ δαίμων, ἴσα.
Οἷς ἂν προσέλθῃ, τὸ φρονεῖν ἐπέκλυσε.
Τῆξις, προσευχὴ, δάκρυον, τὰ φάρμακα.
Ἡ δ' ἰατρεία τῶν ἐμῶν νοσημάτων.
Ὅρκον δὲ φεῦγε πάντα. πῶς οὖν πείσομεν;
Λόγῳ τρόπῳ τε τὸν λόγον πιστουμένῳ;
Ἄρνησίς ἐστι τοῦ θεοῦ ψευδορκία.
Τί δεῖ θεοῦ σοι; τὸν τρόπον μέσον τίθει.
Τί χρηστότητος δόγμασιν ὑπομνήτερον;

Τοιοῦ-

Τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας,
Οἵους σεαυτῷ τούςδε τυγχάνειν θέλεις.
Καὶ συντομώτερόν τι τὰ Χριστοῦ πάθη.
Πιστοῦ φίλου νόμιζε μηδὲν ἄξιον,
Ὃν σοὶ κρατὴρ ἔδειξε, καιροῦ δὲ ζάλη·
Ὃς οὐ χαρίζετ᾽, ἢ μόνον τὸ συμφέρον.
Ἔχθρας ὅρους γίνωσκε, φιλίας δὲ μή.
Τἆλλα βλέπων ὀφθαλμὸς, αὑτὸν οὐ βλέπει.
Ἀλλ᾽ οὐδὲ τἆλλα, ἣν ἄγαν λημμῶν τύχῃ.
Τούτου χάριν, σύμβολον εἰς ἅπαντ᾽ ἔχειν,
Καὶ γὰρ χερὸς χεὶρ, καὶ ποδὸς ποῦς ἐνδεής.
Εἰ τοῖς καλοῖς ἕποιο νουθετούμενος,
Οὐκ ἐντραπήσῃ τοῖς κακοῖς γελώμενος.
Ὅταν ποτ᾽ αἰσχρὸν ἐννοῇς, νόμιζέ σοι
Πολλοὺς παρεῖναι, καὶ σεαυτὸν ἐντρέπου.
Ἀεὶ προτίμα τοὺς καλοὺς τῶν μὴ καλῶν.
Κακοῖς δ᾽ ὁμιλῶν, καὶ κακὸς πάντως ἔσῃ.
Κακοῦ παρ᾽ ἀνδρὸς μήποτε χρηστὸν πάθῃς.
Ζητεῖ γὰρ, ὧν βίωκε συγγνώμην ἔχειν.
Ἐγώ τι κέρδος ἐκλέγω καὶ δυσμενοῦς.
Τὰς γὰρ λαβὰς φεύγοντας, ἀσφαλεστέρους
Εἶναι παραινῶ, καὶ τὸ πικρὸν φάρμακον.
Ὅμως δέδοικα, καὶ τὸ ἡδὺ μέμφομαι.
Καλοὺς ἀμείβου, τοὺς κακοὺς περιφρόνει.
Κἂν τοῖσδε κεῖσθω τοῦ παθεῖν μηδὲν, χάρις,
Ὡς αὖ καλοὺς καὶ τούςδε ποιήσῃς χρόνῳ.
Τῷ μακροθύμῳ χρηστότης, καλὴ δόσις.
Πᾶσι μὲν ἴσθι χρηστὸς, εἰ τοῦτο σθένος,
Πλέον δὲ τοῖς ἔγγιστα. τοῦ χάριν λέγω;
Τίς αὖ σε πιστεύσειε τοῖς ξένοις καλὸν
Εἶναι, τὸν οὐ δίκαιον, οἷς ὀφείλεται;
Τί πάντα τὸν δύστηνον αἰτιώμεθα

Ἐχ

Ἐχθρὸν, διδόντες τοῦ βίου ἐξουσίαν,
Μέμφου σεαυτὸν, ἢ τὸ πᾶν ἢ τὸ πλέον.
Τὸ πῦρ ἡμῶν, ἡ δὲ φλὸξ τοῦ πνεύματος.
Μὴ σφόδρ' ἕπεσθαι παιγνίοις ἐνυπνίων.
Μηδ' ἐπτόητον εἰς ἅπαντ' ἔχειν φρένα.
Μὴ δὲ πτεροῦ μοι δεξιοῖς φαντάσμασι.
Λόχος τάδ' ἐστὶ πολλάκις τοῦ δυσμενοῦς.
Ἐλπὶς προκείσθω δεξιοῦ παντὸς τέλους.
Εἰ γὰρ συνεργός ἐστι τις τοῦ χείρονος,
Πῶς οὐ καλοῦ δίκαιον εἶναι ϗ πλέον;
Οὐ γὰρ φέρωγε τοῦ κακοῦ νικώμενος.
Ἡγοῦ τύχης φρόνησιν ἀσφαλεστέραν.
Ἡ μὲν γάρ ἐστι πραγμάτων κούφη φορὰ,
Ἡ δ' οἰακισμός. μὴ δὲ σὺ παιδεύσεως
Νόμιζε κρεῖσσον, ἢ μόνη κεκτημένων.
Τὸ δραστικὸν δείκνυε, μὴ τῷ δρᾷν κακῶς,
Τῷ δ' εὖ τι ποιεῖν, εἰ θέλεις εἶναι θεός.
Τόδ' ἐστὶν ἀνδρὸς εἰδότος τὸ συγγενές.
Κτείνει δὲ ῥᾶστα ϗ ξυγὼν ϗ σκορπίος.
Αἰσχρὸν, νέον γέροντος ἀσθενέστερον
Εἶναι, γέροντα δ' ἀφρονέστερον νέου.
Ὅμως ὁ μὲν, καθ' ὥραν ἔστω πάνσοφος.
Τὸν δὲ, κράτιστον, ϗ πρὸς ὥραν σωφρονεῖν.
Ἀεὶ μὲν ἐργάζοιο τὴν σωτηρίαν.
Καιρὸς δὲ δὴ μάλιστα, ἡ βίου λύσις.
Τὸ γῆρας ἦλθεν· ἔξοδον κῆρυξ βοᾷ.
Πᾶς εὐτρεπίζου, πλησίον γὰρ ἡ κρίσις.
Πέρας λόγου, διττή τις ἄρνησις θεοῦ
Ἔργῳ, λόγῳ τε. μὴ κλαπῇς, περισκόπει.
Ἀεὶ διώκει λαθραίοις παλαίσμασι,
Μήπως δεηθῇς ἐσχάτων καθαρσίων.

ΤΕΛΟΣ.

